ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἤ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ

καὶ σπανίων ἑλληνικῶν συγγραφῶν περὶ τῶν κατὰ τὴν Ἑώαν ὀρθοδόξων ἐκκλησιῶν καὶ μάλιστα τῆς τῶν Παλαιστινῶν

ΣΥΛΛΕΓΕΝΤΑ ΜΕΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΑ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

ἐκτυπούμενα δὲ ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ



ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

Ἐκ τοῦ τυπογραφείου Β. Κιρσβάουμ.

1891

ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἤ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ ΚΑΙ ΣΠΑΝΙΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΣΥΓΓΡΑΦΩΝ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΕΩΑΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΩΝ

ΚΑΙ ΜΑΛΙΣΤΑ ΤΗΣ ΤΩΝ ΠΑΛΑΙΣΤΙΝΩΝ.

ΠΡΟΛΟΓΟΣ

Τὸ ἐν χερσὶ βιβλίον εἰς τόμους μεμερισμένον ἕξ, γραφὰς μὲν ἐμπεριέχει ἢ ἀνεκδότους ἢ σπανίας ἀνδρῶν τινων πολλῷ πρὸ ἡμῶν γεγονότων, ἃς ἐγὼ παρὰ τῶν ἱεροσολυμιτικῶν προυθυμήθην γραπτῶν ἐκγράψασθαι βιβλίων, ἵν' αἱ ἐκτυπούμεναι τοῖς μὲν χρήσιμοι ἐπὶ μελέτας τινὰς γένοιντο, τοῖς δὲ καινά τινα καὶ ἀγαθὰ δοῖεν μαθήματα, ἃ τὴν ψυχὴν αὐτὴν ἀσκεῖ· ἀνάλεκτα δὲ ἱεροσολυμιτικῆς ἐπιγέγραπται σταχυολογίας τούτου ἕνεκα, ὅτι ἃ νῦν εἰς φῶς τὸ πρῶτον ἐκφέρεται συντάγματα, μέρος ἐστὶ τῶν αὐτοχειρὶ ἐκγεγραμμένων· εἴ γάρ τις κατ' εἶδος καὶ ὕλην τὸ σύνολον διατάττοι, τόμους μὲν ἂν δέκα παρασκευάσειε, τοῖς δὲ φιλολογοῦσί τε καὶ τοῖς θεολογοῦσι χρησιμωτάτην ἂν προσενέγκειεν ὕλην. Ἐπεὶ δ' ὁ Παλαιστινὸς Σύλλογος ὥσπερ τοῦ καταλόγου οὕτω κἀκείνων την τύποις ἔκδοσιν μεγαλοψύχως ἐφ' ἑαυτὸν ἀναδέξασθαι ἠβουλήθη, δίκαιον ἔδοξέ μοι τῇ μεγαλοψυχίᾳ μὲν τούτου μὴ κατακόρως χρῆσθαι, ταῖς δὲ γραφαῖς μόνον ἀρκεῖσθαι, αἳ τῷ συλλόγῳ αὐτῷ πρώτιστα συμφέρουσι· τούτῳ γὰρ μέλει μὲν ἑλληνικῶν συνταγμάτων καθόλου, ἰδία δὲ τῶν γραφῶν ὧν οἱ συγγραφεῖς σκοπὸν ἔχουσι τὰ κατὰ την Χριστοῦ καθολικὴν καὶ ὀρθόδοξον γεγενημένα ἐκκλησίαν· μέλει δ' ἐξαιρέτως τῶν συνταγμάτων, ἃ τὴν γεωγραφίαν καὶ τὴν χριστιανικὴν τῆς Παλαιστίνης πραγματεύεται ἱστορίαν. Ὅσαι μὲν οὖν τῶν συγγραφῶν ἢ πρὸ τῆς Χριστοῦ ἐποιήθησαν ἐμφανείας, ἢ καὶ μετ' ἐκείνην συνταχθεῖσαι σκοπὸν ἄλλον ἢπερ τὴν αὐτοῦ ἔχουσιν ἐκκλησίαν, τοῦ βιβλίου τοῦδε ἐκβλητέαι μοι εἶναι ἔδοξαν· ὅσαι δὲ ταῖς κατὰ τὴν Ἑῴαν ἀποστολικαῖς συμφέρουσιν

ἐκκλησίαις, πασῶν δὲ μάλιστα τῇ τῶν Παλαιστινῶν, ἐν τοῖσδε τοῖς ἀναλέκτοις ἐξαιρέτως κατεχωρίσθησαν.

Καὶ νῦν μὲν δὴ ὁ πρῶτος τῶν ἀναλέκτων τόμος διαδίδοται, γραφὰς πρὸς τὸν σκοπὸν ἐκεῖνον βλεπούσας πολλάς τε ἐμπεριεκλείων καὶ τὸ εἶδος ποικίλας· πρὸς τοῦτον δ' εὐμενῶς τοὺς ἀναγιγνώσκοντας διακεισομένους εὖ οἶδα, εἴ γε τὸ "πᾶσα μὲν ἀρχὴ δύσκολος" ἐν νῷ ἔχουσι, πρὸς δὲ τὴν τοῦ ἐκδιδόντος πρόθεσιν μᾶλλον ἢ ἐμπειρίαν ἀποβλέπουσι. Καὶ γὰρ ἁμαρτήματα τινα περὶ στίξεις καὶ ἀναγνώσεις κἂν τούτῳ παρεισέδυ τῷ βιβλίῳ· τούτων δὲ τὰ μὲν πρώτως μετὰ τὴν ἐκτύπωσιν παρατηρηθέντα πρὸς τῷ τέλει αὐτοῦ ἐσημάνθη, ὅσα δὲ μετέπειτ' ἀνευρεθήσεται ἢ παρ' ἐμοῦ ἢ παρ' ἄλλων, κἀκεῖνα ἐν τοῖς ἑφεξῆς μηνυθήσεται τόμοις· τὸ ἁμαρτάνειν δὲ φύσει τοῖς ἀνθρώποις πέφυκε καὶ τοῖς πρώτως μάλιστα ποικίλας ἐκδιδοῦσι ποικίλων χρόνων γραφάς. Ἐγὼ μὲν οὖν τοῦτο συνειδώς, τοὺς μὲν τῆς ἀληθείας ταύτης ἐπιλανθανομένους καὶ μεγάλης γλώσσης κόμπῳ χρωμένους, πράττειν δὲ γενναῖόν τι ἀδυνάτους καὶ τὰ σφάλματα μόνον τῶν ἄλλων ἐπιδείκνυσθαι ἔργον ἔχοντας, εὐ τὸν ἕλληνα λόγον εἰδέναι προσποιεῖσθαι θέλοντας, ἢ βδελύττομαι ἢ ἀναξίους λογίζομαι ἀποκρίσεως· πρὸς δὲ τοὺς ἀκόμπως τε περὶ τῶν ἐμῶν λέγοντας σφαλμάτων, ἃ που ἀπροσεξία τε καὶ ἀβουλία ἢ φανερᾶ ἐγένετο ἀπειρία ἢ καὶ λήθῃ τινί, ἢ τοῖς πολλά τε καὶ συνεχῶς κάμνουσιν ἐγγίγνεσθαι εἴωθε, καὶ τοὺς ταῦτά μοι φιλίῳ ἀνακοινουμένους τρόπῳ, χάριτας εἰς ἀεὶ ἀντιδιδόναι ἐπίσταμαι, τὸ "χεῖρα νίπτειν χεῖρα" ἐν νῷ ἔχων.

Καὶ ταῦτα μὲν δὴ εἴρηταί μοι προοιμιαζομένῳ· ἃς δὲ ὁ τόμος γραφὰς ἐγκλείει, διηγήσομαι ὡς ἂν δύνωμαι διὰ βραχυτάτων. Πρώτη μὲν οὖν τέτακται ἡ τὸν βίον καὶ τὸ μαρτύριον Ἰακώβου τοῦ πρώτου τῆς Ἱερουσαλὴμ ἐπισκόπου σαφῶς διεξιοῦσα, ἣν ἀνὴρ συνέγραψεν Ἱεροσολυμίτης, αἰδέσιμός τε καὶ μάλα σοφός, Ἀνδρέας ὁ Κρήτης ἀρχιεπίσκοπος, ὃν οἱ τὰ κατ' αὐτὸν γεγραφότες ἀπὸ μεσούσης τῆς ἑβδόμης λέγουσι γενέσθαι ἑκατονταετηρίδος ἄχρι τοῦ 724 ἔτους [1].

[1] Ὅρα Fabricii, Bibl. Gr. ἐκδ. Harles τ. XI, σ. 62—64. Φιλαρέτου ἀρχιεπισκόπου Τσερνιγόβου, Ἱστορικὴ διδασκαλία περὶ τῶν πατέρων τῆς Ἐκκλησίας, συγγραφεῖσα μὲν

Τὸ δὲ περὶ ἐκείνου πόνημα τούτου τοῦ ἀνδρός, ὃ ἄγνωστον ἦν τοῖς ἐφ' ἡμᾶς τὰ κατὰ Ἰάκωβον συγγράψασι [1], Συμεὼν ἐγνώκει ὁ Μεταφράστης· οὗτος γὰρ παραφράσας ἐκεῖνο ἢ καὶ ἄλλαις μετασχηματίσας λέξεσιν, ἰδίαν ἐποίησε γραφήν, ἣ καὶ ἐν πολλοῖς ἀπογράφοις ὑπάρχει καὶ τύποις τρὶς ἐξεδόθη [2]. Τοῦ ἔργου οὖν Ἀνδρέου τοῦ Ἱεροσολυμίτου, ὃ εἰς λήθην ἄχρι τοῦ νῦν περιῆλθεν, δύο μοι ἐγνώσθη ἀπόγραφα, τὸ μὲν ἐν Ἱεροσολύμοις ὑπάρχον, ἐξ οὗ ἡ ἐν τῷ βιβλίῳ τῷδε ἐγένετο καταχώρισις [3], τὸ δ' ἐν τῇ κατ' Ἄθω μονῇ τῶν Ἰβήρων, ὡς φησι Νικόδημος ὁ Νάξιος [4]. Δευτέρα δὲ γραφή ἐστιν ὁ περὶ εἰρήνης λόγος Σευηριανοῦ τοῦ Γαβάλων ἐπισκόπου, ὃν παρὰ βιβλίου τῆς δωδεκατης ἐξεγραψάμην ἑκατονταετηρίδος· συγγέγραπται δὲ τῷ ἔτει 401, ὅτε Σευηριανῷ τε καὶ Ἰωάννῃ τῷ Χρυσοστόμῳ ὁμόνοια καὶ εἰρήνη ἐγένετο, περὶ ἧς οἱ τὰ κατ' αὐτοὺς ἱστορήσαντες πραγματεύονται [5]. Ἦν δὲ ὁ λόγος τούτοις μὲν γνώριμος ἐκ τεμάχους τινὸς λατινιστὶ παλαιόθεν ἡρμηνευμένου [6], ἔγωγε δὲ τὸ ὅλον αὐτοῦ κείμενον κατ' αὐτὴν τὴν τοῦ συγγραφέως λέξιν νεωστὶ εὗρηκα, καὶ τοῦτο ψευδῶς τὸ Ἰωάννου ἔχον τοῦ Χρυσοστόμου ἐπιγεγραμμένον ὄνομα· δι' ὃ πλείστης ὑποψίας πεπλησμένος, μὴ καὶ ἄλλοι ἐκείνου λόγοι ψευ-

ρωσιστὶ . . ἐξελληνισθεῖσα δὲ ὑπὸ Νεοφύτου Παγίδα ἀρχιμανδρίτου. Ἐν Ἱεροσολύμοις 1886—1888, σ. 326—328. K. Krumbacher, Geschichte der byzantinischen Litteratur. München 1891, σ. 319.

[1] Ἰδὲ R. A. Lipsius, Die apokryphen Apostelgeschichten und Apostellegenden (Braunschweig 1883—1887), τ. II², σ. 249, ἔνθα προσθετέον τὸ εἰς Ἰάκωβον ἐγκώμιον Νικήτα τοῦ Παφλαγόνος, οὗ ἡ ἀρχή· «Ὡς γλυκεῖα τῆς παρούσης ἡμέρας». Τούτου δὲ μέμνηται Νικόδημος ὁ Νάξιος (Συναξαρ. ἐκδ. Ἀθηνῶν τ. I, σ. 185 ἐν ὑποσημειώσει). Πρόσθες ἔτι τὸ ὑπὸ Matthaei (Notitia cod. manuscr. graec. biblioth. Mosquen. sanctissimi Synodi. Mosquae 1776, cod. XI) ἐκδοθὲν κείμενον, οὗ ἡ ἀρχή· «Ὁ μέγας Ἰάκωβος μετὰ Χριστόν» κτλ.

[2] Acta Sanctorum, Μαΐου τ. I, σ. 735. Combefisii, Auct. noviss. I, σ. 519. Migne, Patrol. Gr. τ. 115, σ. 200.

[3] Τὸ ἀπόγραφον κατὰ τὴν δεκάτην ἢ ἑνδεκάτην ἐγένετο ἑκατονταετηρίδα.

[4] Συναξαριστοῦ τ. I, σ. 185 ἐκδ. Ἀθηνῶν, ἐν ὑποσημειώσει.

[5] Amedee Thierry, S-t Jean Chrysostome et l'imperatrice Eudoxie. Paris 1884, 3-e edition, σ. 94—101. Aime Puech, S-t Jean Chrysostome et les moeurs de son temps. Paris 1891, σ. 293—295.

[6] Ἐκδ. D. A. B. Caillau τ. XXIII (Parisiis 1842), σ. 103—105.

δῶς παρὰ τῶν ἀπογραφέων ἐπιγεγραμμένοι τῷ ὀνόματι τούτου εἶεν, ὀλίγον τά τε γραπτὰ καὶ τὰ ἔντυπα ἐρευνήσας βιβλία τὴν ὑποψίαν χρῆμα ἀναμφισβήτητον γεγενημένην ἠδέως εἶδον. Οἷός ἐστιν ὁ περὶ Ἰωάννου τοῦ εὐαγγελιστοῦ βραχὺς λόγος, ὃς ἐν ἀπογράφοις μὲν ἱεροσολυμιτικοῖς τῷ Χρυσοστόμῳ ἐπιγέγραπται [1], τῷ δ' ὄντι περίληψίς τις φαίνεται οὖσα μακροῦ περὶ Ἀποστόλων λόγου τοῦ Σευηριανοῦ εἰς τὸν ἁρμένιον μόνον σωζομένου λόγον [2]. Ἀλλὰ περὶ μὲν τοῦ τοιούτου καὶ τηλικούτου προβλήματος ἄλλοθί που ῥηθήσεται.

Μετὰ δὲ τὸν ὡς εἴρηται Σευηριανοῦ περὶ εἰρήνης λόγον Ἀμβροσίου μὲν τοῦ Μεδιολάνων ἐπισκόπου βίον μακρὸν ἔταξα (σ. 27—88), ὃς παρὰ τῆς λατινίδος εἰς τὴν ἑλληνίδα ἡρμήνευται φωνὴν ἢ κατὰ τὴν ὀγδόην ἢ κατὰ τὴν ἑνάτην ἑκατονταετηρίδα· τούτου δὲ συγγραφεὺς Παυλῖνός τις ἐμφέρεται, ὃς τελευτώσης ὡς ἔοικε τῆς ἑβδόμης ἐγένετο ἑκατονταετηρίδος. Τοῦ δ' Ἀμβροσίου βίοι μὲν κατ' ἔκτασιν δύο προεγιγνώσκοντο ἑλληνικοί, ὁ μὲν ἀνώνυμος [3], ὁ δὲ Συμεῶνι τῷ Μεταφραστῇ ἐπιγεγραμμένος [4]. Αλλ' ὁ Σαβαΐτης κῶδιξ, ὃς ἔτει 1091 κατεσκεύασται καὶ ἐξ οὗ νῦν ἐγὼ τὸ ἐν τοῖσδε τοῖς ἀναλέκτοις ἐκδίδωμι κείμενον, δῆλον μὲν ποιεῖ, ὅτι οἱ ἑλληνιστὶ τὰ κατ' Ἀμβρόσιον συγγεγραφότες ἑρμηνείαν παρ' ἑαυτοῖς παλαιὰν εἶχον τοῦ ὑπὸ Παυλίνου προσυντεταγμένου βίου· ὅτι δ' οὗτος ὁ βίος παρὰ τῆς λατινίδος ἡρμήνευται φωνῆς, περιττὸν οἶμαι καὶ λέγειν· ὁ γὰρ τοῦτον ἀναγνωσόμενος ἱκανὸς ἔσται ἀμέσως τῇ ἐμῇ πείθεσθαι δόξῃ ἔκ τε τοῦ λόγου τοῦ μεταφράστου καὶ ἐκ τῶν ἐμφερομένων αὐτῷ ἱερῶν ῥήσεων, αἳ κατ' ἄλλην ἤπερ τὴν γνωστὴν ἀπαντῶσι λέξιν. Ἵνα δ' ἐμφανὲς τὸ ἐμοὶ δοκοῦν γένηται, ἄμφω τὼ κειμένω παρατάξαι ἔγνων, τὸ λατινικὸν πρότερον τοῦ ἑλληνικοῦ θείς.

[1] Α. Π. Κεραμέως, Ἱεροσολυμιτικὴ Βιβλιοθήκη τ. Ι, σ. 23 καὶ 231.

[2] Severiani sive Scheriani Gabalorum episcopi Emesensis homiliae nunc primum editae ex antiqua versione armena in latinum sermonem translate per Jo. Bapt. Aucher. Venetiis 1827, σ. 129—177. Ὁ αὐτὸς Aucher λόγους τοῦ Σευηριανοῦ δύο ψευδῶς τῷ Χρυσοστόμῳ ἐπιγεγραμμένους σημειοῖ ἐν σελ. 250 καὶ 414 τούτου τοῦ βιβλίου.

[3] Migne, Patrol. Latin. τ. 14, σ. 45—66.

[4] Migne, Patrol. Gr. τ. 116, σ. 861.

Μετὰ δὲ ταῦτα τέταρτον ἐτυπώθη κείμενον (σ. 89—113) λόγον περιέχον κατὰ Νεστοριανῶν, Μάρκῳ ἐπιγεγραμμένον ἀββᾶ τῷ εὐδοκίμως μεμαθητευκότι Ἰωάννῃ τῷ Χρυσοστόμῳ, ὃν οὔτ' ἐν ἐντύπῳ οὔτ' ἐν δευτέρῳ γραπτῷ ἐγένετό μοι ἐξευρεῖν βιβλίῳ, εἰ μὴ ἐν ἑνὶ κώδικι, ὃς κατὰ τὴν τρίτην καὶ δεκάτην ὡς εἰκάσαι ἐγράφη ἑκατονταετηρίδα. Ἦν δὲ τὸ ἀπόγραφον καὶ ἐφθαρμένον ἔστιν οὗ καὶ σφαλμάτων μεστόν, ὡς μαρτυρεῖ τά τε ὑπὸ τὸ κείμενον παρασεσημασμένα ἀναγνώσματα καὶ τὰ πρὸς τῷ τέλει τῶν ἀναλέκτων τῶνδε σεσωρευμένα. Τὰς θύρας μέντοι τῶν ἀναλέκτων τῷ λόγῳ ἐπικλεῖσαι τῶδε οὐχ οἷός τε ἦν διὰ τὰ ἐσφαλμένα· ἡ γὰρ τοῦ λόγου τοῦδε σπάνις καὶ τὸ τῆς φράσεως χάριεν, ἢ τῷ Μάρκῳ ἀφελὴς καὶ πραεῖα πέφυκεν, ἐκείνας μὲν ἀνέῳξαν, ἐμὲ δὲ ἀναπληρῶσαι μὲν τὰ ἐφθαρμένα ἠνάγκασαν, ἐκκαθάραι δὲ τὰ ἐσφαλμένα ὡς ἐδόκει μοι, ἕως ἄλλοθί που δεύτερον εὑρεθείη ἀπόγραφον καὶ ἢ ἐμὲ εἰς δευτέραν προτρέψειεν ἔκδοσιν, ἤ τινα ἄλλον ἐπὶ ταύτην πως παρορμήσειεν. Ἐν τῷ Σαβαΐῳ μὲν οὖν κώδικι, ὃς ποικίλα διαφόρων ἐμπεριέχει πονήματα [1], οἱ

[1] Ὁ κῶδιξ οὗτος κατὰ τὸν αὐτοχειρὶ ἐσωθέν τε καὶ ἔξωθεν ἐπιτεθειμένον ἀριθμὸν τριακοσιοστὸς καὶ ἑξηκοστός ἔστος ἀναγέγραπται ἐν τῳ ὑπ' ἐμοῦ συνταχθέντι καὶ νῦν τύποις ἐκδιδομένῳ καταλόγῳ τῆς τοῦ ὁσίου Σάβα συναγωγῆς. Ἐν τούτῳ οὖν τῳ τεύχει ἀνεῦρον σὺν ἄλλοις μεγάλα τῆς Ἀπολλοδώρου βιβλιοθήκης τεμάχη, ἀνωνύμως κείμενα, ἃ τὸ τρίτον αὐτοῦ συμπληροῖ βιβλίον. Καὶ νυν μὲν τούτων φωτότυπον παρασκευάζω ἔκδοσιν, πρότερον δ' ἐν τῷ Ῥηνείῳ κατεχώρισα Μουσείῳ (Rheinisches Museum 1891, σ. 161—192), κεκαλλιγραφημένον εἰς Βόννην ἀποστείλας ἀντίγραφον. Μετὰ δὲ τὴν ἐκτύπωσιν παρετήρησα ὅτι ῥησίδιά τινα ἐν τῳ πρώτῳ αὐτοχείρῳ ὑπάρχοντα ἀντιγράφῳ τὴν ἐμὴν διέλαθε προσοχήν, ἃ νυν δῆλα ποιῶ τοῖς τε τὸ εἰρημένον ἔχουσι Μουσεῖον καὶ τὸ ἐμὸν βιβλιάριον (Apollodori bibliothecae fragmenta Sabbaitica. Bonnae 1891). Μους. σ. 166, Apol. σ. 6, 9 γράφει «Μενέλαον μὲν αὐτὸν αἱρεῖται νομφίον· Ὀδυσσεῖ δὲ παρὰ Ἰκαρίου μνηστεύεται Πηνελόπην. Μενέλαος μὲν οὖν» κτλ.—Μους. 173, Apoll. 13, 4 γράφει: «τὸν ἵππον, καὶ παρὰ τοῖς Πριάμου βασιλείοις στήσαντες ἐβουλεύοντο τί χρὴ ποιεῖν». — Αὐτόθι 7 γράφει: «εὐωχοῦντο. Ἀπόλλων δὲ αὐτοῖς σημεῖον ἐπιπέμπει· δύο γὰρ δράκοντες διανηξάμενοι διὰ τῆς θαλάσσης ἐκ των πλησίον νήσων τοὺς Λαοκόωντος υἱοὺς κατεσθίουσιν. ὡς δὲ ἐγένετο» κτλ.—Μους. 183, Apoll. 23, 33 γράφει «ἔξειν ἀπαγαὼν εἰς Ἀθήνας». — Μους. 185, Apoll. 25, 26 γράφει: «Ἀχιλλέα. πρότερον δὲ ἦν ὄνομα αὐτῷ Λιγύρων, ὅτι τὰ χείλη μασθοῖς οὐ προσήνεγκεν». Καὶ ταῦτα μὲν τὰ προσθετέα· τὰ δ' ἐξῆς διορθούσθω ὧδε· Μους. 173, Apoll. 13, 9 Ἀχιλλέως. — M. 176, Ap. 16, 30 ἀντὶ «αὐτὸ» ὁ κῶδιξ ὀρθῶς ἔχει «αὐτῶ».—M. 180, Ap. 29, 30 γράφει: «τὰς του Τειρεσίου». — M. 184, Ap. 24, 5 cod. Οἰνωπίωνα. — Αὐτόθι 28 cod. ὀχούμενος.—M. 185, Ap. 25, 9 cod. ἠλαγμένην. — M. 186, Ap. 26, 1 cod. αὐτω. — M. 187, Ap. 27, 8 cod.

τοῦ ἀββᾶ Μάρκου λόγοι εἰς ἕνδεκα ἀριθμοῦνται (φύλλ. 173 — 195), ὧν πρῶτος μὲν ὁ περὶ μετανοίας τέτακται, ὕστατος δὲ ὁ νῦν κατὰ Νεστοριανῶν ἐκδιδόμενος. Περὶ δὲ τοῦ προτελευταίου, ὃς "περὶ νηστείας λόγος θ'" ἐπιγέγραπται, ὁ καλλιγράφος τοῦτον διδάσκει "τῶν Νεστοριανῶν ια'" καλεῖν. Ἡ γοῦν τάξις τῶν λόγων διάφορός ἐστι τῆς παρὰ Φωτίῳ, ὃς λέγει ὅτι "οὐ πάντα τὰ ἀντίγραφα τὴν αὐτὴν διασώζει (τάξιν), ἀλλ' ἔνια μὲν προτάττει, ἄλλα δὲ ὑποτάττει, ὥς τινα καὶ τὴν ἐσχάτην τοῖς πρώτοις ἀπονέμειν χώραν" [1]. Ταῦτα μὲν Φώτιος, ὃς τὴν κατὰ Νεστοριανῶν Μάρκου γραφὴν ἠγνόησεν.

Μετὰ δὲ ταύτην πέμπτον ἐπέρχεται κείμενον, ὃ λείψανον ἐγκωμίου εἰς Κωνσταντῖνον πιθανῶς ζ' τὸν πορφυρογέννητον σώζει (σ. 114—115)· τοῦτο δ' ἐν μεμβρανίνῳ φύλλῳ τῆς ἑνδεκάτης εὑρέθη ἑκατονταετηρίδος, ὃ ἔνδον τῆς ἔμπροσθεν πινακίδος προσέρραπται τοῦ 31-ου κώδικος τῆς τοῦ τιμίου Σταυροῦ συναγωγῆς. Αὐτὸ δὲ τὸ φύλλον δίστηλον ἔχει τὸ κείμενον. εἴκοσι καὶ ἑπτὰ κατὰ στήλην γραμμὰς ἀριθμοῦν. Ἓκ κώδικος δὲ ὡσαύτως τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος ἄλλο ἐξήχθη κείμενον, ἕκτον τὴν τάξιν (σ. 116—123), ὃ λόγον κατὰ Ἀρμενίων ἐμπεριέχει τοῦ ὀρθοδόξου αὐτοκράτορος Ἀλεξίου α' τοῦ Κομνηνοῦ. Αὐτὸς δὲ ὁ λόγος πρὸς Νεῖλον μὲν ἀποτείνεται τὸν Ἀρμένιον, Ἄννα δὲ ἡ τοῦ αὐτοκράτορος θυγάτηρ τούτου τε καὶ τοῦ λόγου ὧδέ πως ἐμνήσθη. «Ἐπεὶ δὲ τὴν ἐκκλησίαν ὥσπερ τι ῥεῦμα κακίας ὁ Νεῖλος ἐκεῖνος ἐπικλύζων πολὺν τὸν σάλον ταῖς τῶν ἀπάντων ἐνεποίει ψυχαῖς μετ' οὐ πολὺ τῆς τῶν τοῦ Ἰταλοῦ δογμάτων καθαιρέσεως ἀναφανεὶς καὶ πολλοὺς ταῖς δίναις τῆς αὐτοῦ κακοδοξίας ἐβύθισεν (ἀνὴρ δὲ οὗτος.... [ὃς] τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ καθ' ἡμᾶς ἀγνοήσας μυστηρίου καὶ μήθ' ὅ τι ἐστὶν ἕνωσις ἁπλῶς συνιέναι δυνάμενος μήθ ὅ τι ἐστὶν ὅλως ὑπόστασις εἰδὼς οὔτε διακεκριμένως ὑπόστασιν ἢ ἕνωσιν νοεῖν

φασι. — M. 188, Ap. 28, 4 γράφει: «ἐκέλευε». Ταῦτα μὲν οὖν κατὰ τὸ πρώτιστον ἀπόγραφον, ὃ ἔτει 1887 ἐγράφη· ὅσα δὲ ἄλλα, ἃ minutias λέγουσιν, ἐν τῷ προλόγῳ τῆς φωτοτυπικῆς μηνυθήσεται ἐκδόσεως.

[1] Φωτίου μυριόβιβλον, κῶδ. σ'.

δυνάμενος μήτ' αὐθις ἡνωμένως καθ' ὑπόστασιν ἕνωσιν μήθ' ὅπως ἐθεώθη τὸ πρόσλημμα παρὰ τῶν ἁγίων διδασκόμενος. πόρρω του ὄντος ἐξενεχθεὶς φύσει τοῦτο θεωθῆναι ἐδόξαζεν ἀπατώμενος), οὐδὲ τοῦτο διέλαθε τὸν αὐτοκράτορα· ἀλλ' ὡς ἤσθετο τὰ περὶ τούτου, ὀξύρροπον ἐπινοεῖ τὴν βοήθειαν καὶ τὸν ἄνδρα μεταχαλεσάμενος πολλὰ τοῦ θράσους καὶ τῆς ἀμαθίας ἐμέμφετο, καὶ πολλὰ τοῦτον ἐλέγξας τήν τε καθ' ὑπόστασιν ἕνωσιν τοῦ θεανθρώπου Λόγου τρανῶς ἐδίδασκε καὶ τὸν τῆς ἀντιδόσεως τρόπον παρίστα καὶ ὅπως ἐθεώθη τὸ πρόσλημμα μετὰ τῆς ἄνωθεν ἐδίδαξε χάριτος. Ὁ δὲ τῆς ἰδίας ψευδοδοξίας ἀπρὶξ εἶχετο καὶ πρὸς πᾶσαν κάκωσιν, στέβλας τε καὶ δεσμὰ καὶ ξεσμοὺς σαρκὸς ἑτοιμότατος ἦν ἢ ἀποστῆναι τοῦ μὴ θεωθῆναι φύσει διδάσκειν τὸ πρόσλημμα. Εἶχε δὲ τότε καὶ πολλοὺς τῶν Ἀρμενίων ἡ μεγαλόπολις, οἷς τῆς ἀσεβείας ὑπέκκαυμα ὁ Νεῖλος ἐκεῖνος ἐγίνετο· ἐντεῦθεν διαλέξεις τε συχναὶ πρὸς τὸν Τικράνην ἐκεῖνον καὶ τὸν Ἀρσάκην, οὓς ἐπὶ πλέον τὰ τοῦ Νείλου δόγματα πρὸς ἀσέβειαν ἠρέθιζε. Τί τὸ ἐντεῦθεν; τὴν ἀσέβειαν πολλῶν ἐπινεμομένην ψυχὰς ὁρῶν ὁ αὐτοκράτωρ καὶ ἀλλήλοις τὰ τοῦ Νείλου καὶ τῶν Ἀρμενίων ἐπιπλεκόμενα καὶ ἁπανταχῆ τὸ φύσει θεωθῆναι τὸ πρόσλημμα λαμπρᾷ φωνῇ κηρυττόμενον ἀθετουμένας τε τὰς τῶν ἁγίων πατέρων περὶ τούτου γραφὰς καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀγνοουμένην σχεδόν, στῆσαι τὴν σφοδρὰν τοῦ κακοῦ ῥύμην βουληθεὶς τοὺς τῆς ἐκκλησίας λογάδας συναγαγὼν σύνοδον περὶ τούτους γενέσθαι κοινῇ συνεσκέψατο. Καὶ παρῆν τηνικαῦτα ἅπαν τὸ τῶν ἀρχιερέων πλήρωμα καὶ αὐτὸς ὁ πατριάρχης Νικόλαος. Καὶ ὁ Νεῖλος εἰς τὸ μέσον μετὰ τῶν Ἀρμενίων ἵστατο, καὶ τὰ τούτου ἀνεκαλύπτοντο δόγματα, καὶ ὃς λαμπρᾷ τῇ φωνῇ ταῦτα ἐδίδασκε καὶ ἰσχυρῶς αὐτῶν διὰ πλειόνων ἀντείχετο. Τί τὸ ἐντεῦθεν; ἡ σύνοδος, ἵνα πολλῶν ἀπαλλάξῃ ψυχὰς τῆς διεφθαρμένης αὐτοῦ διδαχῆς, αἰωνίῳ τοῦτον καθυπέβαλεν ἀναθέματι καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν κατὰ τὰς τῶν ἁγίων παραδόσεις ἐμφανέστερον ἀνεκήρυξεν» [1]. Ἐγένετο δὲ ἡ σύνοδος ἔτει 1094.

[1] Annae Comnenae porphyrogenitae Alexias ex recogn. Aug. Raifferscheidii. Lipsiae 1884, τ. II, σ. 56 - 57.

Ἑβδόμη δὲ γραφὴ τέτακται ἡ δίπτυχα τῆς ἐν Ἱεροσολύμοις ἐμπεριέχουσα ἐκκλησίας, ἃ τριμελὴς ἐκκλησιαστικῶν τινων συνδεῖ ἀσμάτων συλλογή (σ. 124—143). Ταῦτα δὲ πάλαι ἐκεῖ ἐψάλλετο καὶ ἀνάμνησιν ἐποιεῖτο τῶν ὀρθοδόξως καὶ ὁσίως βεβιωκότων πατριαρχῶν τῶν ἀπὸ τῆς Ἰακώβου τοῦ ἀδελφοθέου ἐπισκοπῆς ἄχρι τῆς Γρηγορίου γεγονότων πατριαρχίας, ὃν ἔτει 1281 σαφῶς ἴσμεν γενόμενον· τοῦτον γὰρ μηνύει ἔμοι γε κριτῇ τὸ ἐν σελίδι 134 τροπάριον, ὅ φησιν·

Ἀσύγκριτος ἐδείχθης ἀρχιερεύς,
λειτουργὲ τοῦ Κυρίου Γρηγόριε,
θεολογῶν
καὶ τῆς ἀληθείας ὑπερμαχῶν·
τῷ γὰρ Πατρὶ ὁμότιμον
καὶ Υἱῷ τὸ Πνεῦμα συμπροσκυνῶν
ἐκήρυξας ἐκ μόνου
αὐτὸ ἐκπορεύεσθαι
σὺ τοῦ Πατρὸς καὶ σχεῖν τὴν ὕπαρξιν.

Καὶ γὰρ γραφή τις τούτου κατὰ Λατίνων σώζεται τήνδε τὴν ἐπιγραφὴν ἔχουσα· «Κεφάλαια ἀντιρρητικὰ κατὰ τῶν τοῦ Βέκκου δογμάτων τε καὶ γραμμάτων, σταλέντα μὲν πρὸς πάσας τὰς τοῦ Χριστοῦ ἐκκλησίας παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Γρηγορίου, γραφέντα δὲ προστάξει τοῦδε ἀπὸ φωνῆς τοῦ διδασκάλου τοῦ εὐαγγελίου κυρίου Γεωργίου τοῦ Μοσχάμπαρος» [1]. Αὐτὰ μὲν οὖν τὰ δίπτυχα καὶ τὰ τούτοις συνεπόμενα ἄσματα μετὰ θάνατον συνετάχθη Γρηγορίου ἢ περὶ τὸ τέλος τῆς τρίτης καὶ δεκάτης ἢ ἀρχομένης τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος· τὰ δ' ἄσματα στιχηρά τινά ἐστι τροπάρια καὶ κανόνες δύο, ὧν ὁ τὴν πρώτην μὲν ἔχων τάξιν ποιητὴν ἑαυτοῦ Νεῖλόν τινα ἀναφαίνει, ὁ δ' ἕτερος ἀνώνυμος κεῖται. Συνῆν δὲ πάντα ἐν ἑνὶ κώδικι, ὃς ἀρχομένης ἢ μεσούσης τῆς τεσσαρεσκαιδεκάτης γραφεὶς ἑκατονταετηρίδος ἄσματα ἐμπεριεκλείει ἐν μόνῃ τῇ κατὰ Ἱεροσόλυμα ψαλλόμενα πάλαι ἐκκλησίᾳ. Ἐκ τούτου οὖν τοῦ τεύ-

[1] Ὅρα περί τε τοῦ συγγραφέως καὶ τῶν κεφαλαίων τὴν συνταχθεῖσαν παρ' Ἀνδρονίκου τοῦ Δημητρακοπούλου συγγραφήν, ἣ «Ὀρθόδοξος Ἑλλὰς» ἐπιγράφεται, σελίδι 60—63.

χους τὰ προειρημένα ἐξαγαγὼν δίπτυχα τὴν ἔκδοσιν τήνδε ἐποίησα χρησίμους τισὶ τὰς γραφὰς ἐλπίσας ἔσεσθαι· τοῖς ἐφ' ἡμᾶς γὰρ ἐκ τῶνδε μὲν τῶν διπτύχων πλήρης νῦν τὸ πρῶτον γνωρίζεται ἡ τῶν ἐν Ἱεροσολύμοις ὀρθοδόξως πατριαρχησάντων ὁμήγυρις· ταὐτὰ δ' αὐτύπον ἔχει ἐπίσημόν τε καὶ ἔγκυρον. καὶ τοὺς μὲν τῶν λοιπῶν ἀσήμων πινάκων διορθοῖ τε καὶ συμπληροῖ, τοὺς δὲ κυροῖ, ἀκριβεῖς αὐτοὺς εἶναι σημαίνοντα. Τούτων δὲ τῶν διπτύχων διαφοραί τινες πρὸς τοὺς πίνακας Εὐσεβίου καὶ Νικηφόρου ὑπάρχουσι, καὶ παραδείγματος χάριν τῶν πρώτων ἐπισκόπων τὴν πρὸς Εὐσέβιον διαφορὰν ὧδέ πως ἀνακρίνω. Ἐν μὲν τῷ πίνακι Εὐσεβίου τρίτος ἐπίσκοπος Ἰοῦστός τις ὀνομάζεται [1], τοῦτον δὲ τὰ δίπτυχα Ἰούδαν τετράκις καλεῖ· ἐπεὶ δ' Εὐσέβιος "Ἰουδαῖόν τινα ὄνομα Ἰοῦστον" εἴρηκεν, εἰκάζω τὴν ῥῆσιν αὐτοῦ ἐφθαρμένην εἶναι, ἣν γραπτέον ἴσως ὧδε· "Ἰούδαν τινὰ ὄνομα Ἰοῦστον". Τέταρτον δ' ἐπίσκοπον ὁ αὐτὸς Ζακχαῖον εἶναι ἔφη [2], ὃν οὕτω καὶ τὰ δίπτυχα λέγει, οὐ μὴν δὲ Ζαχαρίαν, ὡς φησι Νικηφόρος [3]. Οἱ δ' ἐφεξῆς ἐπίσκοποι οἱ μέχρι Συμμάχου, ὃς τὴν εἰκοστὴν καὶ δευτέραν ἐπέχει τάξιν, ἔν τε τοῖς διπτύχοις κἀν τῇ Εὐσεβίου ἱστορίᾳ τὸν αὐτὸν συνάλληλον παρ' αὐτοῖς εἰρμὸν σώζουσιν ἔξω τῶν διαφορῶν τῶνδε, ὅτι οὓς Εὐσέβιος Ἐφρῆν Μάξιμον καὶ Γάϊον καλεῖ, τούτους τὰ δίπτυχα Ἐφραὶμ Μαξιμιανὸν καὶ Γαϊανὸν ὀνομάζει [4]. Μετὰ δὲ τούτους πάλιν Εὐσέβιός τε καὶ οἱ μετ' αὐτὸν Γάϊον ἕτερον καὶ πάλιν ἕτερον Ἰουλιανὸν ἀναγράφουσιν· τούτους δὲ τὰ δίπτυχα παντάπασιν ἀγνοεῖ. Μετὰ δὲ Καπίτωνα τὰ μὲν δίπτυχα Μάξιμον καὶ Ἀντώνιον ἀναγράφει, τὸν μὲν τὴν εἰκοστὴν τρίτην τὸν δὲ τὴν εἰκοστὴν καὶ τετάρτην κατ' αὐτὰ ἐπέχοντας τάξιν· Εὐσέβιος δὲ ἀμφοτέρους τούτους ἐν τῇ ἱστορίᾳ μὲν παρασιωπᾷ, ἐν τῷ χρονικῷ δὲ δηλοῖ, τὸν Ἀντώνιον Ἀντωνῖνον ὀνομάζων [5], ὥσπερ καὶ

[1] Εὐσεβίου ἐκκλησ. ἱστορίας βιβλ. III, 35 «Ἰουδαῖός τις ὄνομα Ἰοῦστος». IV, 5, 3.

[2] Εὐσεβ. IV, 5, 3.

[3] Nicephori opuscula ed. Boor, σ. 124.

[4] Νικηφόρος ὁμοίως γράφει, πλὴν τοῦ ὀνόματος Μαξιμιανοῦ, ὃν Μάξιμον, καθάπερ Εὐσέβιος, λέγει.

[5] Eusebi chronicorum libri duo ed. A. Schoene. Berolini 1875, τ. I, σ. 77 append.

Νικηφόρος. Πρὸ δὲ τοῦ Καπίτωνος καί τινα Ἡλίαν εἰκοστὸν καὶ πέμπτον τὴν τάξιν τιθέασι· τοῦτον δ' αὖ τά τε δίπτυχα καὶ Εὐσέβιος παντάπασιν ἀγνοοῦσιν· ὅθεν ἔξεστιν εἰκάζειν πλαστόν τινα τοῦτον πατριάρχην εἶναι, καθάπερ καὶ Μόδεστον τὸν παλαιὸν λεγόμενον, περὶ οὗ μυθεύματα τινα προσαγωγὰ καὶ λόγου ἄξια ἀνώνυμος διέσπειρε συγγραφεύς, ἃ ὁ ὄχλος καὶ ἀληθῆ πιστεύει εἶναι καὶ σεβάζεται [1]. Οἱ δ' ἐφεξῆς ἐπίσκοποι οἱ ἀπὸ Οὐάλεντος ἄχρι Ἕρμωνος, ἔνθα Εὐσέβιος τὸν περὶ ἐπισκόπων διακόπτει λόγον, οἵαν τάξιν παρὰ τούτῳ ἔχουσι, τὴν αὐτὴν κἀν τοῖς διπτύχοις οὖσαν ὁρῶμεν, εἰ μὴ τὰ ὀνόματα κατ' ἄλλην γράφεται φωνήν, οἷον Δηλιχιανὸς Γερμανὸς Μαζαβανᾶς Ἰεμέναιος Ζαβδᾶς Ἑρμᾶς, ἀντὶ Δηλιχιανοῦ Γερμανίωνος Μαζαβάνου Ὑμεναίου Ζάμβδα καὶ Ἕρμωνος. Ταῦτα μὲν οὖν τὰ δίπτυχα οὕτως Εὐσεβίῳ διαφέρει, ὃν τὰ παρ' αὐτῷ ὀνόματα τῶν ἐπισκόπων πιστεύειν ἔξεστιν ἐκ παλαιῶν εἰληφέναι διπτύχων, ἃ ἂν ἐν Ἱεροσολύμοις ἐκείνου ἀκμάζοντος ἐσώζετο. Τὰ δὲ δίπτυχα, ἃ νῦν ἐγὼ εἰς φῶς ἐκφέρω, ἐν κατωτάτῃ γραφέντα ἐποχῇ κατ' ἀρχαῖα τινα λελωβημένα πιθανῶς δίπτυχα, μέχρι μὲν Ἕρμωνος ἐπισκόπου ἄξια πολλῆς εἶναι πίστεως οὐκ οἶομαι, ἀπὸ δὲ τῆς ἐκείνου ἀρχῆς καὶ ἐφεξῆς πίστεως εἶναι μεγάλης ἄξια καὶ πέπεισμαι καὶ ἄλλοις τοῦτ' αὐτὸ πιστεύειν ποιῆσαι προθυμοῦμαι. Νικηφόρος μὲν γὰρ ἀρχιερεῖς Ἱεροσολύμων ἀφ' Ἕρμωνος ἄχρι Σωφρονίου ὀνομαστὶ καταγράφει, Ἕρμωνος διάδοχον Μακάριον εἶναι σημαίνων· οὕτω δὲ καὶ τὰ δίπτυχα, ἃ πρὸς Νικηφόρον τάδε διαφέρει. Θεοδόσιον μὲν γὰρ οὗτος μετὰ Ἰουβενάλιον τὸ πρῶτον ἄρξαντα φανερῶς δηλοῖ, τεσσαρακοστὸν καὶ ἕβδομον ἀπὸ Ἰακώβου τοῦ ἀποστόλου εἶναι

[1] Μόδεστος οὗτος ὁ θαυματουργὸς ἄλλῳ τινὶ ὁμωνύμῳ συγχεῖται, ἀλλ' ἡ τῆς ἀκριβείας ζήτησις δυσχερής. Ὁ δὲ βίος αὐτοῦ, ὃς ἐν δυσὶν ἀπογράφοις εὑρηται (Νικοδήμου, Συναξαρ. τ. 1, σ. 312 ἐν ὑποσημειώσει. Matthaei, Accurata codicum graec. mss. bibl. Mosqu. sanct. syn. notitia σ. 33), εἰς τὴν δημώδη ἡρμηνεύθη φωνὴν παρ' Ἱεροθέου τοῦ Ἰβηρίτου ἱερομονάχου (Λόγοι καὶ παραινέσεις τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου, εἰς ἁπλῆν φράσιν μεταγλωττισθέντες, καὶ μερικοὶ βίοι ἁγίων κτλ. Ἐνετίησι 1721, σ. 349—354). Εὑρηται δ' ἡ παράφρασις καὶ ἐν βιβλιαρίοις τρισ ἢ τετράκις ἐκδοθεῖσιν, ἐν οἷς ἡ ἀσματικὴ τοῦ ἁγίου Μοδέστου τεταμίευται ἀκολουθία. Ἐν τούτῳ οὖν τῷ βίῳ καὶ ἄλλος τις οὐκ οἶδ' ὅπως πλαστὸς ἅπαντα πατριάρχης Ἱεροσολύμων, ᾧ ὄνομα Πλάτων.

τοῦτον λέγων ἐπίσκοπον, ὃν Μαρκιανὸς αὐτοκράτωρ ἐξέβαλεν Ἰουβενάλιον τὸ δεύτερον καταστήσας· τὰ δὲ δίπτυχα Θεοδοσίου οὐ μνημονεύει. Καὶ δικαίως· παρανόμων γὰρ καὶ ἐπισκόπων ἐπιβασία θρόνους ἀρχιερατικοὺς ἁρπαζόντων μνήμης μὲν ἡ τοῦ Χριστοῦ ἐκκλησία οὐκ ἀξιοῖ, ἀναθέματι δ' ἐκείνους καθυποβάλλουσα μοιχοὺς αὐτοὺς καὶ ὑβριστὰς αὐτῆς ἀναγράφει. Ἔτι δὲ τὰ δίπτυχα δύο ἀγνοεῖ πατριάρχας, οὓς Νικηφόρος μὲν ἐν τῷ πίνακι Ἀμὼν καὶ Ἰσάκιον ὀνομάζει, ἐγὼ δὲ τὸ αἴτιον τῆς τούτων ἐν τοῖς διπτύχοις ἐλλείψεως ἀπορῶ τό γε νῦν ἑρμηνεῦσαι. Μεγάλην δὲ τὰ δίπτυχα ἐν τοῖς ἑφεξῆς πατριάρχαις ἀκρίβειαν σώζει, ὡς ἔξεστιν ἐντεῦθεν εἰκάζειν. Γιαχγιὰς γὰρ ὁ Ἄραψ, οὗ τὴν χρονικὴν συγγραφὴν σαφῶς ἅμα καὶ ἀκριβῶς Ῥόζεν ὁ πολὺς τὴν παιδείαν ἡρμήνευσέ τε καὶ ὑπεμνημάτισε [1], πατριάρχας μέν τινας νεωτέρους βιογραφεῖ, οἳ ἀπὸ τῆς δεκάτης ἄχρι τῆς ἑνδεκάτης ἐγένοντο ἑκατονταετηρίδος· ὀνόματα δ' αὐτῶν Χριστόδουλος, Ἀγάθων, Ἰωάννης, Χριστόδουλος ἄλλος, Θωμᾶς, Ἰωσήφ, Ὀρέστης, Θεόφιλος καὶ Νικηφόρος. Τὰ μὲν οὖν δίπτυχα τὴν τάξιν τούτων καὶ διαδοχὴν τῷ ὄντι οὕτως σώζει, διαφορὰν δὲ ἀσήμαντον καὶ ὑπομνήσεως ἴσως ἀναξίαν τήνδε πρὸς ἄλληλα ἔχει. Φίλιππον μὲν γὰρ ἐπίσκοπον, ὃν τά τε στιχηρὰ ὁ πρῶτός τε κανὼν καὶ ἡ ἐκτενὴς ἀναφέρει ἱκεσία [2], ὁ δεύτερος παρασιωπᾷ κανών· ὃν δὲ Εὐθύμιον πατριάρχην ἐκεῖνα ὀνομάζει, τοῦτον αὖ ὁ αὐτὸς κανὼν Σωφρόνιον λέγει. Ἀμφότερα δὲ ταῦτα παραδρομὰς μᾶλλον ἂν λέγοιμι, ἢ ἐλλείψεις τοῦ ποιητοῦ εἶναι.

Ταῦτα μὲν δὴ καὶ περὶ διπτύχων· ἃ δὲ τούτοις ἐν τῷ βιβλίῳ ἕπεται, τάδ' ἐστί. Πρῶτον μὲν λόγος κατὰ Γεννουΐτῶν ἐστιν, οἳ Γαλατᾶν, τόπον ἀντικρὺ Βυζαντίου, ᾤκουν (σ. 144—159). Οὗτος δὲ ὁ λόγος ὀγδόην μὲν ἐν τοῖσδε τοῖς ἀναλέκτοις τάξιν ἐπέχει, ἐν δὲ τῷ κώδικι, ἐξ οὗ ἀντεγράφη, δωδεκάτην τῶν τοῦ συγγραφέως λόγων· αὐτὸν δὲ τὸν κώδικα ἢ παρὰ τοῦ συγγραφέως

[1] Баронъ В. Р. Розенъ, Императоръ Василій Болгаробойца. Извлеченія изъ лѣтописи Яхъи Антіохійскаго. Ἐν Πετρουπόλει 1883.

[2] Ὅρα σελ. 124, 126, 124.

αὐτοῦ ἢ παρ' ἄλλου τινὸς ὑπ' ἐκείνου κελευσθέντος γραφῆναι οἶομαι· ὄνομα δὲ τῷ συγγραφεῖ Ἀλέξιος ὁ Μακρεμβολίτης, οὗ ὅ τε βίος καὶ αἱ συγγραφαὶ ἄγνωστοι τέως ἦσαν. Νῦν οὖν τὸ πρῶτον μανθάνομεν, ὅτι ὁ μὲν ἀνὴρ μεσούσης τῆς τετάρτης καὶ δεκάτης ἐγένετο ἑκατονταετηρίδος καὶ ὅτι οὐ τετραστίχων τινῶν, ὡς φησιν Ἀρλέσιος [1], ποιητὴς ἦν, ἀλλὰ καὶ λόγων πολλῶν, ἐξ ὧν ἐγώ τινας τύποις ἐκδώσειν μέλλω [2]· αὐτὸς δὲ ὁ νῦν ἐκδοθεὶς λόγος πόλεμον ἱστορεῖ, ὃν Γεννουῖται πρὸς Βυζαντίους ἐπολέμησαν (ἔτει 1348), Ἰωάννου αὐτοκράτορος τοῦ Καντακουζηνοῦ βασιλεύοντος. Τὰ δὲ τοῦ πολέμου τούτου πράγματα καὶ ἄλλοι συγγραφεῖς κατὰ διάφορον τρόπον ἐν τῷ τότε χρόνῳ διεξῆλθον συγγράψαντες [3].

Μετὰ δὲ τὴν Ἀλεξίου γραφὴν λόγος μακρὸς εἰς τὸν μεγαλομάρτυρα κατεχωρίσθη Δημήτριον (σ. 160—215), ὃν Κωνσταντῖνος συνέγραψεν ὁ Ἀκροπολίτης, ῥήτωρ ἀγαθὸς καὶ τὸν ἕλληνα λόγον ἀκριβῶς εἰδώς· ὃς μεταξὺ τῆς τρισκαιδεκάτης καὶ τεσσαρεσκαιδεκάτης ἐγένετο ἑκατονταετηρίδος [4]. Χρήσιμος δ' ὁ λόγος τοῖς τε περὶ μαρτύρων τῆς χριστιανικῆς θρησκείας πραγματευομένοις καὶ τοῖς τὰ κατὰ Μακεδονίαν πεπραγμένα μελετῶσι, πάντων δὲ μάλιστα τὰ περὶ τοὺς μέσους λεγομένους αἰῶνας. Μεθ' ὃν δέκατον ἐτάχθη κείμενον, ὃ ἐπιστολὴν σώζει Γερμανοῦ πατριάρχου Ἱεροσολύμων (σ. 216—219), ὃς ἐν τῇ γραφῇ τῇδε Διονύσιον β'

[1] Fabricii, Bibl. Gr. τ. XI, σ. 568.

[2] Αἱ ἐκδοθησόμεναι συγγραφαὶ ἐπιγράφονται ὧδε· α') «Ἀπόδειξις ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν εἰς προνομὴν καὶ αἰχμαλωσίαν τοῖς ἔθνεσιν ἐξεδόθημεν, καὶ ὅτι ἀδύνατον ἀπὸ πίστεως μόνης σωθῆναί τινα, ὥσπερ καὶ ζῆσαι χωρὶς πνεύματος· πίστις γὰρ χωρὶς ἔργων νεκρά, ὡς καὶ ἔργα χωρὶς πίστεως. Πρός τινα ἀ . . . ἀντιρρητι[κὸν] τὸν τὰς ἁ[γίας εἰ]κόνας αἰχμαλώτους ἰδόντα καὶ ὑπὸ τοῦ λογισμοῦ ἐνοχληθῆναι ὡς ἔλεγεν ὀρθὸν εἶναι τὸ δόγμα, ὃ οἱ τῆς Ἁγὰρ πιστεύουσιν». β') «Εἰς τὴν ἁγίαν Σοφίαν πεσοῦσαν ὑπὸ πολλῶν κατὰ συνέχειαν γενομένων σεισμῶν». γ') «Ἀλληγορία εἰς τὸν Λούκιον ἢ ὄνον», ἧς ἡ ἀρχή· «Εἰ καὶ ἐν πᾶσι σχεδὸν τοῖς αὐτοῦ λόγοις Λουκιανὸς καταψεύδεται».

[3] Νικηφ. Γρηγορᾶ II, σ. 841—867 ἐκδ. Βόννης. Ἰω. Καντακουζ. III, σ. 68—80 ἐκδ. Βόννης. Πρβλ. W. Heyd, Histoire du commerce du Levant au moyen-âge. Leipzig 1885—1886, τ. II, σ. 469—501.

[4] Maximi monachi Planudis epistulae edidid Max. Treu. Vratislaviae 1890, σ. 248—249. Α. Π. Κεραμέως, Ἱεροσολ. Βιβλιοθ. I, σ. 120—123.

τὸν Κωνσταντινουπόλεως πατριάρχην σκοπὸν ἔχει. Οἶομαι δὲ τὴν ἐπιστολὴν μικρὸν γεγράφθαι μετὰ τὸν συνοδικὸν τόμον, ὃς μηνὶ νοεμβρίῳ τοῦ 1547 ἔτους κατὰ Κωνσταντινούπολιν συνετάχθη [1]. Μετὰ δὲ ταύτην ἐνδεκάτη προσετέθη γραφή, ἣ διάλογον ἐμπεριέχει κατὰ Ἰησουιτῶν τῶν ἐν Γαλατᾷ ὠκισμένων, ὃν Κύριλλος συνέγραψεν ὁ Λούκαρις (σ. 220—230)· ἐντεῦθεν δὲ φανερῶς νῦν μανθάνομεν τὴν Λουκάρεως κατ' ἐκείνων δόξαν καὶ τὰς ἀφορμὰς τοῦ πρὸς αὐτοὺς πολέμου τοῦ ἐν τῇ Κωνσταντινουπόλεως ἐκκλησίᾳ. Εὗρον δὲ τὸν διάλογον μὲν ἐν δυσὶ Σαβαϊτικοῖς κώδιξι (ἀριθ. 91 καὶ 381), τὴν δ' ἔκδοσιν αὐτοῦ ἐξ ἑνὸς τῶν ἀπογράφων τούτων ἐποίησα, τοῦ καιροῦ οὐ συγχωρήσαντος θατέρου τὴν ἐκγραφὴν ἢ τὴν ἀντιβολὴν παρασκευάσαι. Τῷ δὲ διαλόγῳ κείμενον ἕπεται δωδέκατον (σ. 231—307), ὃ τὰ ὠφελιμώτατα περιέχει τῶν παραλειπομένων τῆς ὑπὸ Δοσιθέου τοῦ Νοταρᾶ καὶ πατριάρχου Ἱεροσολύμων συγγραφείσης ἱστορίας περὶ τῶν πρὸ αὐτοῦ πατριαρχησάντων· αὕτη δὲ βιβλίον ἐστὶ χρησιμώτατον τύποις κατὰ Βουκουρέστιον (ἔτει 1715) ἐκδοθὲν ἐπιμελείᾳ τοῦ διαδόχου καὶ ἀδελφιδοῦ ἐκείνου Χρυσάνθου τοῦ Νοταρᾶ, ὃς αὐτὴν μὲν τὴν ἱστορίαν τοῖς Τούρκοις χαρισάμενος οἰκτρῶς ἐκολόβωσε, δωδεκάβιβλον μὲν ἐκείνην καταστήσας, κεφάλαια δὲ καὶ χωρία ὠφελιμώτατα καὶ βιβλίον ὅλον παραλιπών· τὸ δὲ κείμενον παρεμόρφωσεν εἰς ἀρχαίαν δῆθεν μετασχηματίσας διάλεκτον, ἤτοι ἀπαρέμφατα καὶ μετοχὰς ὡς ἔτυχε παρεισαγαγών, ἢ φράσεις χαριέσσας, κατὰ τὴν κοινὴν γεγραμμένας φωνήν, ἀλλοιώσας, καὶ ἄλλαις ἐκείνας ἀπηρχαιωμέναις μεταλλάξας λέξεσιν. Ἀγαθῇ μέντοι τύχῃ τέσσαρα τῆς Δοσιθέου ἱστορίας ἐσώθη ἀντίγραφα, ἓν μὲν ὑπ' ἐκείνου διωρθωμένον [2], ὃ εἴ τις δεύτερον ὀνομάσειε δοκίμιον οὐκ ἂν ἁμάρτοι, ἓν δὲ παρ' ἄλλης μὲν ἐκγεγραμμένον χειρὸς ὑπὸ δὲ τῆς τοῦ συγγραφέως ἐπιδιωρθωμένον [3], δύο δὲ καθαρὰ καὶ τέλεια φιλοκάλως μὲν ἀντιγεγραμμένα,

[1] E. Legrand, Notice biographique sur Jean et Theodose Zygomalas. Paris 1889, σ. 86.

[2] Ἀριθ. 21 τῆς τοῦ Σταυροῦ συναγωγῆς.

[3] Ἀριθ. 230 τῆς ἐν Βοζαντίῳ ἱεροσολυμιτικῆς βιβλιοθήκης.

ἑτοῖμα δὲ πρὸς ἐκτύπωσιν παρεσκευασμένα καὶ ὑπ' αὐτοῦ ὡς εἰκάσαι τοῦ συγγραφέως ἐπικεκυρωμένα [1]. Ἐγὼ μὲν οὖν ἃ νῦν ἐκδίδωμι παραλειπόμενα παρὰ τοῦ ἐν Ἱεροσολύμοις ἐξεγραψάμην καθαροῦ τε καὶ πληρεστάτου καὶ ἀρίστου ἀντιγράφου, τὴν δὲ περιγραφὴν τῶν εἰρημένων πάντων κωδίκων ἐν τοῖς οἰκείοις κατεχώρισα καταλόγοις, οἳ τοῦ χρόνου προερχομένου τύποις Θεοῦ θέλοντος ἐκδοθήσονται.

Ταῦτα μὲν οὖν καὶ περὶ τούτων ἱκανῶς εἴρηταί μοι· μετὰ δὲ τὰ Δοσιθέου παραλειπόμενα γραφὴν μὲν ἔταξα μακρὰν Παρθενίου τοῦ Ἀθηναίου (σ. 308 — 386), ἢ τὰ Ἀρμενίοις τε καὶ Ῥωμαίοις (ἤτοι χριστιανοῖς ὀρθοδόξοις τοῖς ὑπὸ τὴν τουρκικὴν δυναστείαν) περὶ τῶν κατὰ Παλαιστίνην ἱερῶν τόπων γεγενημένα, τοῦ ὀκτωκαιδεκάτου ἀκμάζοντος αἰῶνος, σκοπὸν ἔχει [2]· ἐξεγράφη δὲ παρὰ κώδικος ἐσφαλμένου ἐν σκευοθήκῃ τοῦ κατὰ Ἱεροσόλυμα εὑρεθέντος πατριαρχείου κἀκεῖ ἴσως νῦν ἔτι φυλαττομένου καὶ ἀρχαῖον τῆς βιβλιοθήκης ἀριθμὸν ἔχοντος ἐπιτεθειμένον. Τοῦδε οὖν τοῦ ἀπογράφου μὴ ἐξαρκοῦντος διὰ τὰ ἐσφαλμένα που κατὰ τὴν ἐκτύπωσιν καὶ μάλιστα ἐν τοῖς παρεμβεβλημένοις τουρκικοῖς ἐγγράφοις, ἄκων ἐξηναγκάσθην τὰ μὲν δοκοῦντά μοι κακῶς γεγραμμένα διορθῶσαι, τὰ δὲ μὴ πᾶσι καταληπτὰ σαφῆ μεταλλαγαῖς τισιν ἐπιδεῖξαι, τὴν δόξαν τοῦ συγγραφέως ἀκριβῶς κατ' αὐτάς γε τὰς οἰκείας τηρήσας ῥήσεις. Ἀκριβέστερα δὲ καὶ ὀρθότερα ἀπόγραφα ἄλλοθι ἢ ἐν Ἱεροσολύμοις ὑπάρχει, ἓν μὲν ἐν Καλλιπόλει, ὃ πρὸ ἐτῶν ἐκεῖ ἀνέγνων [3], ἓν δὲ Ἀθήνῃσιν, ὡς

[1] Ἀριθ. 11 τῆς τοῦ Σταυροῦ συναγωγῆς καὶ ἀριθ. 242 τῆς ἐν Βυζαντίῳ βιβλιοθήκης.

[2] Περὶ Παρθενίου τοῦ Ἀθηναίου, πατριάρχου γεγονότος Ἱεροσολύμων, ὅρα τὰ ἑφεξῆς βιβλία, ἃ νῦν προχείρως ἔχω. Καισαρίου Δαπόντε ἱστορικὸς κατάλογος παρὰ Σάθα (Μεσ. βιβλ. III, σ. 98). Σεργίου Μακραίου ἐκκλησ. ἱστορία παρὰ Σάθα (αὐτόθι σ. 214, 234, 239, 253). Γρηγορίου Παλαμᾶ Ἱεροσολυμιὰς ἤτοι σύντομος ἱστορία τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, ἐν Ἱεροσολύμοις 1864, σ. φοα'—φπα'. Κ. Α. Χρηστομάνου γενεαλογικὰ μελετήματα ἐν «Παρνασσῷ», τ. X, 1887, σ. 362—363. Περικλέους Ζερλέντη, Παρθένιος Γερένης (αὐτόθι σ. 451—453). Δημητρίου Γρ. Καμπούρογλου, Μνημεῖα τῆς ἱστορίας τῶν Ἀθηναίων τ. II, σ. 232.

[3] Α. Παπαδοπούλου Κεραμέως, Ἔκθεσις παλαιογραφικῶν ἐρευνῶν ἐν Θράκῃ καὶ Μακεδονίᾳ (Ἑλλ. Φιλολογ. Σύλλογος, παράρτημα ἀρχαιολογ. τ. XVII, σ. 10—11).

φησιν Ἰωάννης ὁ Σακκελίων [1]· ἀλλ' ἑκατέρου τὴν ἀντιβολὴν οὐχ οἷόν τε ἦν ποιῆσαι διὰ τὰς τοπικὰς ἀποστάσεις. Ἐγὼ μὲν οὖν ὡς εἶχον δυνάμεως τὸ ἱεροσολυμιτικὸν διώρθωσα ἀπόγραφον, τῆς τοῦ κειμένου ἐκτυπώσεως ἐπειγούσης διὰ τὸ χρήσιμον καὶ τὸ συμφέρον τῶν παρὰ τοῦ συγγραφέως ἱστορουμένων· ἄλλοι δ' ὕστερον κριτικὰς ποιούντων ἐκδόσεις, ἐὰν μείζονος τιμῆς τὸ πόνημα ἀξιωθῇ τοῦ Παρθενίου, οἷς μάλιστα καὶ τὸ ἐμὸν πρόθυμος χαρίζομαι ἀπόγραφον, ὃ αὐτὸ τὸ ἐν Ἱεροσολύμοις ἀπαραλλάκτως σῴζει.

Ὁ μὲν δὴ πρῶτος τῶν ἀναλέκτων τόμος τῶδε τῷ κειμένῳ πέρας ἔξειν ἔμελλεν, εἰ μή τις ἄλλη ἐπίνοια αὐτὸν μὲν ὀγκωδέστερον ποιῆσαι ἠνάγκαζεν, ἐμὲ δὲ καὶ ἄλλας γραφὰς προσθεῖναι κατήπειγεν. Αἳ δὲ πρῶτον μὲν τεμάχη εἰσὶν ἑλληνικὰ μεγάλης Εἰρηναίου γραφῆς τοῦ ἐπισκόπου Λουγδούνων (σ. 387 — 389), εἶτα δὲ εὐχὴ Ῥωμανοῦ τοῦ μελῳδοῦ, κατὰ μέτρον ἐξιδιασμένον (σ. 390—392), ἣν ἐν Σαβαΐῳ ἀνεῦρον κώδικι ἀρχομένης γραφέντι τῆς ἕκτης καὶ δεκάτης ἑκατονταετηρίδος· τρίτον δὲ καὶ ἑφεξῆς ἄλλαι τινὲς λόγου ἄξιαι γραφαί εἰσιν, περὶ ὧν τὰ δέοντα ἐρεῖν νῦν ἐπείγομαι. Ταῖς δυσὶν οὖν εἰρημέναις γραφαῖς ἐπιστολὴ Φίλωνος ἕπεται τοῦ ἐπισκόπου Καρπαθίου, ὃς Εὐκάρπῳ ταύτην διέπεμψε τῷ κατὰ Παλαιστίνην ἐρήμων βίον θεωρητικόν τε καὶ ἀσκητικὸν βιοῦντι (σ. 393 — 399)· Φίλωνα δὲ τοῦτον ἴσμεν γεγονέναι ἀμφὶ τὸ τετρακοσιοστὸν ἔτος [2]. Ἐπεὶ δὲ τὰ μὲν κατ' αὐτὸν συγκεχυμένα ἱστόρηται, τὸν δὲ πολλαχοῦ μνημονευόμενον ὁμώνυμον ἱστοριογράφων ἄλλον τινὰ ὅπερ τὸν Καρπαθίου ἐπίσκοπον λέγουσιν [3], ὀνήσιμον ἔδοξέ μοι εἶναι καὶ περὶ βλασφημίας μικράν τινα ἀνέκδοτον προσθεῖναι γραφὴν Ἀναστασίου τοῦ Σιναΐτου (σ. 400—404), ἐν ᾗ αὐτὸς μὲν ὁ συγγραφεὺς ἱστοριογράφον ἐκεῖνον καλεῖ [4], καθάπερ καὶ ἄλλοι τινές [5], σχολιαστὴς δὲ ἀρχαῖος τὸ περὶ ἐκεῖνον αἴνιγμα φανερῶς

[1] Δημητρίου Καμπούρογλου, Μνημεῖα τῆς ἱστορίας τῶν Ἀθηναίων τ. II, σ. 7—8.

[2] Fabricii, Bibl. Gr. τ. IV, σ. 751. X, σ. 479 ἐκδ. Harles.

[3] Fabricii, Bibl. Gr. τ. IV, σ. 753 καὶ 754.

[4] Ἀναλέκτων σ. 404.

[5] Θεοδωρίτου ἐπισκ. Κύρου ἑλληνικῶν παθημ. θεραπευτικὴς λόγος ζ' (Migne,

λύει, Φίλωνα τοῦτον τὸν Καρπαθίου ἐπίσκοπον εἶναι λέγων [1]. Ἄμφω δὲ τὼ κειμένω παρὰ κώδικος τῆς ἐνάτης ἢ δεκάτης ἐξεγραψάμην ἑκατονταετηρίδος, ἐν ᾧ ἡ Φίλωνος ἐπιστολὴ ταῖς γραφαῖς Ἰωάννου συνενοῦται τοῦ Καρπαθίου· προτέτακται γὰρ ἑκατοντὰς τούτου κεφαλαίων πρὸς Ἰνδοὺς καὶ εἶτα «τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς κεφάλαια περὶ ἀγενήτου καὶ γενητῶν καὶ ἀγαθοῦ καὶ καλῶν φυσιολογία, ἀσκητικὰ ἑκατὸν δεκαέξ», μεθ' ἃ ἡ Φίλωνός ἐστιν ἐπιστολὴ τάδε ἐν τῷ τέλει ἔχουσα, αὐτῇ τῇ τοῦ καλλιγράφου χειρὶ γεγραμμένα· «τέλος τοῦ μακαριωτάτου Ἰωάννου τοῦ Καρπαθίου· κεφάλαια περὶ ἀγαθοῦ καὶ καλῶν φυσιολογία ἀσκητικὰ δεκαέξ» (κῶδ. 408 Σαβ., φ. 40β).

Μετὰ οὖν τὴν Φίλωνος γραφὴν δεύτερος ἐξετυπώθη λόγος Κωνσταντίνου τοῦ Ἀκροπολίτου (σ. 405—420), ᾧ οὗτος τὸν βίον διεξέρχεται Βαρβάρου τοῦ ἁγίου, ἀνδρὸς τέως ἀγνώστου καὶ ἀφανοῦς, εἰ μὴ ἐν ταῖς ἐκκλησιαστικαῖς βίβλοις, ἔνθα μνεῖα ἐκείνου πάνυ βραχυτάτη ὑπάρχει ὡς τινος μυροβλύτου ἁγίου· τούτου δὲ τὴν ἑορτὴν οἱ τὴν ὀρθόδοξον πρεσβεύοντες δόξαν τῇ πεντεκαιδεκάτῃ μαΐου κατ' ἔτος νῦν ἄγουσιν [3]. Ὅσα μὲν οὖν στοχαστικῶς παρά τινων προελέγετο συγγραφέων περὶ τούτου τοῦ ἀνδρός, ὁ λόγος νῦν τοῦ Ἀκροπολίτου ἀναιρεῖ, τὴν ἀλήθειαν περὶ ἐκεί-

Patr. Gr. τ. 83, σ. 992 κέ). Μαξίμου τοῦ ὁμολογητοῦ περὶ διαφόρων ἀπόρων κτλ. παρὰ Migne τ. 90. Μιχαὴλ Γλυκᾶ βίβλος χρονικὴ παρὰ Migne τ. 158, σ. 525 καὶ 528.

[1] Ὅρα καὶ βίον Ἐπιφανίου ἀρχιεπ. Κύπρου παρὰ Migne τ. 41, σ. 85, § μθ'. Ἀναστάσιος δὲ πάλιν ὁ Σιναΐτης καὶ ἐν ἄλλῳ συνταγματίῳ, ὃ ἐπιγεγραπται «ἀπόδειξις ὅτι μέγα καὶ ἀγγελικὸν τὸ ἀρχιερατικὸν ἀξίωμα», τῆς ἐκκλησιαστικῆς μέμνηται ἱστορίας Φίλωνος τοῦ φιλοσόφου (Fabricii, Bibl. Gr. τ. X, σ. 599)· τοῦτο δὲ τύποις ἐξέδοτο ὁ ἐμὸς φίλος Ἰωάννης ὁ Βιτζιώφ, Описаніе пергаменнаго греческаго номоканона, XIII в., σ. 43—46. Περὶ Φίλωνος ῥηθήσεται καὶ ἐν συνταγματίῳ περὶ τῶν αὐτοῦ σωζομένων ἀποσπασματίων.

[2] Ἀναλέκτων σελ. 404.

[3] Νικοδήμου τοῦ Ναξίου Συναξαριστὴς τ. II, σ. 152. Ἰωσὴφ μοναχὸς ὁ Βρυέννιος, ὃς ἤκμαζεν ἀρχομένης τῆς ιε' ἑκατονταετηρίδος, ἀναφέρει «τὸ ἐν τῇ Ἑλλάδι πρὸς τοῦ ἁγίου Βαρβάρου ποταμηδὸν» ῥέον βάλσαμον, ἤτοι μύρον (τῶν εὑρεθέντων τ. II, σ. 35, ἐκδ. Εὐγενίου Βουλγάρεως, ἐν Λειψίᾳ 1768). Καὶ Κάλλιστος δὲ ὁ πατριάρχης Κωνσταντινουπόλεως (1355) μύρου μνημονεύει τοῦ ἁγίου Βαρβάρου, ᾧ οἱ Βούλγαροι τοὺς βαπτιζομένους ἔχριον (Acta et diplomata graeca medii aevi τ. I, σ. 441).

νου, οἷαν οἱ πάλαι χριστιανοὶ ἐδόξαζον, σαφῶς διηγησαμένου [1]. Μετὰ δὲ τὸν λόγον τοῦτου ἕτερος ἐπέρχεται λόγος Κωνσταντίνου μὲν τοῦ Λουκίτου (σ. 421—429), ὃν νεκροῦ κατακειμένου Ἀλεξίου β' τοῦ μεγάλου Κομνηνοῦ καὶ αὐτοκράτορος Τραπεζοῦντος (1298—† 1330) ἐν τῇδε τῇ πόλει μνήμης αὐτοῦ χάριν δημοσίᾳ Λουκίτης ἀπήγγειλε, τὰς ἀρετὰς καὶ τὰ ἆθλα τοῦ αὐτοκράτορος ἐγκωμιάσας· αὐτοῦ δὲ τοῦ Λουκίτου καὶ ἄλλος μνημονεύεται λόγος, ὁ περὶ Εὐγενίου τοῦ Τραπεζουντίου μάρτυρος [2]. Σώζονται δὲ καὶ ἐπιστολαὶ τρεῖς πρὸς ἐκεῖνον Γρηγορίου τοῦ Χιονιάδου, ὧν ἡ μὲν πρώτη ὧδε ἐπιγέγραπται· «τοῦ αὐτοῦ (Χιονιάδου) πεμφθεῖσα ἐκ τῆς εὐδαίμονος Κωνσταντινουπόλεως πρὸς τὸν πρωτονοτάριον καὶ πρωτοβεστιάριον κύριον Κωνσταντῖνον τὸν Λουκίτην ἐν Τραπεζοῦντι τῇ καλλίστῃ»· ἡ δ' ἄλλη ὧδε· «τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἀποδημοῦντα μετὰ τοῦ βασιλέως ἐν τῇ Κερασίᾳ ἐν τῷ πρὸς τοὺς ἐκεῖσε Ἰσμαηλίτας πολέμῳ» [3].

Μετὰ δὲ τὸν εἰρημένον Λουκίτου λόγον τρία προσετέθη ἄσματα, ἃ τὴν εἰκοστὴν τάξιν ἐν τοῖσδε ἐπέχει τοῖς ἀναλέκτοις (σ. 431—437)· συγγραφέως δὲ ὄνομα τὸ Στεφάνου τοῦ Σγουροπούλου ἐπιγεγραμμένον ἔχει, ὃν, καὶ εἰ πρωτονοτάριον ταῦτα Τραπεζοῦντος λέγει, ἐγὼ μὲν ἔξω τῶν ἀσμάτων τῶνδε παντάπασιν ἀγνοῶ· εἰ δ' ἄλλοι περὶ αὐτοῦ τι ἴσασιν, ἢ τῆς ἀκμῆς τὸν χρόνον ἢ συντάγματά τινα ἐκείνου ἀνέκδοτά που κείμενα, κἀμοὶ δη-

[1] Ἀρχιμανδρίτης Ῥώς, ὁ πολυμαθέστατος καὶ θαυμάσιος Σέργιος, εἴρηκέ τινα περὶ τοῦ μυροβλύτου Βαρβάρου (Полный мѣсяцесловъ Востока, т. II, σ. 124—125), ἃ χρῄζουσι νυν ἀνακαθάρσεως κατὰ τὸ συνταγμάτιον τοῦ Ἀκροπολίτου.

[2] J. Ph. Fallmerayer, Original-Fragmente I, σ. 9 καὶ 12. Περικλέους Τριανταφυλλίδου, Οἱ φυγάδες· δρᾶμα εἰς μέρη πέντε μετὰ μακρῶν προλεγομένων περὶ Πόντου. Ἐν Ἀθήναις 1870, σ. 82 καὶ 121.—Ἐν δὲ κώδικι τοῦ Μονάχου Ἀνδρέας ὁ Λιβαδηνὸς γράφει· «..ἅτα τῷ μεγαλοϋπερόχῳ ἄρχοντι τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ μεγάλου Κομνηνοῦ καὶ πρωτονοταρίῳ καὶ πρωτοβεστιαρίῳ κυρῷ Κωνσταντίνῳ τῷ Λουκίτῃ, ὃν.. διαφυλάξει κύριος ὁ Θεὸς καὶ περιφρουρήσει ὁ ποιητὴς χρόνων καὶ βασιλεύων εἰς τοὺς αἰῶνας τῶν αἰώνων». Ταῦτα δὲ γεγραπται ἐτει 1335. Ὅρα Ign. Hardt. Catal. cod. manuscript. bibliothecae regiae Bavaricae, τ. V, σ. 314—316.

[3] P. Lambecii, Commentariorum de august. bibl. caes. Vindobonensi liber quintus. Vindob. 1672 σ. 247—248.

λούντων, χάριτας αὐτοῖς εἰδέναι εὖ ἐπισταμένω. Στεφάνου μὲν οὖν τούτου ὀκτὼ ἄσματα ἐν τετραδίω εὗρον, ὃ αὐτόγραφον τοῦ ποιητοῦ οἶομαι εἶναι [1]· ἐξ ὧν, ὡς εἴρηται, τρία κατ' ἐκλογὴν ἐξετύπωσα· ἅπαντα δὲ μίαν ἔχει ἐπιγραφήν, ἣ, ὡς ἐν τῷ κώδικι ἔχει, ἐπὶ κεφαλῆς τοῦ πρώτου ἐτέθη ἄσματος. Ἐκ ταύτης δὲ τὸ πρῶτον ἆσμα σκοπὸν ἔχον ὁρῶμεν Ἀλέξιον μὲν Κομνηνὸν τὸν Τραπεζοῦντος αὐτοκράτορα, δυσχερὲς δ' ὅμως διαγνῶναι τίνα τῶν τεσσάρων ἐν νῷ ὁ ποιητὴς ἔχει, πότερον τὸν δεύτερον ἢ τὸν τρίτον· περὶ γὰρ τοῦ πρώτου καὶ τετάρτου αἰτίας οὐκ ἔχω εὐλόγους. Ἐν μὲν γὰρ τῷ πρώτῳ ποιήματι (σ. 431—433) λόγος περὶ Κερασοῦντος πόλεως ἀτειχίστου μακρὸς γίγνεται. ἣν τειχίσαι τὸν βασιλέα ὁ ποιητὴς προτρέπει, λόγους αὐτῷ πειστικοὺς προβάλλων· σαφῶς δ' ἴσμεν, ὅτι Ἀλεξίου β' αὐταρχοῦντος Τοῦρκοι πολέμιοι ἐπὶ Κερασοῦντα ἦκον τὴν χώραν ἐκείνου λεηλατοῦντες· ἔνθα αὐτὸς Ἀλέξιος τούτους καταλαβὼν πολλοὺς μὲν τῶν Τούρκων ἀπέκτεινε μαχεσάμενος, τὸν δ' ἡγούμενον αὐτῶν αἰχμάλωτον ἔλαβεν [2]. Ἐπεὶ δὲ ὁ ποιητὴς τοῦ Κερασοῦντος τείχους μέγαν τινὰ λογοθέτην τὰ θέμεθλα προβαλέσθαι λέγει [3], τὸ ποίημα τούτου ἕνεκα εἰς Ἀλέξιον οἶομαι τὸν τρίτον ἀναφέρεσθαι· τούτου γὰρ βασιλεύοντος, στάσις στρατιωτικῶν πρὸς αὐτὸν ἐπεποίητο, ἣν οἱ πρῶτοι τῆς πολιτείας ἦγον (27 ὀκτ. 1363)· τούτων δ' εἷς Γρηγόριος ἦν ὁ μέγας λογοθέτης, ὃς τῆς στάσεως καταλυθείσης πρὸς Κερασοῦντα ἀπῆλθεν, εἶτα δὲ πρὸς Ἀμισὸν τοὺς σὺν αὐτῷ ἄγων καὶ σώζων [4]. Οἶομαι τοίνυν τὸν ποιητὴν τοῦτον δὴ τὸν Γρηγόριον ὑπαινίττεσθαι, ὃς ἐν Κερασοῦντι μὲν ἴσως ἀρχὴν προμαχῶνος ἀμύνης καὶ σωτηρίας ἕνεκα κατέθετο, συγγνώμης δ' ὕστερον παρὰ τοῦ βασιλέως τυχὼν ὑπετάγη αὐτῷ (29 δεκ. 1363). Ὁ Στέφανος μέντοι καὶ τάδε πρὸς Ἀλέξιον λέγει [5].

[1] Α. Π. Κεραμέως, Ἱεροσολ. Βιβλιοθήκη Ι, σ. 393.

[2] Παναρέτου περὶ τῶν Τραπεζοῦντος βασιλέων παρὰ Fallmerayer, Original-Fragmente II, σ. 14—15.

[3] Ἀναλέκτων σ. 433, στίχ. 190—192.

[4] Παναρέτος ἔνθ. ἀνωτ. σ. 31.

[5] Ἀναλέκτων σ. 431, στίχ. 32—39.

Αἰχμαλωτισθεῖσαν πόλιν,
δορυάλωτον φανεῖσαν
καὶ ἐπιβουλευομένην,
ἔλαβες ἀρχῆς εἰς κλῆρον
ἐν καιρῷ δυσκολωτάτῳ
πονηραῖς ἐν ταῖς ἡμέραις,
ὅτε τῶν καλῶν ἡ σπάνις,
τὰ κακὰ δ' ἀνθεῖ καὶ θάλλει.

Ἐξ ὧν τὸν ποιητὴν εἰκάζω Κερασοῦντα ὑπαινίττεσθαι τὴν πόλιν ἁλοῦσαν καὶ ὑπὸ συστασιωτῶν ἐπιβουλευομένην ἰσχυρῶν (μηνὶ Ἰουνίῳ 1354), Νικήτα τοῦ σχολάριος ἡγουμένου καὶ μεγάλου δουκός· ὃς ἐκεῖθεν ὡρμημένος μετ' ἄλλων τε πολλῶν καὶ μετὰ νεῶν ἐπὶ τὴν Τραπεζοῦντα ἐξελαύνει, καὶ οὐδὲν εὐτυχήσας εἰς Κερασοῦντα ἀνακάμπτει πρότερον ὑφ' ἑαυτῷ γενομένην. Ἀλεξίου δὲ μετὰ δυνάμεως ἐπελθόντος καὶ μάχης γενομένης, οἱ μὲν στασιῶται πρὸς Κεγχρινᾶν φεύγοντες ὑποχωροῦσι, Κερασοῦς δὲ λοιπὸν τῷ βασιλεῖ αὖ προσχωρεῖ (μηνὶ μαΐῳ 1355) [1]. Ἐγὼ μὲν τοίνυν τὸ ποίημα τόδε εἰς Ἀλέξιον οἶμαι τὸν τρίτον ἀναφέρεσθαι, τὰ δὲ τούτῳ ἑπόμενα, ἃ ἀνεπίγραφα εὑρηται (σ. 434 — 437), εἰς Μιχαὴλ πιθανῶς τὸν μέγαν Κομνηνόν, τὸν αὐτοκράτορα ὡσαύτως Τραπεζοῦντος, διὰ τὸ μνείας ἄμφω ποιεῖσθαι τοῦ μὲν πολέμου ἀορίστως, τοῦ δὲ νεῶν Γεννουϊτῶν· ὅθεν εἰκάζω τὸν ποιητὴν τὸ μὲν συνθέσθαι τοῦ πολέμου τοῦδε παρασκευαζομένου, ἐλπίσι δὴ κεναῖς νίκης θερμαινόμενον, τὸ δὲ τῆς ναυμαχίας οὔπω νικητικῶς παρὰ τῶν Λατίνων πέρας σχούσης καὶ τοῦ αὐτοκράτορος εἰρήνην πρὸς τοὺς πολεμίους βίᾳ πεποιηκότος (ἔτει 1349) [2]· δοῦκα δὲ τὸν ἐν τῷ τρίτῳ μνημονευόμενον ποιήματι, δι' οὗ τὴν ναυμαχίαν καταλυθήσεσθαι ὁ ποιητὴς ἤλπιζεν, Ἰωάννην οἶμαι τὸν Καβασίτην εἶναι, πρότερον μὲν κατασχεθέντα σὺν ἄλλοις παρὰ τοῦ βασιλέως συστασιάσαντα, ὅτε καὶ Ἰωάννης ὁ τοῦ Μιχαὴλ υἱὸς

[1] Πανάρετος ἔνθ. ἀνωτ. σ. 25—26.

[2] Αὐτόθι σ. 22—23. Πρβλ. W. Heyd, Histoire du commerce du Levant au moyen-âge. Leipzig 1885—1886, τ. II, σ. 105.

ἐξόριστος εἰς Βυζάντιον ἐστάλη (1345), φονευθέντα δὲ κατὰ τὴν πρὸς Γενουΐτας ναυμαχίαν [1].

Τὰ εἰρημένα μὲν οὖν ἄσματα οὕτως ἔμοι γε κριτῇ ἔχει· τούτοις δὲ βίος ἕπεται Παρασκευῆς τῆς ἐξ Ἐπιβατῶν (σ. 438—453), ἡ ἐν τοῖς χρόνοις Βάρδα γεγονυῖα τοῦ Φωκᾶ εἰς τοσοῦτον ἀρετῆς ἦκεν, ὥστε τὸ θεῖον μετὰ θάνατον ὁσίαν μὲν αὐτὴν ἀναδεῖξαι, μνήμαις δὲ καὶ ἄσμασι παρὰ τῶν χριστιανῶν ἐτησίως δοξάζεσθαι [2]. Γραφεὺς δὲ τοῦ βίου καλλιγράφος ἐστὶν ἐπιτήδειος, Ματθαῖος ὁ μητροπολίτης Μυρέων ὁ ἐκ Πωγωνιανῆς, ὃς πρότερον μὲν πρωτοσύγκελλος ἦν τῆς Μεγάλης Ἐκκλησίας (1599), τῆς ἀρχιερατικῆς δὲ τιμῆς τυχὼν (1605) [3] τὸν βίον διέτριψεν ἄχρι ἔτους 1620 «γήρει τρυχόμενος πολυστενάκτω», ὡς αὐτός φησι [4]. Κατέλιπε δὲ θανὼν—ὁ δὲ χρόνος τοῦ θανάτου οὔπω ἔγνωσται—γραφὰς πολλὰς καὶ λόγου ἀξίας, ὧν αἱ πλείους τύποις ἐν τοῖς καθ' ἡμᾶς ἐξεδόθησαν χρόνοις. Τούτων δὲ τὴν ἀπαρίθμησιν ἀναβάλλων ἐπὶ τὴν ὁσίαν ἐπανέρχομαι Παρασκευήν. Ταύτης μὲν οὖν ὁ βίος γνωστὸς ἦν τέως ἑλληνιστὶ ἐκ μικρᾶς γραφῆς, ἣ ἐν τῇ ἀσματικῇ τῆς Παρασκευῆς κατακεχώρισται βίβλῳ (1817) [5]· αὕτη δὲ διάφορα ἐκείνου λέγει τοῦ βίου, ὡς ὅτι ἡ παρθένος δεκαετὴς τὴν μητέρα ἐν ναῷ διαλαθοῦσα καὶ τὰ λαμπρὰ μὲν αὐτῆς ἐνδύματα πρὸς ἀνδρικά τινος πένητος ἀνταλλάξασα, παρὰ δὲ τῶν γονέων ἐπιτιμηθεῖσα καὶ πάλιν τὸ αὐτὸ δὶς πράξασα, ὕστερον τοῦ

[1] Παναρέτος ἔνθ. ἀνωτ. σ. 22 καὶ 23.

[2] Τὸν χρόνον καθ' ὃν ἡ ὁσία ἐγένετο Παρασκευή, ὁ Εὐθυμίου τοῦ ἀδελφοῦ ταύτης διεσάφησε βίος, ὃν Γρηγόριος μὲν Κύπριος πάλαι συνέγραψεν, Ἀρσένιος δὲ ἀρχιμανδρίτης ὁ Ῥὼς νεωστὶ τύποις ἐξέδοτο. Похвальное слово святому Евенмію епископу и чудотворцу Мадитскому, написанное Григоріемъ Кипрскимъ. Предисловіе, греческій текстъ и русскій переводъ Архим. Арсенія. Ἐν Μόσχᾳ 1889, σ. 40 καὶ 45.

[3] Κ. Σάθα, Μεσαιων. βιβλιοθ. τ. III, σ. 554.

[4] Ε. Ἰωαννίδου πραγματεία ἐν Ἑλλην. Φιλολογ. Συλλόγῳ τ. II, σ. 64.

[5] «Ἀκολουθία τῆς ὁσίας μητρὸς ἡμῶν Παρασκευῆς τῆς Ἐπιβατηνῆς, νῦν ἐκ νέου ἐπιμελῶς διορθωθεῖσα καὶ προσθήκαις πλουτισθεῖσα, τύποις δὲ ἐκδοθεῖσα σπουδῇ καὶ δαπάνῃ τοῦ πανοσιωτάτου ἀρχιμανδρίτου καὶ καθηγουμένου τῆς ἱερᾶς μονῆς τῶν τριῶν Ἱεραρχῶν κυροῦ Σεραφεὶμ τοῦ Καρακαληνοῦ. Ἐν Ἰασσίῳ 1817, ἐν τῷ ἑλληνικῷ τυπογραφείῳ». Τῆς βίβλου ταύτης ἀντίγραφον ἀπέστειλέ μοι εὐμενῶς Ἄνθιμος ὁ Ἀλεξούδης ὁ πολυμαθὴς καὶ σεβάσμιος μητροπολίτης Ἀμασείας.

χρόνου προελθόντος εἰς Κωνσταντινούπολιν ἀφίκετο τοὺς γονέας φεύγουσα, κἀκεῖθεν δὲ πρὸς τὴν ἐν Πόντῳ παραγενομένη Ἡράκλειαν ναοῦ τινος τῆς Θεομήτορος ἱκέτις ἐγγράφεται· ἔνθεν δ' αὖ πέντε ἐνιαυτῶν παρελθόντων πρὸς Ἱεροσόλυμα ἀπέρχεται τοὺς ἁγίους προσκυνήσουσα τόπους, καὶ ἐν γυναικείᾳ μονῇ ἑαυτὴν κατὰ τὴν ἔρημον Ἰορδάνου ἐγκατακλείσασα, εἶτα τὸ εἰκοστὸν καὶ πέμπτον ἀπὸ τῆς γενέσεως ἔτος ἄγουσα τὴν μονὴν μὲν κατέλιπεν, εἰς Κωνσταντινούπολιν δὲ παρεγένετο, κἀκεῖθεν αὖ εἰς Καλλικράτειαν κώμην παρὰ τοὺς Ἐπιβάτας, ἔνθα μετὰ δύο ἐνιαυτοὺς ἀπέθανε. Ταῦτα μὲν οὖν ὡς ἐν συντόμῳ ὁ βραχὺς διηγεῖται βίος μέχρι τοῦ θανάτου τῆς παρθένου, ὃν δημώδει φωνῇ κἀν τῷ συναξαριστῇ Νικοδήμου τοῦ Ναξίου ὁ βουλόμενος ἀναγνώτω [1]· εἰ δ' ἄλλο τι ἡ παλαιτέρα τῆς ἀσματικῆς βίβλου ἔκδοσις τούτοις προστίθησιν εἰπεῖν οὐκ ἔχω, διὰ τὸ μήποτε ταύτῃ ἐντυχεῖν με [2]. Τούτων οὖν τῶν συμβάντων οὐδὲν ὁ νῦν ἐκδιδόμενος βίος λέγει, ὃς αὐτοῦ τοῦ Ματθαίου ὁμολογοῦντος παρὰ συγγράμματος ἡρμηνεύθη βουλγαρικοῦ Εὐθυμίου τοῦ πατριάρχου Τουρνόβου, οὗ τὸ προοίμιον τῆς εἰρημένης μέμνηται ἀσματικῆς βίβλου· προστίθησι δ' ὁ ταύτης ἐκδότης, ὅτι συγγραφεὺς μὲν τῆς ῥηθείσης βραχείας γραφῆς Μελέτιος ἄδεται ὁ Συρίγος [3], ἄλλης δὲ γραφῆς διάφορα ἱστορούσης Σεραφείμ ἐστιν ἱερομόναχος ὁ Γουριώτης, ὁ ἐν τῇ σκήτῃ τῆς ἐν Ἄθῳ ἁγίας μονάσας Ἄννης. Ὅσα μὲν οὖν ταῦτα πρὸς ἄλληλα διαφέρει τὰ κείμενα καὶ τούτων αὖ τὸ νῦν ἐκδιδόμενον πρὸς τὸ σλαβιστὶ ἐπ' ὀνόματι σῳζόμενον Εὐθυμίου τοῦ πατριάρχου, οἱ τὴν βουλγαρικὴν ἐπιστάμενοι φωνὴν τὴν ἀντιβολὴν ποιούντων [4]· ἐγὼ δ' ἐπ' ἄλλο τὸν λόγον τρέπω, κατα-

[1] Συναξαρ. τ. Ι, σ. 130—131.

[2] Ἐγένετο δὲ ἡ ἔκδοσις ἐν Βουκουρεστίῳ (ἔτει 1692), ἐπιμελείᾳ Ἀνθίμου ἱερομονάχου τοῦ ἐξ Ἰβηρίας· τὴν δὲ ἐπιγραφὴν ταύτης ὅρα παρὰ Emile Picot, Notice biogr. et bibliogr. sur l'imprimeur Anthime d'Ivir, ἐν τοῖς Nouveaux melanges orientaux. Paris 1886, σ. 529.

[3] Τούτῳ τῷ ὀνόματι εὕρηται ὄντως ἐπιγεγραμμένος ὁ τῆς ὁσίας Παρασκευῆς βίος, ὃν καὶ Νικηφόρος ἱερομόναχος ὁ Χίος παρέφρασεν. Τὴν παράφρασιν δὲ ταύτην ὅρα παρὰ Μακαρίῳ τῷ Νοταρᾷ, Νέον λειμωνάριον ἐκδ. Ν. Ῥουσοπούλου ἐν Ἀθήναις 1873, σ. 343—347.

[4] Σύνταγμα λεπτομερὲς περὶ τῆς παρθένου Παρασκευῆς ὁ πρεσβύτερος συνέταξε

παῦσαι τοῦτον ἐπειγόμενος. Ματθαῖος μὲν οὖν τὸ βουλγαρικὸν ἑρμηνεύσας σύνταγμα ἱστορίας τινὰς τῇ αὐτοῦ προσέθηκε γραφῇ περὶ τῆς εἰς Κωνσταντινούπολιν μεταφορᾶς τοῦ λειψάνου Παρασκευῆς τῆς ἐξ Ἐπιβατῶν· αὗται δὲ νῦν τὸ πρῶτον σαφῶς εἰς φῶς προάγονται, οὐδενὸς ἄλλου ὡς ἔγωγε οἶδα ἑλληνιστὶ ταύτας διηγησαμένου. Ὅσα δὲ μετὰ Ματθαῖον περὶ τὸ λείψανον ἐκεῖνο ἐγένετο, ἢ ἐπὶ τῆς ἀνακομιδῆς εἰς Ἰάσιον, ἢ κατὰ τὰ ἐκεῖ θαυμάσια, ἃ ἔτι καὶ νῦν γίγνεται, ἄλλοι συγγράψαντες ἱστόρησαν[1]. Ἐνταῦθα οὖν τὸ τελευταῖον κατακλῶ τὸν λόγον· περὶ γὰρ τῶν ὕστερον ἐγγράφων τῶν ἐν τέλει προστεθειμένων τοῦ τόμου τοῦδε, ἱκανῶς οἶμαι ἐκεῖ εἴρηταί μοι.

Γέγραφα ἐν Πετρουπόλει μηνὶ ὀκτωβρίῳ τοῦ σωτηριώδους ἔτους αωηα'.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ-ΚΕΡΑΜΕΥΣ.

Rigollot, ὃ ἐν τῷ βιβλίῳ εὑρηται τῷ ἐπιγεγραμμένῳ Ad acta sanctorum supplementum: volumen complectens auctuaria Octobris et tabulas generales. Parisiis 1875, σ. 154 — 167. Τὰ σλαβικὰ δὲ συντάγματα σπουδαίως ὁ ἐμὸς φίλος ἐμελέτησε Πολυχρόνιος ὁ Σύρκου: Нѣсколько замѣтокъ о двухъ произведеніяхъ Търновскаго патріарха Евѳимія ἐν τῷ βιβλίῳ, ὃ ἐπιγράφεται Сборникъ статей по славяновѣдѣнію, составленный и изданный учениками В. И. Ламанскаго по случаю 25-лѣтія его ученой и профессорской дѣятельности. Ἐν Πετρουπόλει 1883, σ. 380—401.

[1] Δοσιθέου μητροπολίτου Μολδοβλαχίας συναξάριον βλαχικόν, ἐκδ. Ἰασίου 1682. Δοσιθέου πατριάρχου Ἱεροσολύμων, ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων σ. 1175. Μελετίου Ἀθηνῶν ἐκκλησ. ἱστορία τ. III, σ. 450. Ἀθανασίου Ὑψηλάντου τὰ μετὰ τὴν ἅλωσιν σ. 145. D. Kantemir, Geschichte des osmanischen Reichs. Hamburg 1745, σ. 537, ἐν ὑποσημειώσει 79. Ἄλλων δὲ βιβλίων τὴν ἀναγραφὴν ὅρα ἐν τῇ προμνησθείσῃ γραφῇ Πολυχρονίου τοῦ Σύρκου, σ. 398—399.

I.

ΑΝΔΡΕΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ

περὶ τοῦ βίου καὶ τοῦ μαρτυρίου τοῦ ἁγίου ἀποστόλου καὶ ἀδελφοθέου Ἰακώβου.

(Cod. Sabb. 27, fol. 305^{b}—316^{b}).

Ὀκνεῖν μὲν ἔδει προβαίνειν τοῖς ὑπὲρ δύναμιν καὶ δειλίαν προβαλέσθαι τὴν ἀσφαλείας μητέρα· εἰ γὰρ καὶ πάθος ἐν τοῖς ἄλλοις ἡ δειλία διαβαλλόμενον, ἀλλ' ἐν τοῖς ὑπὲρ δύναμιν ἐπαινεῖται μᾶλλον ἢ διαβάλλεται. Διατί δὲ τοῖς ὑπὲρ δύναμιν ἐγχειρῆσαι τετόλμηκας; τῷ δικαίῳ θαρρήσας· δι' ὃ καὶ τῆς ἐν χερσὶν ὑποθέσεως ἡψάμην. Ἀκούων γὰρ τοῦ Σολομῶντος ἐν παροιμίαις διδάσκοντος μετ' ἐγκωμίων γίνεσθαι τῶν δικαίων τὰς μνήμας καὶ πάλιν ὡς ἡνίκα ἐγκωμιάζεται δίκαιος, εὐφροσύνη τοῖς λαοῖς εἴωθε γίνεσθαι, ὁρῶν τε μνήμας καὶ μάλα δικαίως ἐν ταῖς ἁπανταχόσε τοῦ Χριστοῦ ἐκκλησίαις διὰ παντὸς γινομένας Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, τὰ δὲ κατ' ἐκεῖνον διεξοδικῶς θεωρῶν ἀνιστόρητά τῳ μηδένα τῶν εἰς

ΕΠΙΓΡΑΦΗ. Οὕτως ἔχει τὴν ἐπιγραφὴν τὸ χειρόγραφον, οὗ διωρθώθη μόνον τὸ «Ἱεροσολυμήτου».

1. Τὸ χειρ. πανταχοῦ «ὑπερδύναμιν». 4 ἢ] ἐν τῳ κώδικι «οὐ» 6 μετέγκωμίων. 7 μετ' ἐγκωμίων—μνήμας. Πρβλ. Παροιμ. 10, 7. 7 ἡνίκα. Οὕτω καὶ ἀλλαχοῦ. 8 ἐγκωμιάζεται — λαοῖς. Πρβλ. Παροιμ. 29, 2. Ἐν τῳ κώδικι «ἐγκωμιάζηται». 11 τὼ.

γνῶσιν ἐμὴν ἐλθόντων σκοπὸν τοιοῦτον ἐσχηκέναι ποτέ, ἐπὶ τήνδε τὴν γραφὴν ἐμαυτὸν ἐπιδοῦναι τετόλμηκα, οὐκ ἐγκώμιον Ἰακώβου γράψαι διανοούμενος—τοῦτο γὰρ οἶδα καὶ τοῖς λίαν ὑπὲρ ἐμὲ τυγχάνουσιν ἀδύνατον — ἀλλά τινα συναγωγὴν τῶν περὶ τοῦ δικαίου λεγομένων ποιήσασθαι, ὥστε τοῖς ἀκροωμένοις ἢ ἐντυγχάνουσι τὰ κατὰ τὸν ἄνδρα τοῦτον ὑπάρχειν εὐσύνοπτα. Ἡγήσιππος δὲ καὶ Κλήμης τῆσδέ μοι γεγόνασι τῆς ἱστορίας διδάσκαλοι, ὧν ὁ μὲν ἐν τῷ πέμπτῳ αὐτοῦ ὑπομνήματι ὁ δὲ ἐν τῇ ἕκτῃ τῶν λεγομένων ὑποτυπώσεων κατ' ἐπιδρομὴν γεγράφασι τὰ κατὰ Ἰάκωβον, οὐ τοῦτον, ὡς εἴρηται, τὸν σκοπὸν βαλλόμενοι, ἀλλ' ἐφ' ἕτερα μὲν τῆς γραφῆς τὸν ὁρόμον ἀνύοντες, ὑπὸ δὲ τῆς μεγαλειότητος τοῦ ἀνδρὸς σιωπῇ παρελθεῖν τινα τῶν ἐκείνου μὴ συγχωρούμενοι. Καὶ ταῦτα μὲν εἰρήσθω περὶ Ἡγησίππου καὶ Κλήμεντος, οἳ τὰς ἀφορμὰς τῆς παρούσης μοι δεδώκασιν ὑποθέσεως, ἄνδρες ἄμφω βίῳ καὶ λόγῳ κοσμούμενοι καὶ ἐν τοῖς ἀποστολικοῖς διδάγμασι περιβόητοι· ὁ μὲν γὰρ μέγας Ἡγήσιππος τῆς πρώτης εὐθὺς τῶν ἀποστόλων διδασκαλίας ὑπῆρχε διάδοχος, Κλήμης δὲ ὁ θαυμάσιος πρεσβύτερος ἅμα καὶ διδάσκαλος τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας γεγένηται. Παρὰ τούτων ἐγὼ μεμάθηκα τὰ κατὰ Ἰάκωβον. Οὕτω δὲ ἄρα θαυμάσιος τις καὶ μέγας ἦν ὁ Ἰάκωβος καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἐπὶ δικαιοσύνῃ ἐβεβόητο, ὡς καί τινας ἔξω τῆς πίστεως καὶ παρὰ Ἰουδαίοις ὑπάρχοντας ἔμφρονας ἱστορῆσαι τὸ ἐκείνου μυστήριον καὶ δίκας λέγειν ὑποσχεῖν παραχρῆμα τοὺς ἀνελόντας τὸν δίκαιον, μᾶλλον δὲ αὐτὰ τὰ Ἱεροσόλυμα συμφορᾶ περιπεσεῖν ἀνηκέστῳ διὰ τὸ κατ' αὐτοῦ τολμηθὲν αὐτοῖς ἄγος· καὶ μάρτυς τούτων Ἰώσηπος, ἐν τῷ εἰκοστῷ τῆς ἀρχαιολογίας συγγράμματι τὰ περὶ τοῦ δικαίου τούτου διεξιὼν ἡμῖν. Ταῦτα μὲν οὖν εἰρήσθω ἐν ταῖς ἀρχαῖς τοῦ συγγράμματος. Μέλλων δὲ τὰ κατ' ἐκεῖνον γράφειν τὸν ἅγιον, αὐτὸν τοῦ λόγου

1 ἐπιτήνδε. 2 ἐμαὐτόν. 7 ἱστορίας. Ἐν τῷ χειρ. τὰ ἀπὸ ἰῶτα ἀρχόμενα ὀνόματα εἰσὶν ἄτονα· ἔχουσι δ' αὐτὸ μετὰ δύο μόνον, ὡς καὶ ἐνταῦθα, στιγμῶν. 8 ἕκτῃ. 9 κατεπιδρομήν. Οὕτω καὶ ἐν ἄλλαις λέξεσιν, ἡγουμένης τινος προθέσεως. 11 ἑφέτερα. 12 ἐκείνου. 13 ἡγησίππου κ. κλ. οἱ. Οὕτω καὶ ἑφεξῆς. 19 ἅμα. Οὕτως απανταχου || ἀλεξανδρεία. 22 ἅπασιν. 26 συμφορᾷ. 29 εἰρήσθω.

προστήσομαι, τὸν ἐκείνου Θεόν, μὴ διαμαρτεῖν τελείως τοῦ ζητουμένου ἐχόμενος· κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων καὶ τῆς ἀπὸ τοῦ Θεοῦ σοφίας ἐκτός, εἰς οὐδὲν λογισθήσεται. Εἰ τοίνυν οἱ τέλειοι ἐν υἱοῖς ἀνθρώπων λεγόμενοι εἰς οὐδὲν λογισθήσονται τῆς τοῦ Θεοῦ βοηθείας χηρεύοντες, τί ποιήσω πάσης ἀτελοῦς διανοίας κατωτέρω που κείμενος; Ἀλλά μοι, μαθητὰ καὶ ἀδελφὲ τοῦ Κυρίου καὶ ἱερεῦ καὶ ἀπόστολε, προφῆτα ἅμα καὶ δίκαιε καὶ μαρτυρίῳ κοσμούμενε, ταῖς σαῖς εὐχαῖς σύνελθε πρὸς τὸ ζητούμενον καὶ δὸς εἰπεῖν μοι μετρίως τὰ σά, ὥστε μὴ πάντῃ παρασφαλῆναι τοῦ δέοντος καὶ ἔξω πεσεῖν τῆς περὶ σοῦ προθυμίας καὶ γέλωτα ὀφλεῖν κατ' ἐκεῖνον τὸν ἄπορον τὸν ἐν τοῖς εὐαγγελίοις πύργον οἰκοδομεῖν ἐθέλοντα καὶ ὑπὸ τῶν περιόντων δικαίως ἐμπαιζόμενον. Ἄγε δή με λοιπὸν ταῖς τοῦ δικαίου πρεσβείαις θαρρήσαντα, ἔνθεν τῆς ὑποθέσεως ἄρξομαι, ὅθεν ἄρχεσθαι πρεπωδέστατον.

2. Ἄλλοι μὲν οὖν τοῖς κοσμικοῖς σεμνυνέσθωσαν καὶ ἐπιγενείᾳ τῇ κάτω μέγα φρονείτωσαν καὶ τοῖς μικροῖς ἐπαιρέσθωσαν καὶ τὰ μὴ ἄξιά τινος τίμια νομιζέτωσαν, Ἰακώβῳ δὲ τούτῳ μόνον ἀρκεῖ τὸ ἀδελφόθεον λέγεσθαι. Πατρὶς δὲ αὐτῷ Ἱερουσαλὴμ ἡ πρωτότυπος, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Βίον δὲ αὐτοῦ σημαίνει τὸ ὄνομα· ἦ γὰρ πτερνιστὴς τῶν παθῶν, ὡς ὁ παλαιὸς ἐκεῖνος Ἰακώβ, ἢ ὠβλίας, τουτέστι περιοχὴ καὶ δίκαιος· οὕτω γὰρ αὐτὸν οἱ τὰ κατ' αὐτὸν ἱστοροῦντές φασιν ἐπιλέγεσθαι. Τῆς μὲν οὖν ἐκ παιδὸς ἀναστροφῆς αὐτοῦ γνώρισμα καθέστηκε φανερώτατον τὸ οὕτως ὑπάρχειν αὐτὸν τοῖς Ἰουδαίοις αἰδέσιμον, λαῷ καὶ σκληρῷ καὶ αὐθάδει καὶ μηδένα τῶν προφητῶν ποτε ἢ δικαίων τιμήσαντι — ἀλλ' ὅμως τοῦ ἀνδρὸς τὸ ἐγκρατὲς καὶ νηφάλεον καὶ τοὺς λίαν κακούργους Ἰουδαίους ἐνέτρεψε, καὶ τοῦτον τιμᾶν καὶ ἄκοντας κατηνάγκασεν—ἐγὼ δὲ τῶν μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου πεπραγμένων τῷ ἀνδρὶ τὸν λόγον ποιήσομαι.

1 ἐκεῖνου. 6 κατωτέρου που. 11 εὐαγγελίοις. Ὅρα Λουκᾶ 14, 29. 16 ἐπιγενία. 21 Ἰακώβ. Ὅρα Γενέσεως 27, 36. 22 ὠβλίας ἐν τῷ κώδ. Εὐσεβ. ἐκκλ. ἱστορ. II 23, 7. 23 ἱστοροῦντες. 25 οὕτως. Καὶ *αλλαχοῦ* ὁμοίως. 27 νηφαλέον.

*

3. Ἄρτι γὰρ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ κατὰ σάρκα μυστήριον ἐκτελέσαντος ἡνίκα δι' ἡμᾶς ἐκ τῆς ἀειπαρθένου καὶ Θεοτόκου τεχθεὶς σταυρῷ καὶ θανάτῳ καταλύσας τὸν θάνατον ἀνῆλθεν εἰς οὐρανούς, ὅθεν ἡμῖν συγκαταβὰς εἰσελήλυθεν, εὐθὺς ἐκεῖνος ὁ μέγας Ἰάκωβος τῆς ἁγίας ἐκκλησίας Ἱεροσολύμων κατέσχεν τοὺς οἴακας, πρῶτος τῆς αὐτόθι παροικίας τὴν ἐπισκοπὴν κληρωσάμενος. Δύο δὲ ὄντων τῶν ἀγόντων τὸν ἄνθρωπον εἰς τελείωσιν, θεωρίας ἅμα καὶ πράξεως, ἐξ ὧν αἱ ἀρεταὶ τὸ κράτος εἰλήφασιν, ἐξεταστέον ἐν ἑκατέρῳ τοῦ ἀνδρὸς τὸ εὐδοκίμιον. Ἀλλ' ἐπείπερ διὰ θεωρίας μάλιστα πρὸς Θεὸν ἡ ἀνάβασις, πρῶτον τὸ θεωρητικὸν τοῦ Ἰακώβου, ὡς οἷόν τέ ἐστι, διεξέλθωμεν καὶ οὕτω καὶ τὸ πρακτικὸν εἰς δύναμιν ἐξετάζωμεν· πρέπει γὰρ πρέπει τῷ ἐπισκοπικῷ ὀφθαλμῷ τῷ θεωρητικῷ πρὸ τῶν ἄλλων σεμνύνεσθαι, εἰ καὶ τὸ πρακτικὸν ἐπίβασιν τοῦ θεωρητικοῦ τινες ὑπειλήφασιν. Ἐνταῦθα τοίνυν δεδόσθω κατὰ συγχώρησιν τὸ θεωρητικὸν ἡγεῖσθαι τῆς πράξεως, ἐπείπερ τῷ πρακτικῷ συνῆπται καὶ τὸ μαρτύριον.

4. Ἀλλ' ἔστι κατανοῆσαι ὄντως ἐπίσκοπον, ποιμαίνοντα μετ' ἐπιστήμης τὸ ποίμνιον, τὸν τῇ καθολικῇ τοῦ ἀνδρὸς ἐπιστολῇ ἐντυγχάνοντα· εὐθὺς γὰρ ἐκ τῆς ἐπιγραφῆς δηλοῦται τοῦ ἁγίου τὸ μέτριον· «Ἰάκωβος γάρ, φησί, Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν». Ἐξὸν γὰρ αὐτῷ ἀπόστολον καλεῖν ἑαυτὸν ἢ ἐπίσκοπον ἤ, τό γε μεῖζον εἰπεῖν, ἀδελφὸν τοῦ Κυρίου, οἷς ὀνόμασιν αὐτὸν καὶ Παῦλος γράφων Γαλάταις ἐγνώρισεν· ὁ δὲ τὸ μᾶλλον ἁρμοδιώτερον πέπραχε καὶ δοῦλον ἑαυτὸν Χριστοῦ τοῦ Θεοῦ ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἐνεφάνισε. Τούτῳ δὴ τούτῳ σεμνυνόμενος τῷ ὀνόματι καὶ ταπεινοφροσύνης ἑαυτὸν παρέχει ὑπόδειγμα· οὐδὲν δὲ οἷον καὶ τῶν ἐκείνου ῥημάτων τῶν ἐν τῇ ἐπιστολῇ φερομένων ἐξ ἐπιδρομῆς ἐνίων μνησθῆναι, δι' ὧν δειχθήσεται τὸ ποικίλον τῆς διδασκαλικῆς τοῦ δικαίου δυνάμεως· εὐθὺς γὰρ τῆς ἐπιστολῆς ἀπαρχόμενος καὶ τῷ προφητικῷ

6 οἴακας. 16 ἡγεῖσθαι. Οὕτω καὶ *alla χοῦ*. 25 Γαλ. 1, 19 || ἁρμοδιώτερον. 26 ἰσδραὴλ. 28 παρέχει] ἐν τῷ κώδ. «παρεχων». 29 επιστολῆ.

θεώμενος πνεύματι, ὅτι πάντα δεῖ τὸν τῷ Θεῷ προσερχόμενον ἕτοιμον εἶναι πρὸς τὸ πειράζεσθαι, πρὸς ὑπομονὴν ἀλείφει τοὺς πιστοὺς ἀκατάπληκτον, οἷά τις παιδοτρίβης καλὸς γυμνάζειν εἰδὼς κατὰ νόμους ἀθλήσεως τοὺς πρὸς ἄθλησιν πνευματικὴν διαβαίνοντας· φησὶ γάρ· «Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, εἰδότες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πασιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος». Καὶ σκόπει τοῦ δικαίου τὸ ὕψος τῆς διαθέσεως. Οὐ μόνον ἀλείφει πρὸς ὑπομονὴν τοὺς πιστεύοντας, ἀλλὰ καὶ πᾶσαν χαρὰν ἡγεῖσθαι παρακελεύεται τὸ πειράζεσθαι. Ἐκεῖθεν τὸ ἀρχικὸν τῆς ψυχῆς ἐπιδείκνυται καὶ οἱονεὶ κατ' ἐξουσίαν ὁριστικῶς ἀποφαίνεται, «ἀνὴρ δίψυχος (λέγων) ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ». Τὸ ταπεινοφρονεῖν διδάσκων αὖθις καὶ μὴ ἐπαίρεσθαι, μηδὲ ἡγεῖσθαί τινος τὰ φθειρόμενα, «καυχάσθω, φησίν, ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ· ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ». Διὰ τῆς ἀπαλλαγῆς τοῦ ὕψους καὶ τῆς ταπεινώσεως στοιχῶν ὁμοῦ πλουσίους καὶ πένητας, καὶ ποιῶν δικαίαν τῶν ἐναντίων ἐξίσωσιν, ἔνθεν μακαρίζει τοὺς ὑπομένοντας καὶ στέφανον διαβεβαιοῦται τῆς ὑπομονῆς ἀντιδίδοσθαι· τί γάρ φησι; «Μακάριος ἄνθρωπος ὃς ὑπομενεῖ πειρασμόν· ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν». Εἶτα, οἷα προφήτης προγινώσκων τῷ πνεύματι, ὅτι ἔσται χρόνος ὅτε πλανώμενοι οἱ ἄνθρωποι αἴτιον τῶν κακῶν ἡγήσασθαι τὸν Θεὸν οὐκ ὀκνοῦσι, ταῦτα θεραπεύων τὸ νόσημα, καθάπερ ἄριστος ἰατρὸς τοῖς προφητικοῖς χρώμενος βοηθήμασι, ταῦτα βοᾷ· «ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα».

5. Ἀλλ' οὐδὲ τὸ τραῦμα τῶν ἐκ πλάνης λεγόντων, ὅτι ἐκ φύσεως ἡμῖν τὸ ἁμαρτάνειν προσγίνεται, εἴασεν ἀθεράπευτον· φησὶ

2 ἕτοιμον. 5 ὅτ ἀν. 5 Πᾶσαν—ὀνειδίζοντος. Ἐπιστ. Ἰακώβου 1, 2-5. 6 περιπέσειτε. 7 ὑπομονῆ. 9 αἰτείτω. 14 ἀνὴρ—αὐτοῦ. Ἐπιστ. 1, 8. 15 μὴ δέ. 16 καυχάσθω—αὐτοῦ. Ἐπιστ. 1, 9, 10. 17 ταπεινώσει. 18 στοιχῶν] ἐν τῷ κώδικι «στοιχείων». 21 Μακάριος κτλ. Ἐπιστ. 1, 12. 23 οἷα. Οὕτω καὶ ἐφεξῆς. 30 εἴασεν.

γὰρ καὶ περὶ τούτου· «ἕκαστος πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον». Ἐκεῖθεν ὄψῃ τὸν ἅγιον παιδαγωγοῦντα τοὺς τελείους καὶ πείθοντα μὴ πεποιθέναι ἐφ' ἑαυτοῖς, μηδὲ οἰκείᾳ δυνάμει τὰς ἀρετὰς ἐπιγράφεσθαι· λέγει γάρ· «μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί· πᾶσα δόσις ἀγαθὴ καὶ παν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων». Δείκνυσι δ' ἐντεῦθεν, ὅτι τε τὸ θεῖον παρεκτικὸν ἀγαθῶν ἐστιν, ἄτρεπτόν τε καὶ ἀναλλοίωτον, καὶ ὅτι κατ' εἰκόνα τοῦ κτίστου γενόμενοι, υἱοὶ τοῦ κτίστου γρηματίζομεν χάριτι. Ὅταν δὲ τὸ θεολογικὸν ἐδίδαξε καὶ περὶ τὴν τὸν Θεὸν εὐσέβειαν ἐστοιχείωσεν, ὅρα πῶς καὶ τοῦ ἠθικοῦ μέρους ἐφρόντισεν· οἷα γάρ τις νομοθέτης νομοθετῶν τοὺς ὑπηκόους καὶ παιδαγωγῶν πρὸς τὰ κάλλιστα, ταῦτά φησιν· «ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται»· δέδειχε γὰρ διὰ τούτων, ὅτι πραεῖς ἀναλαμβάνει ὁ Κύριος, τοῖς δὲ ὀργιζομένοις ὀργίζεται. Σωφροσύνης αὐτὸν ἐκεῖθεν ὄψῃ διδάσκαλον ἐμπειρότατον· τί γὰρ πρὸς τοὺς πιστεύοντας ἔγραφεν; «Ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν».

6. Πῶς δὲ τὸν ἀληθινὸν χριστιανὸν ὡρίσατο, μάθετε· «Θρησκεία, φησί, καθαρὰ καὶ ἀμίαντος παρὰ Θεῷ πατρὶ αὕτη ἐστίν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου». Διὰ τῶν δύο δὲ τούτων ῥημάτων ἐδίδαξεν εὐποιητικὸν ὀφείλειν ὑπάρχειν τὸν πιστόν, πάντως καὶ εὐμετάδοτον, καὶ ἐν πᾶσι τοῖς ἐν τῷ κόσμῳ ἄσπιλον καὶ ἀρύπαρον. Ἀλλ' οὐδὲ τῶν κατ' ἐπίδειξιν γινομένων ἠμέλησεν· ἀλλὰ

1 τοῦτου ἕκαστος. Οὕτω καὶ ἐφεξῆς. Ἕκαστος—θάνατον. Ἐπιστ. 1, 14, 15. 5 πλανᾶσθαι. 6 ἀγαθὴ. 9 μὴ πλανᾶσθε—κτισμάτων. Ἐπιστ. 1, 16-18. 15 παιδαγωγῶν. 16 ἔστω—κατεργάζεται. Ἐπιστ. 1, 19-20. 20 ἀποθέμενοι-ὑμῶν. Ἐπιστ. 1, 21. 23 θρησκεία—κόσμου. Ἐπιστ. 1, 27.

καὶ τούτου τοῦ πάθους τὴν ἐκτομὴν ἐστοχάσατο, διδάσκων ὅτι οὐ χρὴ τὸ καλὸν κατ' ἐπίδειξιν γίνεσθαι· φησὶ γάρ· «ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης». Οὐδὲν δὲ τῶν ὑπ' αὐτοῦ λεγομένων εἴασεν ἀμάρτυρον· ἀλλὰ πρὸς πᾶν τὸ λεγόμενον ἐγγὺς τὸ παράδειγμα, φωτὸς ἡλιακοῦ τηλαυγέστερον φωτίζον τοὺς ἐντυγχάνοντας. Τῆς δὲ πρὸς τὸν πλησίον ἀγάπης μετὰ Θεόν, οὕτως ἐφρόντισε· νόμον γὰρ ἔφη βασιλικὸν ἐκπληροῦν τὸν ἀγαπῶντα τὸν πλησίον ὡς ἑαυτόν. Τις δὲ αὐτοῦ μὴ καταπλαγείη τὸ συμπαθὲς καὶ φιλάνθρωπον; ἀνίλεων γάρ φησι τὴν κρίσιν «τῷ μὴ ποιήσαντι ἔλεος· καὶ κατακαυχᾶσθαι πάντως προσήκειν ἔλεος κρίσεως», καὶ τοῦτο διδόναι παρ ἐκείνην τὰ νικητήρια. Ὄντως φιλανθρώπου Θεοῦ μαθητὴς ἀψευδέστατος. Οὕτω δέ φησι τὴν πίστιν δεῖσθαι τῆς πράξεως, ὡς δεῖται τὸ σῶμα τοῦ πνεύματος, καὶ ταύτης χωρὶς νεκρὰν ὑπάρχειν τινὰ καὶ ἀνθρωπονόητον· καὶ τοῦτο πείθει λέγων εὐθύς, τὸν Ἀβραὰμ καὶ τὴν Ῥαὰβ παράγων εἰς μάρτυρας, τὸν μὲν μετὰ πίστεως τὸν Ἰσαὰκ προσενεγκόντα, τὴν δὲ τοὺς κατασκόπους ἑτέρᾳ ὁδῷ παραπέμψασαν.

7. Καὶ τί με δεῖ λέγειν καθ' ἕκαστον; Οὗτος τὸ συμπαθὲς τῷ δικαίῳ ἐκέρασεν. Οὗτος τῇ γλώσσῃ δεσμὸν ἐπιτέθεικεν. Οὗτος καὶ σιωπᾶν καὶ λαλεῖν κατὰ λόγον ἐδίδαξεν. Οὗτος τὸ ψεῦδος ἐμίσησε, τὴν δὲ ἀλήθειαν ἀγαπᾶν ἐξεπαίδευσεν. Οὗτος τὸ καταλαλεῖν ἀλλήλων ἢ κρίνειν τὸν ἕτερον, εἰς αὐτὸν τὸν νόμον ἁμαρτάνειν ἐκήρυξεν. Οὗτος πλουσίοις καὶ πένησιν ἀπονέμει τὰ πρόσφορα, καὶ τοὺς μὲν μὴ ἐλπίζειν ἐπὶ πλούτῳ παρακελεύεται, τοὺς δὲ παρακελεύεται μακροθυμεῖν, ὡς ληψομένους μισθὸν ἀναφαίρετον τῆς ὑπομονῆς. Ἐκείνων μὲν γὰρ ἐλέγχων τῆς ἀπληστίας τὸν πλοῦτον προβάλλεται· τούτοις δὲ ὡς προφήτης πρὸ τῶν θυρῶν ἑστηκέναι τὸν κρίνοντα δικαίως εὐαγγελίζεται. Ἀκοῦσαι δὲ καλὸν αὐτῶν τῶν τοῦ δικαίου ῥημάτων, οἷα γέγραφεν, ἐθέλων πεῖσαι τὸ ὀμνύειν ἐκτρέπεσθαι, διὰ πάντων δὲ τιμᾶν καὶ ἀγαπᾶν τὴν ἀλήθειαν καὶ μη-

2 Ἀδελφοί—δόξης. Ἐπιστ. 2, 1. 8 ἑαυτόν. Ἐπιστ. 2, 8. 10 ἀνίλεων. 12 μαθητής. 14 νεκραν. Ἐπιστ. 2, 14—17. 20 γλῶσσῃ. 23 ἁμαρτάνειν.

δέποτε ψεύδεσθαι· «πρὸ πάντων γάρ, φησίν, ἀδελφοί μου, μὴ ὀμνύετε ὅλως, μήτε τὸν οὐρανόν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἔστω δὲ ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ, ἵνα μὴ ὑπὸ κρίσιν πέσητε». Τοὺς εὐθυμοῦντας ψάλλειν ἐδίδαξε, τοὺς ἀθυμοῦντας προσεύχεσθαι, τοὺς ἀσθενοῦντας ἐλαίῳ μετὰ προσευχῆς ἱερέων ἀλείφεσθαι, ὡς τῆς εὐχῆς τῆς δι' ἔργων βοηθουμένης τὸ ἰσχύειν μεγάλως ἐχούσης. Καὶ συντόμως εἰπεῖν, οὐκ ἔστιν εἶδος διδασκαλίας ῥυθμιζούσης λόγῳ ἢ ἔργῳ τὸν ἄνθρωπον, ὃ ἡ ἐπιστολὴ τοῦ Ἰακώβου μὴ περιέχεται. Καὶ τί λέγω τὰ πλείονα; Ἔξον ἐντυγχάνειν τὸν θέλοντα, κἀκεῖθεν γινώσκειν ὅσον ἐστὶ τοῦ δικαίου τὸ μέγεθος.

8. Ἔστι δὲ αὐτοῦ κἀντεῦθεν μαθεῖν τὸ ἀρχικὸν καὶ νηφάλεον. Ζήτησις οὖν κατὰ τὴν Ἀντιόχειαν γέγονεν, εἰ δεῖ τοὺς ἐξ ἐθνῶν προσερχομένους τῷ λόγῳ τῆς χάριτος, κατὰ τὸ ἔθος Μωϋσέως λοιπὸν περιτέμνεσθαι. Οἱ ἀδελφοὶ τοίνυν οἱ ὄντες εἰς Ἀντιόχειαν τοῖς ἀποστόλοις τὴν κρίσιν τοῖς οὖσιν ἐν Ἱεροσολύμοις ἀνέθεντο, Παύλου καὶ τοῦ Βαρνάβα διακονούντων πρὸς τὸ ζητούμενον. Τῆς δὲ ἐκκλησίας, τῆς οὔσης εἰς τὰ Ἱεροσόλυμα, συναθροισθείσης εἰς τοῦτο, καὶ Πέτρου τοῦ τῶν ἀποστόλων ἐκκρίτου προϊσταμένου τῆς πίστεως καὶ τὰ τῆς εὐσεβείας διδάσκοντος λόγια, ἀπεκρίθη μετ' αὐτὸν ὁ Ἰάκωβος ἐπὶ λέξεως ταῦτα. «Ἄνδρες ἀδελφοί, Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ· καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν». Εἶτα, ἐπειπὼν τοῦ προφήτου τὰ ῥήματα ψῆφον τοῦ ζητουμένου ἐπήγαγεν, ἔχουσαν οὕτως· «κρίνω ἐγὼ μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν· ἀλλ' ἐπιστεῖλαι αὐτοῖς ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ τῆς πορνείας καὶ τοῦ αἵματος καὶ τοῦ πνικτοῦ». Καὶ ὁ λόγος ἔργον ἐγένετο, καὶ τοιοῦτον τύπον οἱ ἀπόστολοι ἔγραψαν, οἷον Ἰάκωβος ἔκρινεν, καὶ οὕτω τῇ ἐκκλησίᾳ ἐνομοθέτησαν ὡς ἐκείνῳ συνήρεσεν. Οὕτω καὶ παρὰ τοῖς ἀποστόλοις ὁ ἀνὴρ ὑπῆρχεν αἰδέσιμος.

1 πρὸ πάντων –πέσητε Ἐπιστ. 5. 12. 2 ὅρκον. 11 νηφαλέον. 15 οὖσιν. ἐνιεροσολύμοις. 20 ἄνδρες—προφητῶν. Πράξεων 15, 14. 23 ἐπ' ειπὼν. 25 ἐπιστεῖλαι. 24 ἀλισγημάτων.

9. Ἀλλ᾽ ἔστιν ἀκοῦσαι καὶ Παύλου οἷα περὶ αὐτοῦ Γαλάταις ἀπέσταλκεν. «Ἀνῆλθον, φησίν, εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον· ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰμὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου», ὡς μεγάλου τινὸς ὄντος καὶ τιμίου καὶ τὸ ἰδεῖν τὸν Ἰάκωβον. Οἷος δέ ἐστιν αὐτῷ τῷ Παύλῳ παραινῶν ὁ Ἰάκωβος, ἐκ τῶν πράξεων τῶν ἀποστόλων ἀκούσατε. «Γενομένων γάρ φησιν ἡμῶν ἐκεῖ ὁ Λουκᾶς, εἰς Ἱεροσόλυμα, ἀπεδέξαντο ἡμᾶς πάντες οἱ ἀδελφοί. Τῇ δὲ ἐπιούσῃ νυκτὶ εἰσῆλθεν ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες δὲ παρεγένοντο πρὸς αὐτὸν οἱ πρεσβύτεροι. Καὶ ἀσπασάμενος αὐτούς, ἐξηγήσατο καθ᾽ ἓν ἕκαστον ὧν ὁ Θεὸς ἐποίησεν ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ. Οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Θεόν, εἰπόντες τῷ Παύλῳ, θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν ἐν τοῖς Ἰουδαίοις τῶν πεπιστευκότων, καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι. Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους. Ἀλλὰ τοῦτο ποίησον ὃ σοι λέγομεν... ἁγνίσθητι σὺν τοῖς ἀδελφοῖς, καὶ δαπάνησον, καὶ γνώσονται ὅτι περὶ ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστι». Πάντως δέον τοῦ Ἰακώβου ταῦτα ὑπολαμβάνειν τὰ ῥήματα, ὡς αὐτοῦ τῆς ἐκκλησίας κατάρχοντος. Τοσοῦτον ἦν ὁ Ἰάκωβος οἰκονομικὸς καὶ μέγας καὶ ἀξιέραστος. Καὶ καταθεντεῖν ἐθάρρει ἐν τοῖς ζητήμασιν, ὡς ἀδελφὸς τοῦ Κυρίου οἴκοθεν λαβὼν ἐξουσίαν παρρησιάζεσθαι, τῷ τε καιρῷ καὶ τῇ χρείᾳ συμμεταβάλλων τὸ κήρυγμα. Καὶ παρὰ τοῖς ἀποστόλοις λέγων ἠκούετο, καὶ τοῖς λεγομένοις οὐδεὶς ἀντιλέγειν ἠνείχετο. Ἐν τίνι δὲ καὶ Ἰούδας, ὁ τὴν ἑβδόμην ἐπιστολὴν τῶν καθολικῶν γράψας, σεμνύνεται; Οὐκ ἐν τῷ εἶναι καὶ λέγεσθαι τοῦ μὲν Κυρίου δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου; Ἀνάγνωθι τὴν ἐπιγραφὴν τῆς ἐπιστολῆς αὐτοῦ καὶ γνώσῃ καὶ τὴν ἐκείνου διάνοιαν. Τί γάρ φησιν; «Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ πατρὶ ἠγαπημένοις καὶ Ἰησοῦ Χριστῷ συντετηρημένοις· ἔλεος ὑμῖν καὶ

1 παῦλου. 2 ἀνῆλθον -Κυρίου. Πρὸς Γαλάτ. 1. 18, 19. 3 εἰμι. 5 παραινῶν. 6 Γενομένων—οὐδέν ἐστιν. Πράξεων 21, 17 -24. 7 λουκᾶς. 16 λέγωμεν... ἁγνίσθητι. 17 γνῶσονται. 23 χρεία.

εἰρήνη». Οὕτω δὴ παρὰ τοῖς ἀποστόλοις μέγα τι καὶ τίμιον ἦν τὸ ὑπὸ Ἰακώβου διδάσκεσθαι, καὶ ἡ πρὸς ἐκεῖνον οἰκείωσις.

10. Ἀλλ' ἐπεὶ τὸ θεωρητικὸν τοῦ ἀνδρὸς εἰς δύναμιν διεξήλθομεν, νῦν καὶ τὸ πρακτικόν, ὡς οἷόν τέ ἐστιν, ἐπελθεῖν μὴ ὀκνήσωμεν· συνῆπται γὰρ τῷ πρακτικῷ καὶ τὸ τοῦ δικαίου μαρτύριον, καθὰ καὶ ἀνωτέρω δεδήλωται. Οὗτος ὁ μέγας καὶ πολὺς τὰ θεῖα Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου χρηματίσας, ὡς γέγραπται, ἅγιος ἦν ἐκ κοιλίας μητρὸς αὐτοῦ. Καὶ τοῦτον τὸν λόγον οὐ μὴ ἀφήσω ἀμάρτυρον· αὐτῷ γὰρ ὁ μέγας Ἡγήσιππος** Ὅμοια δὲ τούτοις εἰσὶ καὶ τὰ Κλήμεντος. Οὗτος οὖν ὁ Ἰάκωβος — λεγέσθω γὰρ πολλάκις ὑφ' ἡδονῆς τὸ λεγόμενον — ἅγιος ἦν ἐκ κοιλίας μητρὸς αὐτοῦ, καθάπερ δεύτερος Ἱερεμίας ἀναδειχθεὶς ἡμῖν. Οἶνον καὶ σίκερα οὐκ ἔπιεν, οἷά τις ἄλλος Σαμουὴλ θεωρούμενος. Οὐδὲ ἔμψυχον ἔφαγεν· ἀεὶ γὰρ τῷ ἄρτῳ τῆς ζωῆς ἐσιτίζετο. Ξυρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀνέβη· Ναζιραῖος γὰρ ἦν τῷ Θεῷ αὐτοῦ, πολλῷ τοῦ Σαμψὼν ἁγιώτερος. Ἔλαιον οὐκ ἠλείψατο· ἤρκει γὰρ αὐτῷ τὸ ἔλαιον τῆς ἀγαλλιάσεως, ὃ καθ' ἑκάστην ἐχρίετο. Βαλανείῳ δὲ οὐκ ἐχρήσατο· ἀπελούετο γὰρ καθ' ὥραν τῷ πνεύματι τῆς ἀπολυτρώσεως. Ἔρεοῦν οὐκ ἐφόρει, ἀλλὰ σινδόνας, ἀεὶ τὸ λαμπρὸν τῆς ψυχῆς καὶ τὸ διαυγὲς τοῦ νοῦ αὐτοῦ διὰ τῆς περιβολῆς συμβολικῶς αἰνιττόμενος. Τούτῳ μόνῳ ἐξῆν εἰς τὰ Ἅγια τῶν Ἁγίων διὰ παντὸς εἰσπορεύεσθαι· οὐδὲ γὰρ ἅπας, καθάπερ οἱ τῷ νόμῳ καὶ τῇ σκιᾷ τῶν ἐπουρανίων λατρεύοντες. Καὶ μόνος εἰσήρχετο εἰς τὸν ναὸν τοῦ Θεοῦ, ὡς μόνος εἰσιέναι δυνάμενος διὰ καθαρότητα. Εὑρίσκετό τε κείμενος ἐπὶ γόνασι καὶ αἰτούμενος τῷ λαῷ τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, κρεῖττον ἢ κατὰ Μωϋσέα τὰς εὐχὰς μετὰ γονυκλισίας ποιούμενος, ὡς ἀπεσκληκέναι τὰ γόνατα αὐτοῦ δίκην καμήλου, διὰ τὸ ἀεὶ κάμπτειν (αὐτὸν) ἐπὶ τὸ γόνυ προσκυνοῦντα τῷ Θεῷ καὶ αἰτούμενον τῶν πλημμελημάτων τοῦ λαοῦ τὴν συγχώρησιν· ὅπερ Μωϋσῆς οὐδέποτε πέπραχεν· οὕτω γὰρ Χριστὸς ὁ Θεὸς ἡμῶν, γενόμενος ἄνθρωπος, τοὺς ἰδίους δούλους ἐπαίδευσε. Διὰ μέν τοι τὴν ὑπερβολὴν

15 ναζηραῖος. 17 ἔλαιον τῆς ἀγαλλιάσεως. Ψαλμ. 45, 8. Ἑβραί. 1, 9. 23 τῷ πνεύματι τῆς ἀπολυτρώσεως. Ρωμ. 8, 23. Ἐφες. 1, 13, 14. 4, 30. 20 αὐτοῦ. 22 ἅπαξ. 25 εὑρίσκετο. λαῷ.

τῆς δικαιοσύνης αὐτοῦ ἐκαλεῖτο δίκαιος καὶ ὄβλίας, ὃ ἐστιν ἑλληνιστὶ περιοχὴ τοῦ λαοῦ καὶ δικαιοσύνη, ὡς οἱ προφῆται δεδηλώκασι πρότερον. Τινὲς οὖν τῶν επτὰ αἱρέσεων, ὧν προκατῆρχεν ὁ Ἄνανος, ἡνίκα Παῦλος ἐπεκαλέσατο καίσαρα καὶ ἐπὶ Ῥώμην πρὸς Νέρωνα ὑπὸ τοῦ Φήστου δέσμιος ἔσταλτο, τῆς ἐλπίδος, καθ' ἣν ἐξήρτυον Παύλῳ τὴν ἐπιβουλήν, ἐκπεσόντες, ἐπὶ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου τρέπονται. Τοιαῦτα δὲ αὐτοῖς κατ' ἐκείνου τετόλμηται. Εἰς μέσον αὐτὸν ἀγαγόντες, ἄρνησιν τῆς πίστεως τῆς εἰς τὸν Χριστὸν ἐπὶ παντὸς τοῦ λαοῦ ἐζήτουν αὐτόν· ἐπυνθάνοντο δὲ παρ' αὐτοῦ λέγοντες· «Εἰπὲ ἡμῖν, δίκαιε, τις ἐστιν ἡ θύρα τοῦ Ἰησοῦ». Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· «Οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ Ἰησοῦς ὁ Χριστός». Καί τινες αὐτῶν ἐπίστευον τοῖς ὑπὸ τοῦ Ἰακώβου (λεγομένοις)· τινὲς δὲ αὐτῶν ἠπίστουν τε καὶ ἀντέλεγον. Αἱ γὰρ αἱρέσεις αὗται παρὰ Ἰουδαίοις, οὔτε ἀνάστασιν ἔλεγον οὔτε ἐρχόμενον ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Πολλοὶ δὲ ἐπίστευον διὰ τὸν Ἰάκωβον, καὶ γογγυσμὸς πολὺς ἦν ἐν τοῖς ἄρχουσι τῶν Ἰουδαίων, τῶν φαρισαίων καὶ γραμματέων λεγόντων ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδοκᾶν.

11. Ἔλεγον οὖν, συνελθόντες τῷ Ἰακώβῳ, «παρακαλοῦμέν σε, δίκαιε, ἐπίσχες τὸν λαόν, ἐπείπερ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος Χριστοῦ. Παρακαλοῦμέν σε οὖν πεῖσαι τοὺς ἐλθόντας εἰς τὴν ἡμέραν τοῦ πάσχα περὶ τοῦ Ἰησοῦ· σοὶ γὰρ πάντες πειθόμεθα· ἡμεῖς γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαός, ὅτι δίκαιος εἶ καὶ πρόσωπα οὐ λαμβάνεις. Πεῖσον οὖν σὺ τὸν λαὸν μὴ πλανᾶσθαι περὶ τοῦ Ἰησοῦ· καὶ γὰρ ἡμεῖς καὶ πᾶς ὁ λαὸς πειθόμεθά σοι. Στῆθι οὖν ἐπὶ τὸ πτερύγιον τοῦ Ἱεροῦ, ἵνα ἧς ἄνωθεν ἐπιφανὴς τῷ λαῷ καὶ ἀκουστά σου τὰ ῥήματα γένωνται· διὰ γὰρ τὸ πάσχα συνεληλύθαμεν πᾶσαι αἱ φυλαὶ μετὰ τῶν ἐθνῶν». Ἔστησαν οὖν οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ Ἱεροῦ καὶ ἔκραξαν, λέγοντες «δίκαιε, σοὶ πάντες ὀφείλομεν πείθεσθαι. Ἐπείπερ ὁ λαὸς πλανᾶται ὀπίσω τοῦ Ἰησοῦ, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, ἀπάγγειλον ἡμῖν τις ἡ θύρα

1 ὄβλίας... ἑλληνιστὶ. 1 παῦλω. 20 ἐπείσχες. 26 πλανᾶσθαι.

τοῦ Ἰησοῦ». Καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ, λέγων· «Τί με ἐρωτᾶτε περὶ τοῦ Ἰησοῦ; αὐτὸς γὰρ καθέζεται ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ πατρὸς αὐτοῦ ἐν τῷ οὐρανῷ, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ κρίναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ». Καὶ πολλῶν πληροφορηθέντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου, καὶ κραζόντων καὶ λεγόντων «ὡσαννὰ τῷ υἱῷ Δαυίδ», τότε πάλιν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι ἔλεγον πρὸς ἀλλήλους· «Κακῶς ἐποιήσαμεν, τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ. Ἀλλὰ δεῦτε καταβάλωμεν τὸν Ἰάκωβον, ἵνα φοβηθέντες οἱ λαοὶ μὴ πιστεύσωσι τῷ Ἰησοῦ». Καὶ ἔκραξαν λέγοντες «ὦ ὦ, καὶ ὁ δίκαιος ἐπλανήθη». Ἀναβάντες οὖν ἐπὶ τὸ πτερύγιον τοῦ Ἱεροῦ κατέβαλον αὐτὸν καὶ ἔλεγον· «Λιθάσωμεν τὸν δίκαιον». Καὶ ἤρξαντο λιθάζειν αὐτόν. Ἐπείπερ καταβληθεὶς οὐκ ἀπέθανε, στραφεὶς ἔθηκε τὰ γόνατα λέγων «Κύριε Θεὲ πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν». οὕτω γὰρ Χριστὸς ὁ Θεὸς καὶ Στέφανον ἐδίδαξε καὶ Ἰάκωβον. Οὕτω δὲ καταλιθοβολούντων αὐτόν, εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ υἱοῦ Χαβὶμ τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου τοῦ προφήτου, ἔκραζε λέγων—«Παύσασθε· τί ποιεῖτε; Εὔχεται ὑπὲρ ὑμῶν ὁ δίκαιος». Καὶ λαβών τις ἐξ αὐτῶν, εἷς τῶν κναφέων, τὸ ξύλον, ἐν ᾧ ἀπέπίεζε τὰ ἱμάτια, ἤνεγκε κατὰ τῆς κεφαλῆς αὐτοῦ· καὶ οὕτως ὁ δίκαιος παρέδωκε τὸ πνεῦμα. Καὶ λαβόντες αὐτὸν ἔθαψαν ἐν τόπῳ καλουμένῳ Καλῷ, πλησίον τοῦ ναοῦ τοῦ Θεοῦ. Ὅσοι δὲ εὐόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ πέμπουσι κρύφα πρὸς τὸν Ἀγρίππαν οὗτος γὰρ τῆς Ἡρώδου τετραρχίας ὑπῆρχε διάδοχος—παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι Ἀνάνῳ μὴ τοιαῦτα τολμᾶν· μηδὲ γὰρ τὸ κατὰ τὸν μέγαν Ἰάκωβον ὀρθῶς πεπραχέναι. Τινὲς δὲ αὐτῶν καὶ τὸν Ἀλβῖνον ὑπαντιάζουσιν, ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα—αὐτὸν γὰρ μετὰ Φῆστον ἐχειροτόνησε Καῖσαρ τῆς Ἰουδαίας ἐπίτροπον—καὶ διδάσκουσιν, ὡς οὐκ ἦν ἐξὸν τῷ Ἀνάνῳ χωρὶς γνώμης αὐτοῦ καθίσαι συνέδριον. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς εἰποῦσι γράφει μετ' ὀργῆς πρὸς τὸν Ἄνανον, δίκας ἀπειλῶν

18 ὑπὲρ] ἐν τῷ κώδ. «περὶ». 31 γνῶμης.

λήψεσθαι παρ' αὐτοῦ τοῦ τοιούτου τολμήματος. Ἀγρίππας μέντοι ὁ βασιλεὺς ἀφελόμενος τῆς ἱερωσύνης τὸν Ἄνανον, ἄρξαντα μῆνας οὐ πλεῖον τριῶν, ἕτερον ἀντ' ἐκείνου κατέστησε. Δεινὰ δὲ καὶ πέρα δεινῶν μετὰ θάνατον Ἰακώβου τοὺς Ἰουδαίους κατείληφε, καὶ μάρτυς τούτων Ἰώσηπος ὁ Ἰουδαῖος, μηδὲν τῆς ἀληθείας ἀποκρυψάμενος.

12. Οὕτω μὲν οὖν προσετέθη τοῖς ἁγίοις ὁ ἅγιος ὁ παρὰ τῆς ἄνω χοροστασίας ἐπιζητούμενος. Οὕτω προσετέθη ὁ μάρτυς τοῖς μάρτυσιν, ὁ ἐν ἐπισκόποις πρῶτος τὸν μαρτυρικὸν ἀναδησάμενος στέφανον· ἦν μὲν γὰρ προφθάσας ἐν διακόνοις ὁ Στέφανος, ἐν ἀποστόλοις ὁ Ζεβεδαίου Ἰάκωβος, νῦν δὲ ὁ ἱερεὺς Χριστῷ τῷ ἀρχιερεῖ ἠκολούθησε τῷ ὑπὲρ τοῦ κόσμου παντὸς τὸ αἷμα δεδωκότι τὸ ἴδιον. Οὕτω προσετέθη τοῖς δικαίοις ὁ δίκαιος, τὸ τοῦ δικαίου πατρὸς δίκαιον γέννημα. Ἐγὼ γὰρ καὶ τὸν Ἰωσήφ, τὸν πατέρα τοῦ μάρτυρος, λίαν τινὰ πεπίστευκα μέγαν τε καὶ σεβάσμιον εἶναι —οὐ μόνον γὰρ αὐτὸν ἐκ τῆς ἱερᾶς τοῦ εὐαγγελίου φωνῆς μεμάθηκα δίκαιον, ἀλλ' ὅτι καὶ τῷ κατὰ Χριστὸν μυστηρίῳ ὑπουργῆσαι ἠξίωται—ὅτι τὴν παναγίαν παρθένον καὶ Θεοτόκον ὀνόματι μνηστείας διά τινα λόγον ἐξαίρετον εἰς τήρησιν ἔλαβεν. Εἰ μὴ γὰρ ἔγνω τὸ πνεῦμα τὸ ἅγιον, ὅτι τε βίῳ καὶ λόγῳ ὁ Ἰωσὴφ ἐλαμπρύνετο καὶ πρὸ τούτων ἁπάντων ἄσπιλον εἶχε τὴν ψυχὴν καὶ ἀρρύπαρον καὶ οὕτω καὶ τὸν οἶκον τὸν ἑαυτοῦ ἐξεπαίδευσεν, οὐκ ἂν αὐτὸν καὶ τὸν οἶκον αὐτοῦ εἰς διακόνους προυβάλλετο τοῦ μυστηρίου τῆς χάριτος. Μέγας τις τοιγαροῦν καὶ Ἰωσὴφ ὑπῆρχε καὶ ἐνθεώτατος καὶ τῆς κατὰ νόμον γνώσεως ἠκριβωμένος τὰ λόγια καὶ προφητικοῦ πεπληρωμένος χαρίσματος, ἅτε δὴ τῆς Δαυιτικῆς ῥίζης γνησιώτατον βλάστημα καὶ τῷ Δαυιτικῷ οἴκῳ γενόμενος καύχημα. Καὶ μάρτυς τούτων ἡ τῶν εὐαγγελίων γραφή, υἱὸν τὸν Ἰωσὴφ τοῦ Δαυὶδ ὀνομάζουσα καὶ πᾶσιν αὐτὸν ὑπηρετοῦντα προθύμως τοῖς δι' ἀγγέλου χρησμοῖς ἱστορήσασα· ὅπερ οὐκ ἂν ὡς ἔτυχεν ἔπραττεν, εἰ μὴ πόρρωθεν ἐνελάμπετο τοῦ μυστη-

2 βασιλεὺς ἀφελόμενος. 11 ζεβεδαῖου. 5 ἱερεὺς. Οὕτω καὶ ἑφεξῆς 21 ἁπάντων. 22 ἀρύπαρον. 26 ἅτε. 27 οἶκω. 29 γραφὴ. 30 Ματθ. 1, 20. 31 ιστορήσασα.

ρίου τὴν δύναμιν. Παρὰ τούτου ἡμῖν ὁ ἱερὸς Ἰάκωβος καὶ γεγέννηται καὶ πεπαίδευται· τούτου τοῦ δικαίου υἱὸς ὑπῆρχεν οὗτος ὁ δίκαιος. Καὶ δίκαιος καὶ προφήτης καὶ μαθητὴς καὶ ἱερεὺς καὶ ἀδελφὸς τοῦ Κυρίου καὶ μάρτυς πρῶτος ἐν ἐπισκόποις εἶναι πιστεύεται· ἀγαθῶν γὰρ πόνων ὁ καρπὸς εὐκλεὴς καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως, καθάπερ σοφοῦ τινος ἤκουσα λέγοντος.

13. Ἐμοὶ μὲν οὖν τὰ τῆς προθυμίας εἰς δύναμιν ἀφωσίωται· σὺ δέ, ὦ τρισμακάριε καὶ τῇ τοῦ πνεύματος κοσμούμενε χάριτι, ὦ ἱερὰ καὶ τιμία καὶ ἀποστολικὴ κεφαλὴ τὸ μαρτυρικὸν διάδημα φέρουσα, ὁ παρρησίαν ἔχων πλείστην πρὸς Θεόν, ὡς ἀδελφὸς καὶ φίλος καὶ δοῦλος γενόμενος, παῦσον ταῖς σαῖς ἱκεσίαις ἐκ τοῦ λαοῦ τοῦ Θεοῦ τὴν ὀργήν· γενοῦ δεύτερος Ἀαρών, ὑπὲρ ἡμῶν τὸ θεῖον ἐξιλεούμενος. Φάνηθι καὶ σὺ ἄλλος Φινεὲς ἀποστρέφων τὸν ὀλοθρεύοντα καὶ τοσοῦτον σὺ μείζονα παρ' ἐκείνους βοήθησον, ὅσῳ καὶ μείζονος παρρησίας ὑπὲρ ἐκείνους ἠξίωσαι. Δίωξον ὡς ποιμὴν τὸν ἀλλόφυλον λύκον τὸν τῇ μάνδρᾳ Χριστοῦ τοῦ Θεοῦ ἐφεδρεύοντα, κατάβαλε δι' εὐχῆς τῶν Ἀσσυρίων τὸ σύστημα. Ὅρας, ὦ πανάγιε, τὴν διασποράν, τὴν δῄωσιν, τὸν διωγμόν, τὴν ἐρήμωσιν, τὸν μολυσμὸν τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων τὴν καταπάτησιν, ἅπερ ἅπαντα ἐξ ἡμετέρων ἡμᾶς ἁμαρτιῶν κατειλήφασι. Σὺ οὖν τὴν ἐκκλησίαν ῥυπωθεῖσαν ἐκκάθαρον, τὴν βασιλείαν κραταίωσον, τὸν λαὸν τοῦ Θεοῦ τὸν ἐξ ἐνδόξου ἄδοξον καὶ ἐκ πλουσίου πένητα περιποίησαι, ἵνα δοξάζηται διὰ πάντων Θεὸς ἐν τριάδι προσκυνούμενος, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὅτι αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

5 εὐκλεῆς. 7 ἀφοσίωται. 9 ἀποσταλικὴ κεφαλή. 13 ὀλοθρεύοντα. 18 δεῖωσιν. 20 κατάπάτησιν ἃ. ἅπαντα. 21 οὖν] ἐν τῷ κώδ. «δε» || βασιλείαν.

II.

ΣΕΥΗΡΙΑΝΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΑΒΑΛΩΝ

λόγος περὶ εἰρήνης.

(Cod. Sabb. 32, fol. 130ᵃ—135ᵇ).

1. Οἱ ἄγγελοι τὸν οὐράνιον χορὸν συστησάμενοι εὐηγγελίζοντο τοῖς ποιμέσι λέγοντες· «εὐαγγελιζόμεθα ὑμῖν σήμερον χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ». Παρ' αὐτῶν τοίνυν τῶν ἁγίων ἐκείνων ἀγγέλων καὶ ἡμεῖς δανεισάμενοι φωνὴν εὐαγγελιζόμεθα ὑμῖν σήμερον, ὅτι σήμερον τὰ τῆς ἐκκλησίας ἐν γαλήνῃ καὶ τὰ τῶν αἱρετικῶν ἐν ζάλῃ. Σήμερον τὸ σκάφος τῆς ἐκκλησίας ἐν γαλήνῃ

1. In adventu domini et salvatoris nostri atque in praesentia ejus corporali, angeli ducentes choros cœlestes evangelizabant pastoribus, dicentes: „Annuntiamus vobis hodie gaudium magnum quod erit omni populo". Ab ipsis enim sanctis angelis etiam mutuati nos vocem, annuntiamus vobis hodie gaudium magnum. Hodie enim in pace ecclesia est, et hae-

ΕΠΙΓΡΑΦΗ. Ἐν τῷ κώδικι λείπει τὸ ὄνομα τοῦ συγγραφέως, τοῦ λόγου αὐτοῦ ἀποδοθέντος ὑπὸ τῶν ἀντιγραφέων τῷ ἁγίῳ Ἰωάννῃ τῷ Χρυσοστόμῳ· διὸ καὶ ἐν τῷ ἁγιοσαββιτικῷ κώδικι ἐπιγράφεται «ὁμιλία κζ', τοῦ αὐτοῦ λόγος περὶ εἰρήνης», ἤτοι τοῦ Χρυσοστόμου. Ἀνεγνώρισα δὲ τὸν ἀληθῆ αὐτῆς συγγραφέα ἔκ τε τοῦ ὕφους τῆς ὁμιλίας, ἔκ τε τῆς ὑποθέσεως αὐτῆς καὶ ἐκ τοῦ σωζομένου λατινιστὶ ἀποσπάσματος, ὅπερ ἐπιγράφεται ὧδε· «Sermo Severiani de pace, cum susceptus esset a beato Joanne episcopo Constantinopolitano».

2 εὐηγγελίζοντο] ἐν τῷ κώδ. «εὐαγγελίζοντο». 3 εὐαγγελιζόμεθα κτλ. Λουκᾶ 11, 10.

καὶ εἰς τὸν ἀχείμαστον λιμένα τῆς εἰρήνης ὁρμίζεται, καὶ ἡ τῶν αἱρετικῶν μανία ταῖς ἰδίαις τρικυμίαις χειμάζεται. Σήμερον οἱ ποιμένες ἐν ἀμεριμνία καὶ ἡ ποίμνη ἐν ἀσφαλείᾳ, οἱ ἐχθροὶ ἐν ἀπορίᾳ, οἱ λύκοι ἐν ἀμηχανίᾳ. Σήμερον ὁ ἀμπελὼν τοῦ Σωτῆρος ἐν εὐθηνίᾳ καὶ οἱ ἐργάται τῆς κακίας ἐν ἀκηδίᾳ. Σήμερον ὁ λαὸς τοῦ Θεοῦ ἐν ὑψώσει καὶ οἱ ἐχθροὶ τῆς ἀληθείας ἐν ταπεινώσει. Σήμερον Χριστὸς ἐν ἀγαλλιάσει καὶ διάβολος ἐν πένθει. Σήμερον ἄγγελοι μετ' εὐφροσύνης χαίρουσιν καὶ δαίμονες μετ' αἰσχύνης ὀραπετεύουσιν. Καὶ τί δεῖ πολλὰ λέγειν; Σήμερον μετὰ τῆς ἑαυτοῦ εἰρήνης προῆλθεν Χριστὸς ὁ βασιλεὺς τῆς εἰρήνης καὶ πᾶσαν ἔχθραν καὶ πᾶσαν λύπην καὶ πᾶσαν μικροψυχίαν ἐξώρισεν. Οὐρανῷ μὲν ἥλιος ἐπιλάμπει, ἐκκλησίαν δὲ Χριστοῦ εἰρήνη φωτίζει, εἰρήνη τὸ ποθεινὸν ὄνομα, εἰρήνη τὸ φαιδρὸν τῆς εὐσεβείας ἐπάγγελμα, εἰρήνη τὸ καθαρὸν τῆς ἱερωσύνης βλέμμα, εἰρήνη τὸ διαυγὲς τοῦ θυσιαστηρίου κάλλος! Καὶ τί ἐπάξιον δυνάμεθα εἰπεῖν εἰρήνης, ἥτις ἐστὶν τὸ ὄνομα τοῦ Χριστοῦ; περὶ γὰρ τοῦ

retici in ira. Hodie ecclesiae navis in portu est, et haereticorum furor jactatur in fluctibus. Hodie pastores ecclesiae in securitate, et haeretici in perturbatione sunt. Hodie oves Domini in tuto, et lupi insaniunt. Hodie vinea Domini in abundantia, et operarii iniquitatis in egentia. Hodie populus Christi exaltatus est, et inimici veritatis humiliati sunt. Hodie Christus in laetitia, et diabolus in luctu. Hodie angeli in exsultatione, et daemones in confusione. Et quid opus est multa dicere? Hodie Christus, qui est rex pacis, cum sua pace procedens, fugavit omne dissidium, dissensiones depulit, discordiam perturbavit. Et sicut cœlum splendor solis, ita ecclesiam fulgor pacis illuminat. O quam desiderabile nomen pacis, quam religionis christianae stabile fundamentum, et altaris dominici cœlestis armatura! Et quid possumus de pace proloqui? Pax nomen est ipsius Christi, sicut dicit et apostolus: „Quia Christus pax nostra, qui fecit utra-

7 ἐναμηχανία. 22 ἐξώρησεν. 29 δι' αὐγες.

Χριστοῦ ὁ Παῦλος διαλεγόμενός φησιν· «αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν». Ἀμφότερα ἦν οὐ γνώμῃ μεμερισμένα, οὐ πίστει κατατετμημένα, ἀλλὰ διαβόλου φθόνῳ διῃρημένα. Ἀλλ' ὥσπερ ἐπὶ βασιλικῆς προόδου καὶ πλατεῖαι καθαίρονται καὶ στοαὶ διαφόροις κάλλεσι στεφανοῦνται, ἵνα μηδὲν φανῇ βασιλικῆς ὄψεως ἀνάξιον, οὕτως προερχομένου Χριστοῦ τοῦ βασιλέως τῆς εἰρήνης πάντα τὰ λυπηρὰ ἐκποδὼν ἡμῖν ὑπεχωρεῖτο. Ἐπέλαμψεν ἡ ἀλήθεια, καὶ ὀραπετεύει τὸ ψεῦδος! ἐπέλαμψεν ἡ ὁμόνοια, καὶ ἔφυγεν ἡ διχόνοια! Καὶ ὥσπερ πολλάκις ἐπὶ βασιλέων ἢ ἀδελφῶν καὶ ἀρχόντων οἱ ἄριστοι τῶν γραφέων βουλόμενοι τῆς ψυχῆς τὴν ἕνωσιν δεῖται ἐν σχήματι γυναικὸς ὁπισθεν παραστῶσιν τὴν ὁμόνοιαν, ἀμφοτέραις ταῖς ὠλέναις περιλαμβάνουσαν τοὺς ἡνωμένους — ἵνα δείξῃ ὅτι τὰ σώματα διῃρημένα συνῆπται τῇ γνώμῃ — οὕτως ἡ τοῦ Χριστοῦ εἰρήνη μεσολαβήσασα τὰ διεστῶτα συνῆψεν, καὶ ἐπληρώθη ἐφ' ἡμῶν τὸ εἰρημέ-

que unum», quae nequaquam fide, sed invidia diaboli dissidebant. Verun sicut procedente rege et plateae mundantur, et tota civitas diversis floribus et ornatibus coronatur, ut nihil sit quod minus dignum vultui regis appareat: ita et nunc procedente Christo rege pacis, omne quod triste est, auferatur e medio, et illucescente veritate fugetur mendacium: fugiat discordia, resplendescente concordia. Et sicut frequenter fieri vidimus, ubi regum vel fratrum tabulae pinguntur, ut in utrisque unanimitatis declarentur insignia, artifex picto femineo habitu post tergum utriusque, concordiam statuit, brachiis suis utrumque complectentem, indicans quod hi qui videntur corporibus separati, sententiis et voluntate conveniant: ita nunc pax Domini media assistens, et utrumque nostrum gremio palpante connectens, discreta corpora in unum convenire animum, ulnis jungentibus docet.

2 αὐτός] ἐν τῷ κώ. «Χριστός». Πρὸς Ἐφεσίους 2, 14. 7 ἐπιβασιλικῆς... πλατεῖαι. 7 διειρημένα. 10 κάλεσι.... μηδέν. 15 ὑπεχορεῖτο. 18 διχόνια. 19 ἐπιβασιλέων. 23 παραστῶσιν (sic).

νον ὑπὸ τοῦ προφήτου «καὶ ἔσται βουλὴ εἰρήνης ἀναμέσον ἀμφοτέρων».

2. Τῇ μὲν οὖν προτέρα ὁ κοινὸς ἡμῶν πατὴρ τὸ εὐαγγελικὸν προοιμιάσατο, τῆς εἰρήνης τὸν λόγον· σήμερον δὲ ἡμεῖς τοῦ τῆς εἰρήνης ἡγούμεθα λόγου. Λύτὸς ἡμᾶς χθὲς ὑπτίαις ταῖς χερσὶν ἠσπάσατο τῷ λόγῳ τῆς ἀληθείας, καὶ ἡμεῖς σήμερον, ὡς εἰπεῖν, πλατείαις ἀγκάλαις τοῖς τῆς εἰρήνης δεξιούμεθα δώροις. Καταλέλυται πόλεμος, καὶ λάμπει τὸ τῆς εἰρήνης κάλλος! Νῦν στενάζει διάβολος! Νῦν πενθεῖ τὸ τῶν δαιμόνων σύστημα! Νῦν ἐν ἀγαλλιάσει τὰ τῆς ποίμνης! Νῦν ἐν εὐφροσύνῃ τὰ οὐράνια! Εἰρήνη σήμερον χορεύει ἡ τῶν ἐν οὐρανοῖς ἀγγέλων ὁμοδίαιτος καὶ τῶν ἐπὶ γῆς ἁγίων ὁμόσκηνος! εἰρήνη, ὁ τῶν ἀγγέλων ὕμνος! εἰρήνη, τὸ τῶν ἁγίων ἔργον! Καὶ ὅρα τὸ θαυμαστόν. Καὶ τὰ ἐπουράνια ὑμνεῖ τὴν εἰρήνην, καὶ τὰ ἐπίγεια ὑμνεῖ τὴν εἰρήνην! Ἀλλ' ὅτε μὲν οἱ ἐν οὐρανοῖς ἄγγελοι ὑμνοῦσιν εἰρήνην, τῇ γῇ αὐτὴν προσπέμπουσιν, καὶ τῇ γῇ τῆς εἰρήνης τὰς ἀκτῖνας

In qua sine dubio completur sermo propheticus, qui ait: «Et erit consilium pacificum inter utrosque».

2. Et hesterno quidem die pater noster communis evangelico pacem sermone praefatus est: hodie vero nos verba pacis exponamus. Ipse nos heri resupinis manibus in verbo pacis excepit, et nos hodie dilatato pectore, ulnisque patentibus ad Dominum cum muneribus pacis occurramus. Jam bella destructa sunt, pulchritudo pacis obtinuit. Nunc in luctu est diabolus, et in lamentatione omnis daemonum turma, nunc in coelestibus laetitia, et in angelis exsultatio, quibus specialis familiaris pax. Hoc enim etiam coelestes admirantur virtutes opus, quas fons ejus habet perennis, ex quo etiam terrena haec nostra guttis quibusdam exinde stillantibus irrorantur. Et ideo etiamsi in terris pax, laudis ejus splendor redundat in coelum, laudant eam coelestes angeli et dicunt: «Gloria in excelsis Deo,

1 καὶ εσται—ἀμφοτέρων. Zacharr. 6, 13. 2 βουλὴ. 14 δεξιούμεθα] ℓ τῷ κώδ. «δεξιούμενον». 30 πρὸς πέμπουσιν.

ἐπιλάμπουσιν· ὅταν δὲ οἱ ἐπὶ γῆς ἅγιοι αὐτὴν ὑμνοῦσιν, εἰς τὸν οὐρανὸν αὐτῆς τὰς μαρμαρυγὰς ἀναπέμπουσιν. Ὑμνοῦσιν οἱ ἐξ οὐρανῶν ἄγγελοι καὶ λέγουσιν «δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη». Ὁρᾷς πῶς τὰ ἐπουράνια τάγματα ἀλλήλοις ἐπιπέμπουσιν τὰ τῆς εἰρήνης δῶρα; Οἱ ἐν οὐρανοῖς ἄγγελοι τῇ γῇ εὐαγγελίζονται τὴν εἰρήνην· ὅτε γὰρ ὁ γοργὸς ἐκεῖνος ὁ εὐσεβὴς τὸν Χριστὸν ὑμνῶν ἔλεγεν «ὡσαννὰ τῷ υἱῷ Δαυίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», καὶ τοῦτο προσετέθη· «εἰρήνη ἐν οὐρανοῖς καὶ δόξα ἐν ὑψίστοις». Εἴπωμεν τοίνυν καὶ ἡμεῖς «δόξα ἐν ὑψίστοις Θεῷ, τῷ τὸν διάβολον ταπεινώσαντι καὶ τὸν λαὸν τὸν ἴδιον ὑψώσαντι· δόξα ἐν ὑψίστοις Θεῷ, τῷ ἔχθραν ἐξορίσαντι καὶ εἰρήνην βραβεύσαντι».

3. Εἴπομεν ὑμῖν τοῦ διαβόλου τὴν τέχνην, καὶ πρὸ ἡμῶν οὐκ ἠγνοεῖτε αὐτοῦ τὰ νοήματα. Εἶδεν ὁ Σατανᾶς τὴν ἐκκλησίαν πίστεως τετειχισμένην· εἶδεν δογμάτων εὐσεβείας ἐστεφανωμένην· εἶδεν, καὶ ἰδὼν ἐτάκη· ἰδὼν ἐλύσησεν· ἰδὼν ἐμάνη. Ἐπειράθη

et in terra pax hominibus bonae voluntatis». Vides quomodo coelestes omnes et terrestres invicem sibi munera pacis emittunt? Coelestes angeli pacem terris annuntiant, sancti in terris Christum, qui est pax nostra, collaudant in coelestibus positum, et mysticis choris acclamant: «Osanna in excelsis».

Dicamus ergo et nos: «Gloria in altissimis Deo», qui humiliavit diabolum, et exaltavit Christum suum. «Gloria in altissimis Deo», qui discordiam fugat, et pacem statuit.

3. Dico enim vobis artem diaboli, cujus neque vos astutiam ignoratis. Uidit Satanas firmitatem fidei, stabilitatem in ea pietate dogmatum septam, vidit et operum bonorum fructibus abundantem: et ideo pro his omnibus ad insaniam

1 οὐ' ἀν. Οὕτω πανταχοῦ. 5 δόξα—εἰρήνη. Λουκᾶ 11, 14. 8 ὁρᾷς] ἐν τῷ κώδ. «ὁρᾶ». 13 ὡσαννὰ κτλ. Ματθ. 21, 9. 26 ἠγνοεῖτε] ἐν τῷ κώδ. «ἀγνοεῖτε».

διασκεδάσαι Χριστοῦ δόξαν, ἀλλ' οὐκ ἴσχυσεν· οὔτε γὰρ Χριστοῦ λύεται δόξα, οὔτε ἱερέων ἀφανίζεται εἰρήνη. Οὐδὲν ὤνησεν ἡ ἐκείνου κακία· ἡ γὰρ τῶν ἀδελφῶν ὁμόνοια τὸν τῆς εἰρήνης ἠγήσατο λόγον· Χριστὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν. «Εἰρήνη Χριστοῦ βραβευέτω ἐν ταῖς καρδίαις» ἡμῶν.

venit, et rabie furoris exarsit, ut scinderet amicitiam et evelleret caritatem, ut disrumperet pacem: sed pax Domini semper sit nobiscum, in Christo Jesu Domino nostro, cum quo est Deo Patri et Spiritui sancto gloria, in saecula saeculorum. Amen.

4. Προσέχετε δὲ μετὰ ἀσφαλείας πῶς ὁ Θεὸς τῆς εἰρήνης τὸ κάλλος ἅπλωτ, καὶ δείκνυσιν αὐτὴν καὶ ἐν προφήταις ἀκμάζουσαν καὶ ἐν ἀποστόλοις λάμπουσαν καὶ ἐν μάρτυσιν χορεύουσαν. Ἔξω εἰρήνης μηδὲν δυνατὸν συστῆναι, μήτε τῶν ἐν οὐρανῷ, μήτε τῶν ἐπὶ γῆς. Εἰρήνη, νόμου στόμα! εἰρήνη, προφητῶν γλῶσσα! εἰρήνη, ἀποστόλων διδασκαλία! εἰρήνη, μαρτύρων καὶ προφητῶν ἐπιθυμία! Τίς ἐπιθυμία τῶν προφητῶν; «Κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν». Ἐδέξατο τὴν δέησιν ὁ βασιλεύς. Ἔδει αὐτὸν ὑποσημειώσασθαι τὴν δέησιν, καὶ τῇ ἐπιγραφῇ οἰκείως ἀποκριθῆναι πρὸς τὴν δέησιν. Τί θέλετε, φησίν, ἄνθρωποι, εὐσεβείας σύντροφοι; «Κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν». — «Δίδωμι τὴν χάριν· ὑποσημειοῦμαι καὶ ἀντιγράφω» Ὑπεσημειώσατο ὁ βασιλεὺς δι' ἑαυτοῦ «πληρῶ ὑμῶν τὴν δέησιν». Τῶν προφητῶν λεγόντων «κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν», τί οὖν διὰ τῆς εὐαγγελικῆς αὐτοῖς ἀποκρίνεται χάριτος; «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν». Διατί «δίδωμι»; διατί «ἀφίημι»; ἐπειδὴ καὶ κατὰ σάρκα καὶ κατὰ θεότητα θεωρεῖται πας ὁ τοῦ Χριστοῦ δοῦλος· ἀπεδήμει δὲ κατὰ σάρκα, μενων κατὰ θεότητα. Εἶπεν καὶ «ἀφίημι» καὶ «δίδωμι»· «ἀφίημι», ὡς ἀναλαμβανόμενος· «δίδωμι», ὡς συμπολιτευόμενος «εἰρήνη» δὲ ὑπογέγραπται σύνθεμα τοῦ δρόμου τῶν ἀποστόλων. Ὥσπερ γὰρ συνθέματα δημοσίου δρόμου ἐὰν

8 εἰρήνη—καρδίαις. Πρὸς Κολοσ. 3, 15. 14 μηδὲν. 17 Κύριε—ἡμῖν. Ἡσαΐου 26, 12. 25 Εἰρήνην—ὑμῖν. Ἰωάν. 14, 27 27 διὰ τί. 27 κατασάρκα καὶ κατὰ θεότητα. 28 ἀπεδήμη.

μὴ ἦ βασιλικῇ σφραγισθέντα χειρὶ ἀβέβαια, οὕτως ὁ ὁρόμος τῶν ἀποστόλων, εἰ μὴ σύνθεμα ἔλαβεν εἰρήνης, οὐκ ἂν ἴσχυσεν διελθεῖν τὸν κόσμον πολέμου γέμοντα. Οἷον οὖν ἐστι τὸ τῆς εἰρήνης σύνθεμα λεγέτω Ἡσαΐας «ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά» Εἶδες τὸ τῆς εἰρήνης σύνθεμα· ἄκουε καὶ τοῦ εὐαγγελικοῦ λόγου τὸ προοίμιον. Εὐαγγελικοῦ λόγου προοίμιον «εἰρήνη». Ἄκουε τοῦ Σωτῆρος, λέγοντος «εἰς ἣν δ' ἂν πόλιν ἢ οἰκίαν εἰσέλθητε, λέγετε εἰρήνη τῷ οἴκῳ τούτῳ». Εἰρήνη συγκροτεῖ ἱερέως ψυχήν· δίδωσιν ὦτα ἀνεῳγμένα τοῖς ἀκροωμένοις· πρὸ γὰρ τῶν λόγων εἰρήνη λάμπουσα φωτίζει τῶν ἀκουόντων τὴν διάνοιαν. Διὰ γὰρ τοῦτον τὸν ἀρχαῖον τῆς ἱερωσύνης τρόπον ὁ Θεὸς ἐκθειάζων ἔλεγεν «ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας ὅτι χεῖλη ἱερέως ἐφύλαξεν γνῶσιν, καὶ νόμον ἐκζητήζουσιν ἐκ τοῦ στόματος αὐτοῦ· ὅτι ἄγγελος Κυρίου παντοκράτορος ἐστιν» Εἶδες ἱερωσύνης ἡνίαν καὶ χαλινόν, χαλινὸν τῶν ἡνιοχουμένων εἰρήνην. Θέλεις καὶ ἕτερον ξένον μαθεῖν; «Εἰρήνη» τὸ πρῶτον καὶ ἀρχαῖον τοῦ θυσιαστηρίου ὄνομα· ἐν ἀρχῇ γὰρ θυσιαστήριον εἰρήνης ἐκλήθη, ἐπειδὴ πᾶσα μικροψυχία ἐν τῷ θυσιαστηρίῳ λύεται, καὶ λύπη καὶ ἔχθρα. Ἀπ' ἀρχῆς ἔπηξεν ὁ Θεὸς ὄνομα τῷ θυσιαστηρίῳ «εἰρήνην». Πόθεν τοῦτο «καὶ ᾠκοδόμησε Γεδεὼν θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Εἰρήνην Κυρίου».

5. Τί θέλεις εὑρεῖν ὅρους εὐσεβείας; Εἰρήνη ἐστὶν οἷον ὡς περ χώρας τινὸς πολλῆς καὶ μεγάλης, διαφόροις δεσποτείαις ὑποβεβλημένης. Οἱ ὅροι διατειχίζοντες δεικνύουσιν μέχρι τίνος φθάνει ἡ τούτου δεσποτεία, καὶ πόθεν ἄρχεται ἡ τοῦ ἑτέρου κληρουχία. Οὕτως, ἐπειδὴ μεταξὺ δαιμόνων καὶ Χριστοῦ, βραβεύοντος εἰρήνην, κεῖται τὰ τῶν ἀνθρωπίνων ψυχῶν πταίσματα ἢ κατορθώματα, τῶν μὲν Χριστὸν ἀγαπώντων καὶ τὴν αὐτοῦ εἰρήνην τῶν δὲ δαίμοσι προστρεχόντων ὅριον τίθησιν ὁ τῆς ἀληθείας λόγος

1 ἦ. 2 σύνθεμα. 4 ὡς ὡραῖοι — ἀγαθά. Ἡσαΐου 52, 7. 8 εἰς ἣν δ' ἂν πόλιν — τούτῳ. Λουκᾶ 10, 5. 12 ἐν εἰρήνῃ — παντοκράτορος ἐστιν. Μαλαχ. 2, 6, 7. 13 ἀποδικίας. 13 μετ' ἐμοῦ] ἐν τῷ κώδ. «μεθ' ὑμῶν». 20 ἀπαρχῆς. 21 καὶ ᾠκοδόμησε — Κυρίου. Κριτῶν 6, 24. 22 εἰρήνης. 23 ὅρους. Οὕτω καὶ ἀλλαχοῦ.

εἰρήνην. ἵνα μάθῃς ὅτι, ἕως ὅτε βλέπῃς εἰρήνην, Χριστοῦ ἐστιν δεσποτεία. Τὰ ἔξω εἰρήνης Χριστοῦ ἀλλότρια. Πόθεν τοῦτο. Λεγέτω σοι Δαυὶδ καὶ ὑποδεικνυέτω σοι τὰ ὅρια ὁ ἀρχαῖος τῆς εὐσεβείας γεωμέτρης, ὁ λέγων «σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις, καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν». Οὗτος ὑποδεικνὺς ἡμῖν τοὺς ὅρους λέγει· «ἐπαίνει Ἰερουσαλὴμ τὸν Κύριον· αἶνει τὸν Θεόν σου Σιών, ὅτι ἐνίσχυσεν τοὺς μοχλοὺς τῶν πυλῶν σου, ηὐλόγησεν τοὺς υἱούς ἐν σοι, ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην».

6. Εἶδες εἰρήνης ὅρια, ὅρια αἰώνια, ἃ ἔπηξαν προφῆται καὶ ἀπόστολοι· καὶ ἕτερον γὰρ μάνθανε. Ὑπενοήθησάν ποτε οἱ ἀδελφοὶ τοῦ Ἰωσὴφ ὡς κατάσκοποι. Ἐκεῖνοι μηδεμίαν ἔχοντες ἀπολογίαν τῷ τῆς εἰρήνης προσέδραμον ὅπλῳ· «οὐκ ἐσμὲν κατάσκοποι, εἰρηνικοί ἐσμεν». Ὁ μακάριος πάλιν Δαυὶδ ἐπαίρων εἰς ὕψος τὴν δύναμιν τῆς εὐσεβείας, καὶ δεικνὺς τίνα ἐστὶν τὰ νεῦρα καὶ ἡ δύναμις τῆς ἀληθείας, λέγει προσφωνῶν τῇ ἀρχαίᾳ πόλει καὶ τῇ ἁγίᾳ· «γενέσθω δὲ εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθηνία ἐν τοῖς ἀγαπῶσίν σε». Πάλιν ὁ Θεὸς βουλόμενος δεῖξαι ὅτι ἐν πολέμῳ ἀναλίσκεται τὰ πλήθη καὶ σκορπίζονται αἱ τῶν ἀνθρώπων εὐθηνίαι, ἐν δὲ τῇ εἰρήνης λόγῳ συνάγονται, λέγει διὰ τοῦ προφήτου Ἰεζεκιήλ· «ἀναστήτω αὐτοῖς φυτὸν εἰρήνης, καὶ οὐκέτι ἔσονται ὀλίγοι· ὡς περ γὰρ οἱ ἄνθρωποι κατὰ τῶν θηρίων τῶν ἀγρίων ἐξοπλίζονται, καὶ ἐξωπλισμένοι φανέντες εὐθὺς φυγαδεύουσιν τοὺς θῆρας, οὕτως ὅταν φανῇ εἰρήνη σκορπίζεται πολεμος, σκορπίζονται διαβολικαὶ εὔνοιαι, καὶ τῶν δαιμόνων ἡ φάλαγξ διαλύεται· ὅπου γὰρ εἰρήνη, ἐκεῖ φυγαδεύεται κακία, ὥςπερ τῷ ἁγίῳ τὰ θηρία. Διὰ τοῦτο ὁ Θεὸς λέγει «διαθήσομαι τῷ Δαυὶδ διαθήκην εἰρήνης, καὶ ἀφανίσω τὰ θηρία τὰ ἄγρια». Εἰρήνη γεώργιόν ἐστιν ἀληθείας, καὶ ἀμπελὼν δικαιοσύνης, καὶ ποταμὸς εὐσεβείας.

4 σχοινια — κρατιστη μοί ἐστιν. Ψαλμ. 15, 6. 6 ἐπαίνει — ὅρια σου εἰρήνην. Ψαλμ. 147, 1–3. 8 ὅτι θεις. 12 ἐκεῖνοι. 13 οὐκ ἐσμὲν—ἐσμέν. Γενέσ. 42, 31. 17 γενεσθω—ἀγαπῶσίν σε. Ψαλμ. 121, 7. 21 ιεζεκιήλ. 21 ἀναστήτω—ἔσονται. Ἰεζεκιήλ 34, 29. 27 διατοῦτο. 28 διαθήσομαι — ἄγρια. Ἰεζεκιήλ 35, 25.

7. Εἶδες πῶς ἡ εἰρήνη ἐποίησεν τὴν ἐκκλησίαν δίκην ρευμάτων ποταμίων πληρῶσαι πνευματικήν Εἶδες πῶς πανταχόθεν ἐπιρρέοντα τὰ πλήθη μιμεῖται τοῦ ποταμοῦ τὰ ὁρμήματα, εὐφραίνοντα τὴν πόλιν τοῦ Θεοῦ; Καὶ ἡ ἀγαλλίασις ὑμῶν ἐπὶ τῇ εἰρήνῃ γενομένη μιμεῖται τὰ τῆς θαλάσσης κύματα, ἐπάλληλα ὄντα τῷ ὁρόμῳ καὶ ἀλλήλοις ὑποχωροῦντα. καὶ κατ' ἀλλήλων ἀθορύβως ἐρχόμενα. Οὐ στασιάζει φιλονεικία, ἀλλ' ὁμονοία διαθέσεως. Θέλεις ἀπὸ τῆς ὄψεως καὶ ἀπὸ τῶν Γραφῶν τοῦτο μαθεῖν, ὅτι εἰρήνην μιμεῖται ποταμός «ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου καὶ ἡ δικαιοσύνη σου, ὡς κύματα θαλάσσης». Ἀλλ' ὡς προεῖπον προέφθασεν ἡμᾶς ἡ θεία σάλπιγξ, ἡ τὸν τῆς εἰρήνης εὐαγγελιζομένη λόγον. Ἐπώμεθα σήμερον καὶ ἡμεῖς τῷ τῆς εἰρήνης λόγῳ, καὶ ὥσπερ διπλαῖς χερσὶν ἀνοίγωμεν αὐτῇ τὰς θύρας καὶ λέγωμεν· «ἄρατε πύλας· εἰσελθέτω λαὸς φυλάττων δικαιοσύνην καὶ φυλάττων εἰρήνην, ἀντιλαμβανόμενος ἀληθείας ἕως αἰῶνος». Ἀλλὰ γὰρ καὶ γόμος ἐστὶν εἰρήνη, καὶ κύματα θαλάσσης, καὶ ἥλιος ἐκλάμπων. Καὶ τί λέγω ἥλιος; Οὐχ οὕτως ἥλιος ἐκλάμπει ὅσην ἀπαστράπτει λαμπάδα ἡ τοῦ Σωτῆρος εἰρήνη! Ἥλιον γὰρ ὁρῶ καὶ μέτρῳ δουλεύοντα· τέλος ἔχει τοῦ ὁρόμου τὴν ἑσπέραν. Εἰρήνη δὲ Χριστοῦ φωτὸς γέμουσα καὶ ἐν ἡμέρᾳ λάμπει, καὶ ἐν νυκτὶ φωτίζει, καὶ δι' αἰῶνος ἀστράπτει! Ἄκουε! Ὅταν φανῇ εἰρήνη, οὐ μόνη φαίνεται, οὐκ ἀνέχεται μόνη προσελθεῖν, ἀλλὰ συμπαραλαμβάνει μεθ' ἑαυτῆς τὴν ἀδελφὴν αὐτῆς, τὴν δικαιοσύνην. Ἄκουε τοῦ προφήτου, λέγοντος «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης». Καὶ πάλιν, καθ' ἡμᾶς, ἀλλήλας ἀπολαβούσας εἰσάγων λέγει· «ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν»· τί γὰρ ἕτερον οὕτως τοῖς κατὰ Χριστὸν ἄρχουσιν, τοῖς κατὰ Χριστὸν τὴν ἐπισκοπὴν ἀναδεξαμένοις, ὡς εἰρήνη καὶ δικαιοσύνη; Καὶ τοῦτο, ὦ φιλόχριστοι, προφητικῇ σκορπίζεται φωνῇ. Ἄκουε τοῦ Θεοῦ, λέγοντος «δώσω

3 ὁρμήματα. 6 ὑπὸ χωροῦντα. 7 ὁμόνοια. 9 ὡσεὶ ποταμὸς θαλάσσης· Ἡσαΐου 48. 18. 13 ἄρατε—αἰῶνος. Ἡσαΐου 26, 2. 18 δουλεύοντα] ἐν τῷ κώδ. «δουλεύων». 22 οὐκανέχεται. 24 ἀνατελεῖ — εἰρήνης. Ψαλμ. 71, 7. 26 ἔλεος — κατεφίλησαν. Ψαλμ. 84, 11. 30 δώσω δικαιοσύνη. Ἡσαΐου 60, 17.

τοὺς ἄρχοντας σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ».

8. Ἀνέτειλεν τοίνυν εἰρήνη! φευγέτω τὰ αἱρετικὰ θηρία! Ἀνέτειλεν εἰρήνη! ὀραπετευέτω τὰ τῶν αἱρετικῶν ἀνήμερα συστήματα! Ὥσπερ γὰρ τὰ θηρία ἐν τῇ ἡμέρα παρρησίαν οὐκ ἔχοντα νυκτὸς ἀδείας ἐπιλαμβάνεται, οὕτως ἐκεῖνοι, μὴ φέροντες τὴν αὐγὴν τῆς εἰρήνης. Ἐπειδὴ μικρά τις νεφέλη μικροψυχίας παραδραμούσης οὐκ ἐξέκοψε τὴν εἰρήνην ἀλλ' ἔρριψεν, νομίσαντα τὰ θηρία νύκτα εἶναι ἀφεγγῆ προῆλθεν ἐκ τῶν ἰδίων φωλεῶν, τὸν ἴδιον ἰὸν προφέροντα, καὶ ἐπληροῦτο τὸ τοῦ Δαυὶδ «ἔθου σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ ἄγρου· σκύμνοι ωρυόμενοι ἁρπάσαι» ψυχὴν ἀπὸ ὀρθοδοξίας εἰς κακοδοξίαν, ἀπὸ πίστεως εἰς ἀπιστίαν, ἀπὸ ἀληθείας εἰς ψεῦδος. Ἀλλ' ὥσπερ πάλιν — τῷ γὰρ αὐτῷ κέχρηται ὑποδείγματι — τὴν ἐν νυκτὶ παρρησίαν λαμβάνοντα τὰ θηρία μόνον ἐὰν ἴδῃ ἡλίου αὐγὴν ὀραπετεύει καὶ εἰς τοὺς ἰδίους μυχοὺς ὑποστρέφει, οὕτως καὶ νὺν τὴν φωνὴν τοῦ μακαρίου Δαυὶδ «ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται».

9. Εὐχαριστήσωμεν τῷ Χριστῷ, τῷ καταστείλαντι τὸν κονιορτὸν καὶ ἐπιρράναντι ρανίδα εἰρήνης καὶ δικαιοσύνης· ὥσπερ γὰρ κονιορτὸν καταστέλλουσι ρανίδες, οὕτως καὶ μικροψυχίαν καὶ ἀκηδίαν καταστέλλουσι ρανίδες δικαιοσύνης. Ὅθεν καὶ ὁ μακάριος Ἡσαΐας ἐπηύχετο λέγων «εὐφράνθητι ὁ οὐρανὸς ἄνωθεν καὶ αἱ νεφέλαι ρανάτωσαν δικαιοσύνην». Μηδένα τὰ προλαβόντα θορυβείτω· «ἐν ἡμέρᾳ ἀγαθῇ ἀμνησία κακῶν». Μήτις ταραττέσθω, μή τις λεγέτω «ἐχρῆν ἐν ἱερεῦσιν Χριστοῦ εἶναι μικροψυχίαν», μὴ γὰρ ἔξω γεγόναμεν τοῦ εἶναι ἄνθρωποι; οὐ πολλάκις ἀκούοντες ὑποσυρόμεθα; Ἔχεις εἰκόνα δυναμένην σε παραμυθήσασθαι. Οὐ τοὺς ἁγίους ὑβρίζω — μὴ γένοιτο — ἀλλ' ἐξ ἐκείνων τὰ πάθη δεικνύω.

10. ἔθου—ἁρπάσαι. Ψαλμ. 103, 20, 21. 12 ἁρπασαι. 17. ἀνέτειλεν—κοιτασθήσονται. Ψαλμ. 103, 22. 21 ἐπι ράναντι. 22 ακηδίαν. 24 ευφρανθητι δικαιοσύνην. Ἡσαΐου 45, 8. 26 ἐν ημέρα—κακῶν. Σειρὰχ 11, 25. 28 υπὸ συρόμεθα.

10. Ἐγένετο ποτε μεταξὺ Παύλου καὶ Βαρνάβα φιλονεικία, ὅτι οὐν τοῦ μὲν ἑνὸς μέρους δικαιοσύνην τιμῶντος, ἑτέρου δὲ τὴν ἀδικίαν, ἀλλ' ἑκαστου μέρους σκοπῶ εὐσεβείας δουλεύοντος. Ἡ δὲ αἰτία τῆς μικροψυχίας αὐτοῖς ἦν αὕτη. Μάρκος τις ἦν αὐτοῖς συνδραμὼν εἰς τὸν εὐαγγελικὸν λόγον ἀπὸ τῆς Παλαιστίνης μέχρι τῆς Πέργης τῆς Παμφυλίας· εἶτα, τῶν ἀποστόλων εὐτόνῳ κεχρημένων δρόμῳ καὶ ἀκαμπεῖ τῇ ψυχῇ προς τοὺς ἀγῶνας καὶ μάχας καὶ κινδύνους, ἀποταξάμενος τῷ δρόμῳ τῶν ἀποστόλων ἦλθεν εἰς τὴν Παλαιστίνην, οὐ Χριστὸν ἀρνησάμενος, ἀλλα τὸν δρόμον τὸν πολύν, ὡς εἴρηται, παραιτησάμενος. Ἐπανῆλθεν μετὰ ταῦτα Παῦλος καὶ Βαρνάβας, καρποῖς εὐσεβείας κομῶντες καὶ τῷ τῆς εὐσεβείας κόπῳ στεφόμενοι, καὶ εὐαγγελιζόμενοι τὴν ἐν Ἱεροσολύμοις ἐκκλησίαν τῶν ἐθνῶν πάντων τὴν ἐπιστροφήν. Πάντων εὐφημούντων τὸν Παῦλον καὶ τὸν Βαρνάβαν ἐν τοῖς κατορθώμασιν, ὁ Μάρκος ἐσήχθη· ἐπλήγη τὴν ψυχήν. Κατὰ τοῦτον τὸν λόγον ἐνενόησεν πρὸς ἑαυτὸν ἐκτοτε, λέγων ὅτι «εἰ ἤμην κοινωνὸς τῶν πόνων, ἐγινόμην ἄρτι κοινωνὸς τῶν ἐπαίνων»· πολλοὶ γὰρ πολλάκις αὐτὰς τὰς ἀρετὰς διὰ τοὺς πόνους φεύγοντες, διὰ τὴν ἐξ αὐτῶν εὐφημίαν αἱροῦνται πονεῖν. Τί οὖν; μεταμεληθεὶς ὁ Μάρκος ἐβουλεύσατο πάλιν, ἐξιοῦσιν τοῖς ἀποστόλοις, συνδραμεῖν. Ὁ Βαρνάβας μετανοήσαντα εὐθέως ἐδέξατο αὐτόν, καὶ ὁ Παῦλος ἐφιλονείκει καὶ ἔλεγεν «τὸν μὴ συνελθόντα ἡμῖν εἰς τὸ ἔργον τοῦ Κυρίου, οὐ δεῖ δέξασθαι». Ἦν οὐν στάσις οὐκ ἀδικίας, ἀλλὰ δικαιοσύνης καὶ φιλίας. Ὁ Παῦλος ἀπῄτει τὸ δίκαιον, ὁ Βαρνάβας ἐτίμα τὸ φιλάνθρωπον. Στασιάζοντες τοίνυν τῇ γνώμῃ, εἰ καὶ συνεφώνουν τῇ εὐσεβείᾳ, εἰς τοσοῦτον ἦλθον παροξυσμόν, ὡς καὶ χωρισθῆναι ἀπ' ἀλλήλων· οὕτως γὰρ γέγραπται. Ἐχωρίσθησαν ἀπ' ἀλλήλων· διέστησαν οὐ πίστει, οὐ διαθέσει, ἀλλ' ἀνθρωπίνῃ μικροψυχίᾳ· ἐγένετο δὲ οἰκονομία ὡς διέστησαν. Ὁ Βαρνάβας τὸν Μάρκον παραλαβὼν ἐξῆλθεν εἰς τὸν δρόμον, ὁ δὲ Παῦλος τὸν Τιμόθεον παραλαβὼν καὶ αὐτὸς ἐξῆλθεν εἰς τὸν ἴδιον δρόμον. Ὠφέλησεν δὲ τὸν Μάρκον ἡ Παύλου ἀκρίβεια· ὡς γὰρ εἶδεν

14 ἐσήχθη. 18 αἱροῦνται. 22 μὴ συνελθόντα. Πράξ. 15, 38. 27 ἀπαλλήλων.

αὐτὸν οὕτως ἐκβληθέντα διὰ τὴν ραθυμίαν, ἐσπούδασεν τῇ προθυμίᾳ καὶ τῷ δευτέρῳ δρόμῳ καλῦψαι τὴν προτέραν νωχέλειαν. Συνῆν τοίνυν ὁ Μάρκος τῷ Βαρνάβᾳ, σπουδάζων καὶ τρέχων· ὁ δὲ Παῦλος ἐν ταῖς ἐκκλησίαις παρήγγελεν μὴ δεχθῆναι Μάρκον, οὐχ ἵνα λυπήσῃ, ἀλλ' ἵνα σπουδαιότερον ἐργάσηται. Ὡς οὖν εἶδεν ὁ ἅγιος Παῦλος προλαμβάνοντα τῇ σπουδῇ τὸν Μάρκον καὶ ἀπολογισάμενον τῷ Θεῷ διὰ τῶν δευτέρων, ἄρχεται αὐτὸν παρατίθεσθαι. Καὶ τί φησιν ἐνταῦθα; ἓν ῥῆμα· καὶ ἐπιλαμβάνεται τοῦ ἁγίου Βαρνάβα, ὅτι τῷ Μάρκῳ ἐχρήσατο ὡς ἀνεψιῷ, καὶ ἐσπούδασεν χαρίσασθαι ὡς ἀνεψιῷ τὸ ἁμάρτημα. Τί γὰρ λέγει; «ἀσπάζεται ὑμᾶς Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ, δέξασθε αὐτόν».

11. Καὶ νῦν παραμυθείσθω τὰ ἀρχαῖα τὴν νέαν ὑπόθεσιν. Εἰ μεταξὺ Παύλου καὶ Βαρνάβα μικροψυχία, τί θαυμαστὸν εἰ μεταξὺ ἡμῶν; Ἀλλ' ὥςπερ τότε ὁ ἐν μέσῳ Μάρκος καὶ ἐπιστροφῆς ἐπειράθη, καὶ φιλανθρωπίας ἠξιώθη, καὶ νῦν οἱ ἐν μέσῳ δεχθήτωσαν. Ἵλεω τὸν Θεὸν ἐχέτωσαν. Χριστὸς πᾶσιν συγχωρήσει, κἀμὲ μεθ' ὑμῶν ἐλεήσει. Καὶ παρακαλέσωμεν τὸν κοινὸν πατέρα σφραγῖσαι ἡμῖν τὸν τῆς εἰρήνης λόγον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1 αὐτόν] ἐν τῷ κώδ. «αὐτόν». 4 παρήγγελλεν. 10 ασπάζεται—αυτόν. Πρός Κολοσ. 4, 10. 14 αρχαία. 18 ἡμῶν.

III.

PAULINI

vita sancti Ambrosii Mediolanensis episcopi, graece nunc primum edita ex cod. vetustissimo.

Vita sancti Ambrosii Mediolanensis episcopi, a Paulino ejus notario ad beatum Augustinum conscripta.

(Migne, Patrol. Latin. t. 14, c. 27–46).

1. Hortaris, venerabilis pater Augustine, ut sicut beati viri Athanasius episcopus et Hieronymus presbyter stylo prosecuti sunt vitas sanctorum Pauli et Antonii in eremo positorum, sicut etiam Martini venerabilis episcopi Turonensis ecclesiae Severus servus Dei luculento sermone contexuit; sic etiam ego beatissimi Am-

Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων.

(Cod. Sabb. n° 212, fol. 140ᵇ — 173ᵃ).

1. Προτρέπει με, Αὐγουστῖνε ἱερώτατε πάτερ, ἵνα καθὼς οἱ μακάριοι Ἀθανάσιος ὁ ἐπίσκοπος καὶ Ἱερώνυμος ὁ πρεσβύτερος τὸν βίον τῶν ἁγίων Παύλου καὶ Ἀντωνίου τῶν κατὰ τὴν ἔρημον οἰκησάντων γραφῇ διεξῆλθον, ἤγουν ὡς Μαρτίνου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς τῶν Ρωμαίων ἐκκλησίας ὁ τοῦ Θεοῦ θεράπων Σεβῆρος τῷ

ΕΠΙΓΡΑΦΗ. Οὕτως ἔχει ἡ ἐπιγραφὴ ἑλληνιστὶ ἐν τῷ κώδικι· τὸ δὲ ὄνομα τοῦ συγγραφέως Παυλίνου ἁπαντᾷ ἐν τέλει τοῦ βίου.

1 ἀγουστῖνε. 2 ἵνα καθῶς. 8 διεξῆλθον ἤγουν. 11 ὦ.

brosii episcopi Mediolanensis ecclesiae meo prosequar stylo. Sed ego ut meritis tantorum virorum, qui muri ecclesiarum sunt, et eloquentiae fontes; ita etiam sermone me imparem novi. Tamen quia absurdum esse opinor, quod praecipis, declinare, ea quae a probatissimis viris, qui illi ante me astiterunt, et maxime ab sorore ipsius venerabili Marcellina didici, vel quae ipse vidi, cum illi astarem, vel quae ab iis cognovi, qui illum in diversis provinciis post obitum ipsius se vidisse narrarunt, vel quae ad illum scripta sunt, cum adhuc obiisse nesciretur: adjutus orationibus tuis, et meritis tanti viri, licet inculto sermone, breviter strictimque describam; ut lectoris animum etsi sermo offenderit, brevitas tamen ad legendum provocet: nec verborum fucis veritaten obducam, ne dum scriptor elegantiae pompam requirit, lector tantarum virtutum amittat scientiam, quem non magis phaleras, pompasque

πλάτει τὴν πολιτείαν αἰνίττεται, οὕτως καγὼ τοῦ μακαριωτάτου Ἀμβροσίου ἐπισκόπου τῆς κατὰ Μεδιόλανον ἐκκλησίας τὸν βίον οἰκεία διηγήσωμαι συγγραφῇ. Ἐγὼ δὲ ὡς τῶν κατορθωμάτων καὶ τῆς εὐγλωττίας τῶν ἁγίων ἀνδρῶν, οἳ τεῖχος τῆς ἐκκλησίας γεγόνασιν, οὕτω καὶ τῆς ἐν λόγοις ὁμιλίας αὐτῶν ἐμαυτοῦ γνωρίζω τὸ ἄνισον. Ἀλλ' οὖν ἐπείπερ εὐηθὲς τὸ προσταχθὲν ἀποφυγεῖν, ἃ παρὰ δοκιμωτάτων ἀνδρῶν πρὸ ἐμοῦ τῷ ἀνδρὶ παρηκολουθηκότων, καὶ μάλιστα παρὰ τῆς αὐτοῦ ἀδελφῆς Μαρκελλίνης κατέμαθον, ἃ τε αὐτὸς εἶδον αὐτῷ παριστάμενος, ἃ τε παρά τινων ἔγνων, οἳ κατὰ διαφόρους ἐπαρχίας μετὰ τὴν ἀποβίωσιν τεθεᾶσθαι αὐτὸν διηγήσαντο, τὰ περὶ αὐτοῦ γραφέντα, ἔτι τῆς αὐτῆς τελευτῆς λανθανούσης, ταῖς σαῖς εὐχαῖς βοηθούμενος καὶ τῷ τοῦ τηλικούτου ἀνδρὸς ἀξιώματι, εἰ καὶ μὴ λόγῳ κεκαλλωπισμένῳ, διὰ βραχέων καὶ συντόμως γρᾶψαι πειράσομαι. Εἰ γὰρ καὶ τὴν

1 ὧ τῷ πλάτει. 4 καταμεδιόλανον. 9 οἳ. 10 καὶ τοῖς. 11 ἐμ' αὐτοῦ. 14 παραδοκιμωτάτων 15 πρὸ] ἐν τῷ κώδ. «παρ'». 17 μαρκελλήνης. 19 ἰδον. 24 ἔτη τῆς αὐτῆς. 25 λανθανούσης.

verborum, quam virtutem rerum, gratiamque Spiritus sancti spectare conveniat. Siquidem noverimus viatores gratiorem habere aquam brevi vena stillantem, forte cum sitiunt, quam profluentis fontis rivos, quorum copiam sitis tempore reperire non possunt. Et hordeaceus panis dulcis solet esse etiam his qui centenis vicibus ferculorum quotidiani convivii copias ructare consuerunt. Sed et hortorum amœna mirantibus herbae agrestes placere consueverunt.

2. Quamobrem obsecro vos omnes, in quorum manibus liber iste versabitur, ut credatis vera esse, quae scripsimus: nec

49. Eadem vero qua obiit die (sicut textus epistolae loquitur, quae a successore ejus venerabili viro Simpliciano suscepta est de partibus Orientis ad ipsum tamquam adhuc nobiscum viventem directa, quae nunc usque Mediolani habetur [1] in monasterio) quibusdam sanctis viris apparuit, orans cum illis, et imponens illis manus; habet enim diem epistola quae directa est, qua lecta, invenimus illum diem esse, quo ille defunctus est.

50. Intra Tusciam etiam in civitate Florentina, ubi nunc vir sanctus Zenobius episcopus est, [2] quia promiserat petentibus illis eos se saepius visitaturum, frequenter ad altare quod est in basilica Ambrosiana, quae ibidem ab ipso

[1] Ita edit. ac mss. non pauci: caeteri vero, *in monasterio cujusdam sancti viri apparuit.*

[2] Omnes edit., *quia promiserat illos se saepius visitaturum... visus est orare sicut ipso.* etc.

στιανῶν μόνον ἀλλα καὶ Ἰουδαίων καὶ ἑλλήνων εἰς ταὐτὸ συνελθούσης· πλείονι δὲ χάριτι προηγεῖτο τῶν βαπτισθέντων ἡ τάξις.

49. Κατὰ δὲ τὴν ἡμέραν τῆς αὐτοῦ τελευτῆς—τοῦτο γὰρ καὶ τὸ τῆς ἐπιστολῆς ὅφος ὑπαγορεύει, ἣν ὁ σεβασμιώτατος Σιμπλικιανὸς ἐκ τῶν τῆς Ἀνατολῆς μερῶν ὡς πρὸς Ἀμβρόσιον ζῶντα γραφεῖσαν ἐδέξατο, καὶ μέχρι νῦν ἐστι παρ' ἡμῖν—ἔν τινι ἀνδρῶν ἁγίων μοναστηρίῳ εὐχόμενος μετ' ἐκείνων ἐφάνη καὶ αὐτοῖς τὰς χεῖρας ἐπιτιθείς. Ἡμέραν δὲ ἔχει ἡ σταλεῖσα ἐπιστολὴ—καὶ γὰρ ἐξ ὧν ἀνέγνωμεν εὕρομεν — τῆς αὐτοῦ τελευτῆς.

50. Ἔτι δὲ καὶ ἐν τῇ Τουσκίᾳ, ἐν Φλορεντίνῃ τῇ πόλει καθ' ἣν ὁ ἁγιώτατος Ζηνόβιός ἐστιν ἐπίσκοπος, ἐπειδὴ παρακαλοῦσιν αὐτοῖς ἰδεῖν αὐτοὺς πολλάκις ὑπέσχετο, συνεχῶς κατὰ τὴν Ἀμβροσιανὴν βασιλικὴν ἐκκλησίαν, ἣν αὐτὸς ᾠκοδόμησεν, ἐφάνη εὐχόμενος· ὅπερ αὐτοῦ Ζηνοβίου διηγουμένου ἐμάθομεν. Εἰς δὲ τὴν οἰκίαν, ἐν ᾗ ἐκκλίνων

2 συνελθούσης. 17 σταλεῖσα. 18 ἐξῶν. 19 εὕρομεν. 21 τοῦτο γὰ. 24 ἔστιν.

constituta est, visum orare, ipso sancto viro sacerdote Zenobio referente, didicimus. In eadem etiam domo, in qua declinans Eugenium mansit, tempore quo Radagaisus supradictam civitatem obsidebat, cum jam de se penitus desperassent viri civitatis ipsius, per visum cuidam apparuit, et promisit alio die salutem illis adfuturam. Quo referente, civium animi sunt erecti; nam altero die, adveniente Stilicone tunc comite cum exercitu, facta est de hostibus victoria. Haec Pansophia religiosa femina, matre pueri Pansophii referente, cognovimus.

Εὐγένιον ἔμεινεν καθ' ὃν καιρὸν Δραγαδάϊος ἐκελεύσθη τὴν εἰρημένην περικαθίσαι πόλιν, ἤδη παντάπασιν τῶν αὐτῆς τῆς πόλεως ἀπεγνωκότων, ἐφάνη κατ' ὄναρ τινὶ ὑπισχνούμενος αὐτοὺς τῇ ἐπιούσῃ ἡμέρα σωθήσεσθαι. Τοῦτο λεχθὲν τὰς τῶν πολιτῶν ψυχὰς ἀνεκτήσατο, καὶ ἐξῆς μετὰ στρατοῦ Στιλίχων στρατηγὸς παραγενόμενος νικᾷ τὸν πολέμιον. Ταῦτα, Πασσοφίης τῆς πιστοτάτης μητρὸς τοῦ παιδὸς Πασσοφίου λεγούσης, ἐπέγνωμεν.

51. Mascezeli etiam desperanti de salute sua, vel exercitus quem ductabat contra Gildonem, baculum tenens manu in visu noctis apparuit, atque cum provolveretur ad pedes sancti viri Mascezel, percutiens terram senex baculo quo regebatur, tertio (hac enim illi specie apparuerat) ait: Hic, hic, hic, signans locum; deditque intellectum viro,

51. Καὶ τῷ Μασκελίζῃ δὲ περί τε τῆς οἰκείας σωτηρίας καὶ τοῦ στρατοῦ ὃν κατὰ Γιδώνος ἦγεν ἀπειρηκότι, ῥάβδον ἐν χειρὶ κατέχων ὄναρ ἐφάνη νυκτός· ὁ δὲ τῶν ποδῶν τοῦ ἁγίου προσκυλινδούμενος παρεκάλει. Ὁ δὲ γέρων—ἐν τοιαύτῃ γὰρ αὐτῷ ἐφάνη μορφῇ—τρίτον τῇ ῥάβδῳ πατάξας τῇ γῇ ὡσανεί τινα τόπον ἀποσημειούμενός φησιν «ἐνταῦθα, ἐνταῦθα, ἐν-

2 δραγαδάϊος sic. 9 ἐξ' ἧς. 20 τωμασκελίζε sic. 22 καταγήδωνος. 23 ἦγεν ἀπειρηκότος. 24 ὄναρ.

quem visitatione dignum fuerat arbitratus, ut agnosceret se in ipso loco in quo sanctum Domini viderat sacerdotem, die tertia victoriam adeptum: atque ita securus bellum inchoavit et consummavit. Nos tamen[1] ea Mediolani positi ipso Mascezele referente, cognovimus: nam et in hac provincia, in qua nunc positi haec scribimus, plurimis hoc ipsum retulit sacerdotibus, quibus etiam referentibus, securius haec nobis cognita huic libro adjungere arbitrati sumus.

52. Sisinnii etiam et Alexandri martyrum, qui nostris temporibus, hoc est, post obitum sancti Ambrosii in Ananiae partibus,[2] persequentibus gentilibus viris martyrii coronam adepti sunt, cum reliquias Mediolani summa cum devotione susciperemus, adveniente quodam caeco et referente cognovimus, qui eodem die tacto loculo, in quo sanctorum reliquiae portabantur, lumen re-

ταῦτα»· δέδωκέ τε νοεῖν τῷ τῆς ὀπτασίας ἠξιωμένῳ, ὡς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ τὸν ἅγιον ἱερέα τοῦ Κυρίου κατεῖδεν, τῇ ἡμέρᾳ τῇ τρίτῃ τεύξεται τῆς νίκης. Οὕτω τε ἀμερίμνως ἤρξατό τε καὶ τὸν πόλεμον ἐπεράτωσεν. Ἡμεῖς δὲ κατὰ Μεδιόλανον ὄντες, αὐτοῦ Μασκελίζου διηγουμένου, ταῦτα ἠκούσαμεν· καὶ κατὰ τὴν ἐπαρχίαν δὲ ἐν ᾗ διάγομεν νῦν, τοῦτο πολλοῖς τῶν ἱερέων ἐξεῖπεν, ὧν διηγησαμένων ἀμεριμνότερον τὰ προεγνωσμένα τῶνδε συζεῦξαι τῷ βιβλίῳ συνείδομεν.

52. Σισιννίου δὲ καὶ Ἀλεξάνδρου τῶν μαρτύρων, οἱ ἐπὶ τῶν ἡμετέρων καιρῶν μετὰ θάνατον Ἀμβροσίου ἐν τοῖς τῆς Ἀναωνίας μέρεσιν ὑπὸ ἑλλήνων διωχθέντες τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσαντο. ὡς τὰ λείψανα ἐν Μεδιολάνῳ μετὰ πολλῆς τῆς τιμῆς ἐδεξάμεθα, μανθάνομεν παρά τινος διηγουμένου τυφλοῦ, ὃς ἁψάμενος τῆς σοροῦ τῶν ἁγίων λειψάνων ἀνέβλεψεν. ὡς ἑωρακὼς εἴη κατ

[1] Cod. unus, *ea die Mediolani.*

[2] Edit., *persequentibus, gentilibus, martyrii,* quaedam Paris. cum uno mss., *veri martyrii.*

2 οπτασίας ἠξιωμένῳ. 6 οὕτω. 9 μασκελίζου sic. 12 ἐνῇ διάγωμεν. 17 σισινίου. 23 τούτων ὡς. 27 ἁψάμενος. 28 σωροῦ.

cepit, quod per visum noctis vidisset navem appropinquantem littori, in qua erat multitudo albatorum virorum; quibus descendentibus ad terram, cum unum de turba precaretur, ut sciret qui essent ii viri, audierit, Ambrosium ejusque consortes. Quo audito nomine, cum deprecaretur ut lumen reciperet, audivit ab eo: Perge Mediolanum, et occurre fratribus meis, qui illo venturi sunt, designans diem, et recipies lumen. Erat enim vir, ut ipse asserebat, de littore Dalmatino, nec se ante venisse in civitatem asserebat priusquam recto itinere reliquiis sanctorum occurrisset, nondum videns: sed tacto loculo, videre coepisse.

53. Iis itaque decursis, non arbitror grave videri, si paululum promissi nostri metas excesserimus, ut Domini dictum quod per eos sanctorum prophetarum locutus est, completum esse doceamus: *Sedentem adversus fratrem suum*

ὄναρ πλοῖον τῷ αἰγιαλῷ παραβάλλον, ἐν ᾧ πλῆθος λευχειμονούντων ἐτύγχανεν, ὧν ἐπὶ τὴν γῆν κατιόντων, ἕνα τοῦ τῶν λευχειμονούντων πλήθους παρακαλεῖν αὐτὸν περὶ τῆς τοῦ φωτὸς ἀπολήψεως, ἀκοῦσαί τε παρ' αὐτοῦ «ἐπὶ Μεδιόλανον πορεύου καὶ τοῖς ἀδελφοῖς μου ἀπάντησον, οἳ κατὰ τήνδε τὴν ἡμέραν ἐκεῖσε ἥξουσιν»· καὶ ἐσήμανεν τὴν ἡμέραν. Ἦν δὲ ὁ ἀνήρ, ὡς αὐτὸς διηγεῖτο, ἐκ τοῦ αἰγιαλοῦ Δαλματίας, καὶ οὔπω πρότερον ἑαυτὸν ἐν τῇ πόλει διεβεβαιοῦτο γενέσθαι πρὶν ἢ κατ' εὐθεῖαν ὁδόν, καὶ ταῦτα μὴ βλέποντα, τοῖς τῶν ἁγίων λειψάνοις ἀπηντηκέναι· ὧν τῆς σοροῦ προσαψάμενος ἤρξατο βλέπειν.

53. Τούτων οὕτω λεχθέντων, οὐχ ἡγοῦμαι δοκεῖν εἶναι βαρὺ εἰ τῆς ἡμῶν ὑποσχέσεως ὀλίγον ἐκβαίνομεν, ἵνα τὸ τοῦ Κυρίου ῥητόν, ὃ διὰ στόματος τῶν ἁγίων αὐτοῦ προφητῶν ἐλάλησεν, πεπληρῶσθαι διδάξωμεν· «τὸν καθήμενον κατὰ τοῦ ἀδελφοῦ αὐ-

1 πλοῖω τῷ αἰγιαλῷ. 2 και 5 λευχημονούντων. 4 γυναῖκα τινῶν. 7 ακούσατε. 11 ἥξουσιν. 14 οὔπω. 15 δὶ ἐβεβαιοῦτω. 16 πρινὶ κατευθείαν. 19 ἀπαντηκέναι... σωροῦ. 24 οὐκ'. 25 ἐμῆς... ολίγων. 26 ἐκβαίνειν.

et detrahentem occulte, persequebar (*Psalm.* C, 5); et alibi: *Noli diligere detrahere, ne eradicemini* (*Prov. XX*, 13); ut quicumque forte hujusmodi captus est consuetudine, cum legerit qualiter in iis qui sancto viro detrahere ausi sunt, fuerit vindicatum, ipse etiam in aliis emendetur.

54. Igitur Donatus quidam natione Afer, presbyter tamen ecclesiae Mediolanensis, cum in convivio positus, in quo erant [1] nonnulli militares viri religiosi, detraheret memoriae sacerdotis, adspernantibus illis et descrentibus linguam nequam, subito vulnere percussus gravi, de eodem loco in quo jacebat, alienis manibus sublatus, in lectulum positus est, atque inde ad sepulcrum usque perductus. In urbe etiam Carthaginensi, cum apud Fortunatum diaconum fratrem venerabilis viri Aurelii episcopi, ad convivium convenissem una cum Vincentio Colossitano episcopo [2], Murano etiam episco-

[1] Eaedem edit., *nonnulli religiosi eiri:* mss. vero, *nonnulli militares* etc.
[2] Mss. aliquot, *Vincentio Culus-tano:* unus, *Colitano.*

τοῦ καὶ καταλαλοῦντα λάθρα ἐξεδίωκον». Καὶ ετέρωθι· «μὴ θέλε ἀγαπᾶν λοιδορεῖν, ἵνα μὴ ἐκριζωθῇς». Εἴτις οὖν τοιαύτην ἔχει συνήθειαν, ἐπὰν ἀναγνῷ ποία κατὰ τῶν τὸν ἅγιον διασύραι τολμησάντων ἄνδρα προέβη ἐκδίκησις, πάντως αὐτὸς καὶ ἄλλους ἐπανορθώσηται.

54. Δονᾶτος γάρ τις τὸ μὲν γένος Ἄφρος τὴν δὲ ἀξίαν πρεσβύτερος τῆς ἐν Μεδιολάνῳ ἐκκλησίας, ἐν συμποσίῳ γενόμενος, ἐν ᾧ καὶ στρατιωτικοὶ ἄνδρες παρῆσαν πιστοί, διέσυρεν τὴν μνήμην τοῦ ἱερέως. Πάντων καταπτυσάντων αὐτοῦ καὶ τὴν ἄχρηστον αὐτοῦ καταλιπόντων γλῶτταν, οὗτος αἰφνίδιον ἐν ᾧ κατέκειτο τόπῳ τραύματι βαρυτάτῳ πληγεὶς χερσὶν ἑτέρων ἐπὶ τὴν κλίνην αἴρεται, κἀκεῖθεν ἐπὶ τὸ μνημεῖον ἀπήχθη. Καὶ ἐν τῇ πόλει δὲ τῇ Χαρταγένῃ ὡς παρὰ Φορτουνάτῳ ** ἐπισκόπου Αὐρηλίου ἐπὶ εστιάσει παρεγενόμην, ἅμα δὲ καὶ Βικέντιος ὁ

3 λοιδωρεῖν. 4 ἐκριζωθῇς. 5 ἐπ' ἀν. 6 διὰ σύραι. 11 δωνατος. 12 ἄφρος. 16 παρεῖσαν. 19 ἄχριστον. 20 γλῶτταν οὕτως ἐφνιδιον ενῶ. 22 εταίρων. 23 αἴρεται. 26 φορτουνάτου ἐπισκόπου. 27 αὐριλλίου ἐπι ἑστηάσει.

po Bolitano, sed et aliis episcopis et diaconibus; tunc Murano episcopo detrahenti sancto viro retuli exitum presbyteri superius memorati: quod ille de alio dictum, de se oraculum maturo sui exitu comprobavit. Nam de eodem loco in quo jacebat, cum subito vulnere ingenti esset percussus, alienis manibus ad lectum usque portatus est, atque inde ad domum in iqua hospitabatur deductus, diem clausit extremum. Is finis virorum illi detrahentium fuit, quem videntes qui tunc aderant, admirati sunt.

55. Unde hortor et obsecro omnem hominem, qui hunc librum legerit, ut imitetur vitam sancti viri, laudet Dei gratiam, et declinet detrahentium linguas; si vult magis consortium habere cum Ambrosio in resurrectione vitae, quam cum detrahentibus illis subire supplicium, quod nullus sapiens non declinat.

τῆς Κουλουσιτῶν ἐπίσκοπος καὶ Μουρανὸς ὁ τῆς Βολιτανῶν καὶ ἄλλοι τινὲς σὺν διακόνοις ἐπίσκοποι, ἀνήγαγον Μουρανῷ λοιδοροῦντι τὸν ἄνδρα τὴν τοῦ προειρημένου πρεσβυτέρου ἡμῖν τελευτήν· ὁ δὲ τὸ περὶ ἄλλου λεχθὲν λόγιον ταχέως τῇ οἰκείᾳ ἐπεβεβαίωσε τελευτῇ. Καὶ ἐν ᾧ κατεκλίνετο τόπῳ μεγάλῳ πληγεὶς τραύματι ἀλλοτρίαις χερσὶ μέχρι τῆς εὐνῆς ἐκομίσθη, κἀκεῖθεν εἰς ὃν ἐπεξενοῦτο οἶκον ἀπενεχθεὶς τὸν βίον ἀπέλιπεν. Τοῦτο τὸ πέρας τῶν λοιδορούντων ἐγένετο, ὅπερ ἑωρακότες οἱ τότε τὸ περὶ Δονάτου τέλος ἀκούσαντες ἐξεπλάγησαν.

55. Ὅθεν αἱρῶ καὶ προτρέπομαι τὸν τοῦτο τὸ βιβλίον ἀναγνωσόμενον, ἵνα τὸν τοῦ ἀνδρὸς μιμήσηται βίον καὶ τὴν τοῦ Θεοῦ χάριν ὑμνήσῃ καὶ φύγῃ τῶν διαβαλλόντων τὴν γλῶτταν, εἰ βούλεται κοινωνίαν ἔχειν μετὰ Ἀμβροσίου εἰς τὴν τῆς ζωῆς ἀνάστασιν καὶ μὴ μετὰ τῶν λοιδόρων ὑποσχεῖν τιμωρίαν, ὅπερ οὐδεὶς εὐ φρονῶν παραιτήσεται.

5 λοιδωροῦντι. 9 τελευτήν. 14 ἀπέλειπεν. 15 λοιδωρούντων. 17 περιδονάτου sic. 21 ἀναγνωσσόμενον. 24 γλῶτταν. 27 μὴν. 28 λοιδώρων.

56. Tuam etiam precor beatitudinem, pater Augustine, ut pro me humillimo peccatore Paulino cum omnibus sanctis qui tecum invocant nomen domini nostri Jesu Christi in veritate, orare digneris; ut quia in adipiscenda gratia cum tanto viro non sum dignus habere consortium, adeptus meorum veniam peccatorum, sit mihi praemium fugisse supplicium.

56. Τῆς δὲ σῆς μακαριότητος, πάτερ Αὐγουστῖνε, δέομαι, ἵνα ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ Παυλίνου μετὰ τῶν ἁγίων πάντων μεθ' ὧν ἐπικαλῇ τὸ ὄνομα Ἰησοῦ Χριστοῦ ἐν ἀληθείᾳ καταξιοῖς εὔχεσθαι· καὶ ἐπειδὴ ἐν τῷ χάριν κομίζεσθαι οὐκ ἄξιός εἰμι μετὰ τηλικούτου ἀνδρὸς ἔχειν κοινωνίαν, τῶν ἐπταισμένων συγγνώμην λαβὼν γέρας ἡγήσομαι τὸ τὴν τιμωρίαν ἀποφυγεῖν.

IV.

ΜΑΡΚΟΥ ΕΡΗΜΙΤΟΥ

πρὸς τοὺς λέγοντας μὴ ἡνῶσθαι τὴν ἁγίαν σάρκα τοῦ Κυρίου μετὰ τοῦ Λόγου, ἀλλ' ὡς ἱμάτιον μονομερῶς περικεῖσθαι, καὶ διὰ τοῦτο ἄλλως μὲν ἔχειν περὶ τὸν φοροῦντα, ἄλλως δὲ περὶ τὸν φορούμενον, ἤγουν τὰ Νεστορίου φρονοῦντας.

(Cod. Sabb. 366, fol. 188^{α}—195^{β}).

1. Ἐπειδὴ πολλάκις ἡμῖν παρεζητήσατε τὰς περὶ πίστεως πρὸς τοὺς ἐναντίους ἀποκρίσεις, ὡς καὶ τὰς ἐκείνων ἀντιθέσεις, εὐθὺ καὶ τὰς διχονοίας τῶν ἀμφιρρεπῶν ἀνθρώπων παρεξετάσαντες, τούτου χάριν ἠναγκάσθημεν εἰπεῖν κατὰ δύναμιν, προφήσαντες τὸ τῆς διχονοίας τῶν πολλῶν αἴτιον. Ἐπειδὴ ἡ μὲν ἀλήθεια ἐκ τῶν κατ' αὐτὴν ἔργων τοῖς οἰκείοις ἐρασταῖς ἀποκαλύπτεται, ἡ δὲ πλάνη ἐκ τῶν ἐφαμίλλων αὐτῇ πράξεων τοῖς ἀγχιστεύουσιν ἐμφανίζεται—ἀληθείας δὲ ἔργον πόνου καὶ ἀτιμίας ὑπομονή, πλάνης δὲ ἐπαίνου καὶ ἡδονῆς κατοχή—τούτου χάριν ἡ μὲν προτέρα δυσπαράδεκτος διὰ τὸν πόνον, ἡ δὲ δευτέρα εὐεπιτήδευτος διὰ τὴν ἡδονὴν τῷ πλήθει γέγονεν. Καὶ οἱ μὲν φιλόπονοι τὸν δι' ἡμᾶς σταυρωθέντα καὶ αἰσχύνης καταφρονήσαντα ὁμολογοῦσιν διδάσκαλον καὶ δεσπότην καὶ κύριον, υἱὸν Θεοῦ, οἱ δὲ φιλήδονοι μᾶλλον δὲ κενόδοξοι τοῦτον ὁμολογεῖν ἐπαισχύνονται.

ΕΠΙΓΡΑΦΗ. Ἐν τῷ κώδικι ἄρχεται ὧδε· «τοῦ αὐτοῦ Μάρκου πρὸς τοὺς λέγοντας» κτλ.

1 παρεζητίσατε. 3 ἀμφιρέπων. 4 ἠναγκάστημεν. 6 οἰκίοις. 7 ἐφαμήλλων. 8 ὑπομονῆ. 9 ἐπένου καὶ ἡδονῆς. 10 εὐεπιτίδευτος. 14 ὁμολογεῖν.

2. Τούτων δὲ τῶν δύο μερῶν οὕτως μαχομένων, τινὲς ἀμφιρρεπεῖς ἄνθρωποι, ὁρῶντες τὴν προειρημένην ἐναντιότητα καὶ μὴ εἰδότες διακρινειν τὸ κρεισσον ἀπὸ τοῦ χείρονος, τὴν ἀληθῆ πίστιν ἄδηλον εἶναι ἐνόμισαν. Οὗτος δὴ οὖν ὁ τρόπος τῆς τούτων διχονοίας. Περὶ δὲ τῆς τῶν ἐναντίων παραλλαγῆς ὅτι πλανῶνται, πᾶσα μὲν πείθει τοὺς φιλοπόνους ἡ θεία Γραφή, ἀναγκαίως δὲ τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ μακάριος Παῦλος, ὃς καὶ ἀγνοοῦντας ἡμᾶς διεγείρει πρὸς τὴν ἀλήθειαν καὶ «τοὺς ἐχθροὺς τοῦ σταυροῦ» πολεμεῖν ἀναγκάζει, οὐ μόνον Ἰουδαίους ἀλλα καὶ τοὺς ἑφαμίλλους αὐτοῖς αἱρετικούς· καθάπερ γὰρ ἐκείνους, ὁμοίως καὶ τούτους ἐχθροὺς (δεῖ) ὀνομάσαι, εἴπερ ὁ ὢν ἐχθρὸς ἐκεῖνος καὶ ὀνομάζεται. Εἰ μὲν γὰρ φιλὸν ἄνθρωπον οὐ λέγουσιν τὸν ἐσταυρωμένον Χριστὸν καὶ τῆς Ἰουδαικῆς ἔχθρας οὐ μετέχουσιν, πῶς τὸν χρηματισμὸν ἀποδράσονται; ἐπὶ πᾶσιν γὰρ ἡ τῶν πραγμάτων ἀγχιστεία ἀπαραίτητον ἔχει τῶν ὀνομάτων τὴν οἰκειότητα. Πῶς γὰρ οὐκ ἐχθροὶ οἱ διαιροῦντες εἰς δύο τὸν «τῆς δόξης Κύριον», λέγω δὴ τὸν σταυρωθέντα Χριστόν;

3. Πάντως δὲ ἐπιδραμόντες τῷ ῥήματι, τί ἐροῦσιν ἡμῖν; «Οὐκοῦν ὁ τῆς δόξης Κύριος ἐσταυρώθη»; Ἐγὼ δὲ ὁμολογήσω τὴν ἐμαυτοῦ σωτηρίαν καὶ οὐκ ἀρνήσομαι τὴν ἀλήθειαν, ἀλλ' ἐρῶ· Ναι ἐσταυρώθη ὁ τῆς δόξης Κύριος. Παῦλον ἔχω συνήγορον καὶ μάρτυρα τῶν ἀπορρήτων· λέγει γὰρ «λαλοῦμεν σοφίαν ἐν μυστηρίοις, τὴν ἀποκεκρυμμένην ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν». Ἐπερωτῆσαι οὖν βούλομαι τοὺς θεομεριστὰς τίς ἐστιν ὁ καὶ ἐσταυρωμένος καὶ τῆς δόξης Κύριος· θαυμάζω γὰρ εἰ καὶ ἐν τούτῳ τῷ λόγῳ παρεισενέγκουσι τὸν μερισμόν. Ἐὰν δὴ οὖν φεύγοντες τὴν ἑνωσιν εἴπωσιν ὅτι ψιλὸς ἄνθρωπός ἐστιν,

2 ἀμφιρεπεῖς. 3 κρίσον. 4 ἐνόμησαν· οὕτως δεῖ. 6 πείθη. 7 ἀγνοοῦντας ἡ. διεγίρη. 8 ἀλήθειαν. Πρβλ. πρὸς Ἐφες. 4, 25. «τοὺς ἐχθροὺς» κτλ., πρὸς Φιλιπ. 3, 18. 9 τοῖς ἑφαμίλλοις αὐτοῖς ἑραιτικοῖς. 11 εἰπερῶν. 13 ἔκθρας. 14 ἀποδράσωσιν.... ἀγχιστία ἀπαρέτητον. 15 οἰκιότητα. 16 διεροῦντες. 18 οὐκ οὖν. 19 ὁμολογήσω-σωτηρίαν. Πρβλ. πρὸς Ρωμ. 10, 9 κε. 20 ἀρνήσωμαι τὴν ἀλήθαν. 21 συνήγωρον. 22 «λαλοῦμεν—ἐσταύρωσαν». Πρβλ. πρὸς Κορινθ. α' 2, 7—8. 25 θεομεριστὰς. 27 περισενέγκουσι. 28 δει.

ἐροῦμεν καὶ πῶς ἐνδέχεται ψιλὸν ἄνθρωπον εἶναι δόξης Κύριον; Ἐὰν δὲ λέγωσιν ὅτι γυμνός ἐστιν ὁ Θεὸς Λόγος, καὶ πῶς γυμνὸς ὁ Λόγος ἐσταυρώθη; «Ἀλλά, φασίν, ὁ Λόγος ἐστὶν δόξης Κύριος, ὁ δὲ ἄνθρωπος ἐσταυρώθη». Ἀλλ' ὁ ἅγιος Παῦλος οὐκ εἶπεν δύο, οὐδὲ μερισμὸν εἰσήγαγεν, ἀλλ' ἕνα εἴρηκεν δόξης Κύριον, καὶ τοῦτον ἐσταυρωμένον· «εἰ γάρ, φησίν, ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν». Καὶ σὺ οὖν, αἱρετικέ, ἕνα σύστησον κατὰ Παῦλον.

4. Ἐὰν δὲ ὑπὸ τῆς ἀληθείας σφιγγόμενοι ὁμολογήσωσιν εἶναι σαρκωθέντα τὸν Λόγον, ὃς ἐστιν Χριστὸς Ἰησοῦς, τότε ἐροῦμεν αὐτοὺς ὅτι «τοῦτο καλῶς εἰρήκατε». Ὥσπερ οὖν ὁ ἀπόστολος οὐκ ἐμέρισεν τὸν Λόγον ἀπὸ τῆς σαρκὸς ἐν κυριότητι τῆς δόξης, οὐδ' αὖ πάλιν τὴν σάρκα ἀπὸ τοῦ Λόγου ἐν τῇ σταυρώσει, ἀλλὰ καὶ ἐπὶ τῆς δόξης καὶ ἐπὶ τοῦ σταυροῦ ἕνα ὡμολόγησεν ἀδιαιρέτως, οὕτως καὶ ἡμεῖς πιστεύειν ὀφείλομεν καὶ μήτε ἐννοίᾳ μήτε ῥήμασιν ἐπὶ τοῦ υἱοῦ τοῦ Θεοῦ μερισμὸν περιεργάζεσθαι· πᾶσα γὰρ ἡ θεία Γραφή, παλαιά τε καὶ καινὴ διαθήκη, τὸν Θεὸν Λόγον μετὰ τῆς ἰδίας σαρκὸς ἕνα Χριστὸν καὶ υἱὸν Θεοῦ τὸν αὐτὸν ὁμολογεῖ ἐπὶ παντὶ πράγματι. Οἵ τε γὰρ ἄγγελοι, οἵ τε προφῆται, οἵ τε ἀπόστολοι, οἵ τε μάρτυρες τὰ περὶ Χριστοῦ λέγοντες καὶ διδάσκοντες εἴτε ἐν ἀποκαλύψει εἴτε ἐν δόξῃ αὐτοῦ, ἢ ἐν σημείοις καὶ τέρασιν, ἢ νουθεσίαις καὶ ἰάμασιν, ἢ πάθεσιν καὶ αἰκίαις καὶ θανάτῳ καὶ ἁπαξαπλῶς οὐ μόνον ἐν πάσῃ τῇ δι' ἡμᾶς γεγενημένῃ οἰκονομίᾳ, ἀλλὰ καὶ περὶ τῆς μελλούσης αὐτοῦ παρουσίας καὶ ἀχράντου βασιλείας λέγοντες ἐπὶ ἑνὶ καὶ ἀδιαιρέτῳ υἱῷ Θεοῦ τὰς ὁμολογίας πεποίηνται.

5. Ἰδοὺ τί φησιν Ἡσαΐας· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται»; Εἶπε οὖν μοι, ὦ

7 σύστισον. 9 ὁμολογίσουσιν. 12 ἐμέρησεν. 13 σταυρῶσι. 14 τῇ δόξῃ... ὁμολόγισεν ἀδιερέτως. 15 ὀφιλομεν... ἔννοια. 19 εἴτε. Οὕτω και κατωτέρω. 21 ἐνδοξει. 22 σημήοις... ἐκίαις. 25 ἑνὴ καὶ ἀδιερέτω. 26 πεποίεινται. 27 Ἡσαΐου 57, 7–8. 28 κήραντος. 29 ἀνύγει... κρήσις.

αἱρετικέ, τίς ἐστιν ὁ «ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθεὶς» καὶ ἔχων τὴν γενεὰν αὐτοῦ ἀδιήγητον; Μὴ εἴπῃς δύο· ὁ γὰρ προφήτης ἕνα καὶ τὸν αὐτὸν εἴρηκεν ἐπ' ἀμφοτέροις τοῖς πράγμασιν. Ἐάν μοι λέγῃς ὅτι «ἔστιν ἄνθρωπος ψιλός», καὶ πῶς ἡ γενεὰ αὐτοῦ ἀδιήγητος, καί τοι ὁ Χριστὸς γενεαλογεῖται τὸ κατὰ σάρκα· Ἐὰν δὲ εἴπῃς «ὁ Θεὸς Λόγος ἐστίν», καὶ πῶς γυμνὸς Θεὸς ἐπὶ σφαγὴν ἄγεται; Λείπεται τοίνυν ἐπ' ἀμφοτέροις τὸ ἀληθὲς εἰπεῖν, ὅτι ὁ Χριστός ἐστιν ὁ ἀδιαίρετος κατὰ τὸν προφήτην. Ἄκουσον καὶ Ἱερεμίου τοῦ προφήτου. «Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Εἰ πάλιν θέλεις μερίζειν, τὰ αὐτά σοι λέγω. Τίς ἐστιν ὁ ὀφθεὶς καὶ συναναστραφεὶς τοῖς ἀνθρώποις; Ἐάν μοι λέγῃς ὅτι «ἄνθρωπος ψιλός», ἀκούσει «καὶ πῶς Θεὸς οὗτος καὶ οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν»; Ἐὰν δὲ εἴπῃς «γυμνός ἐστιν ὁ Λόγος», καὶ «πῶς ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη»; Λείπεται καὶ ὧδε Χριστὸν ἐπ' ἀμφοτέροις ὁμολογῆσαι ἀδιαιρέτως. Τί δὲ καὶ Δανιὴλ καὶ Ἰεζεκιὴλ καὶ οἱ δώδεκα, ὧν ἀνὰ μέρος τὰς τοιαύτας μαρτυρίας ἐπεισάγειν τῇ ὑποθέσει δυσέφικτον ἢ τάχα καὶ ἀνωφελές; Εἰ γὰρ ὁ ὄχλος τῶν νοημάτων ἐπισκιάσει τὸ ζητούμενον, ἐξένευσεν Ἰησοῦς, ὄχλου ὄντος ἐν τῷ τόπῳ, ἢ τοῖς ἀπιστοῦσιν τῇ τῶν ἐλέγχων περιουσίᾳ γινόμεθα βαρυτέρας αἴτιοι κατακρίσεως. Κατὰ τὸ εἰρημένον «εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ τῆς ἁμαρτίας αὐτῶν».

6. Τοῦτο δὲ μόνον ἡμῖν σκοπὸς ἐπὶ τοῦ παρόντος δεῖξαι, ὅτι τῶν ἁγίων καὶ πνευματοφόρων ἀνδρῶν οὐδεὶς ἐτόλμησεν ἐπὶ γράμματι χωρίσαι τὸν κατ' εὐδοκίαν τοῦ Πατρὸς θεοπρεπῶς ἡνωμένον. Εἰσὶν μὲν οὖν τινες τῶν αἱρετικῶν, οἱ μετὰ τοὺς ἐλέγχους ἐπιγι-

4 μοι λέγει. 5 γενεαλογῆται. 6 εἴπεις. 7 λείπεται. 8 ἀδιάρετος. 13 μερίζειν. 14 ὠφθεις. 15 μη λέγεις. 19 ἀδιερέτως. 20 ἀναμέρως. 21 δυσέφηκτον... ἡ γὰρ. 23 τι τῶ ελέγχων. 24 «εἰμὴ—αὐτῶν». Ἰωάν.15, 22. 29 χωρῆσαι τῶν. 30 ἑραιτικῶν.

νώσκοντες τὴν ἀλήθειαν κατὰ συνείδησιν, ὅμως οὔτε ὁμολογοῦσιν οὔτε παύονται τῆς φιλονεικίας· σκοπὸς γὰρ αὐτοῖς οὐχὶ πίστεως ὀρθῆς ἀλλὰ κενοδοξίας νικητικῶς. Πόθεν δὲ τοῦτο δῆλον; ἐκ τοῦ καὶ τὸν οἶκον αὐτοὺς ἠμελημένον ἔχειν καὶ ζητεῖν κενοδόξως παρὰ τὸ θέλημα τοῦ Χριστοῦ. Εἰ γὰρ ὀρθῶς αὐτὸν ἐζήτουν, καὶ πρὸς τὰς ἐντολὰς ἂν αὐτοῦ κατὰ δύναμιν κατωρθοῦντο. Ἡμῖν δὲ μὴ κενοδοξῆσαι ἀλλ' ὠφελῆσαι αὐτοὺς ἐν Κυρίῳ προκείσθω. Διὸ θαρροῦντες τῇ ἐν Χριστῷ ἀληθείᾳ ὠφθημεν δεῖν οὐχ ὅσα νῦν λέγουσιν μόνον, ἀλλ' ὅσα εἰκὸς καὶ ὕστερον αὐτοὺς ἐπεξευρεῖν δηλητηριώδη νοήματα προεκφωνῆσαι καὶ τὰς ἐπιλύσεις αὐτῶν διαλαλῆσαι· οὕτω γὰρ ἂν ἑκάστῳ αὐτῶν τὸ ὠφέλιμον ὑπάρξῃ. Οἱ μὲν γὰρ δὴ φρόνιμοι αὐτῶν ὅταν ἴδωσιν πάσας τὰς ῥαδιουργίας τῶν κατ' αὐτοὺς νοημάτων παρ' ἡμῶν προρρηθείσας καὶ ὀρθῶς ἐπιλυθείσας, εἰ μὲν φιλαλήθεις εἶεν πάντως ἐπὶ τὴν ἀλήθειαν τραπήσονται, εἰ δὲ διὰ τὴν χρόνιον πρόληψιν μὴ μετανοήσουσιν, ἀλλ' οὖν γε τὸ διδάσκειν ἀδεῶς αἰσχυνθήσονται· οἱ δὲ ἀγνοίας αἰτίᾳ ὑπ' ἐκείνων συναρπαγέντες, νυνὶ δὲ γνόντες τὴν ἀλήθειαν, πάντως οὐκ ἀνέξονται τοῦ λοιποῦ ἐμμένειν τῇ πλάνῃ. Εἰ δὲ καί τις αὐτῶν τοσοῦτον εἴη μανιώδης, ὥστε αὐτὸν τὰς μὲν ἐπιλύσεις τὰς παρ' ἡμῶν ἀποκρύψαι, γυμνὰ δὲ τὰ ῥήματα εἰς ἀπάτην τῶν νηπιωτέρων προβάλεσθαι, καὶ ταῦτα οὐκ ἀπὸ κεφαλαίων ἀλλ' ἐκ περικοπῆς τῶν Γραφῶν λαμβάνοντες, οὐχ ἡμεῖς αἴτιοι οἱ καὶ τὰ κεφάλαια καὶ τὰς ἐπιλύσεις αὐτῶν φανερώσαντες, ἀλλὰ πάντως οἱ λογοκλέπται ἐκεῖνοι, οἳ καὶ περὶ ταύτης τῆς κακουργίας λόγον ἀποδώσουσιν· «ἀνὴρ γὰρ ἡδίκουν νηπίους, φονευθήσονται» φησιν ἡ θεία Γραφή. Καὶ οὕτως δὲ οὐδὲν βλάψουσι τοὺς βεβαιοπίστους· «κἂν θανάσιμόν τι ποιῶσιν, οὐδὲν αὐτοὺς βλάψει».

7. Ποῖα οὖν ἐστιν ἁρμόζοντα τοῖς κακοπίστοις νοήματα, ἃ πρὸς ἡμᾶς λέγειν οὐδέπω ἐξηυρήκασιν; Πρῶτον τοῦτο. «Κἂν, φασίν,

1 συνήδησιν. 2 φιλονεικίας. 5 ἐζήτουν ἄν. 6 ἐντολὰς αὐτοῦ. 7 κενοδοξῆσαι... προκείσθω. 10 δηλητηριώδη. 11 ὠφέλιμον ὑπάρξει. 12 φρόνιμοι. 13 προρρηθείσας καὶ ὀρθῶς ἐπιλυθείσας. 14 τραπήσονται. 17 γνόντες. 19 μανιώδης. 20 νηπιωτέρων. 21 ἀποκεφαλαιῶν. 22 οὐκ ἡμεῖς. 23 ἀλλ' ἐκ. 24 λογοκλέπται. 25 Παροιμ. 1, 32. 27 «κἂν... βλάψει». Μάρκ. 16, 8. 27 ποιῶσιν. 29 φησιν.

κἂν ἕνα καὶ τὸν αὐτὸν εἶπεν ὁ ἀπόστολος καὶ ἐσταυρωμένον καὶ δόξης Κύριον, κατὰ τοῦτο εἶπεν, ὅτι ὁ σταυρωθεὶς ἄνθρωπος μετὰ τὴν ἔγερσιν τῆς δόξης ἠξίωται», ὑφαιροῦντες πρὸ τοῦ σταυροῦ τὴν ἀδιαίρετον ἕνωσιν. Ἀλλὰ ὁμῶς τυφώσεώς ἐστιν καὶ οὐκ ἀληθείας τὸ μὴ νοεῖν ὅτι πρὸ τοῦ σταυροῦ αὐτὸν ὁ ἅγιος Παῦλος εἶπεν δόξης Κύριον· «εἰ γάρ, φησίν, ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν». Καὶ οὐκ εἶπεν αὐτὸν μέτοχον ἀλλὰ δόξης Κύριον· ὁ δὲ Κύριος πάσης δόξης ἐξουσιάζει, ὡς δύνασθαι αὐτὸν καὶ ἀνθρώποις δωρεῖσθαι οἷς ἂν βούληται· «ἡμεῖς γάρ, φησίν, πάντες τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν» καὶ «εἴδομεν τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός». Πολλοστὸν δή οὖν ἀκούσας τὰ αὐτὰ παρὰ τῆς Γραφῆς, ὦ ἄνθρωπε, νόησον ὅτι εἷς καὶ ὁ αὐτός ἐστιν ζωῆς καὶ θανάτου κύριος Ἰησοῦς Χριστὸς ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ δυνάμει καὶ πράγματι· τὸ γὰρ εἰπεῖν «δόξης Κύριον», ζωῆς λέγω τῆς αἰωνίου, καὶ τὸ εἰπεῖν «ἐσταύρωσαν», φανεροποιεῖ τὸν ὑπὲρ ἡμῶν θάνατον. Εἰ οὖν ζωὴ καὶ θάνατος μερίσαι τὸν Χριστὸν παρὰ τῷ Παύλῳ οὐκ ἠδυνήθησαν, τὰ πάσης φύσεως ἀκροθίνια, τοῦτον οὔτε πᾶσα ἀρχὴ καὶ ἐξουσία, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα μερίσαι δύναται.

8. Τί οὖν προσκόπτεις «τῷ λίθῳ τοῦ προσκόμματος» καὶ ψιλὴν σάρκα λέγεις τὸ κυριακὸν σῶμα; Εἰ ψιλή ἐστιν σάρξ, πῶς ἐστιν «τοῦ κόσμου ζωὴ» καὶ «ἄρτος ἐξ οὐρανοῦ καταβάς»; Εἰ δὲ τὸν Θεὸν Λόγον εἶναι πάλιν μόνον νομίζεις, μάθε τί λέγει ὁ Κύριος· «ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς». Ὁ κόσμος δὲ διὰ τὴν τοῦ Ἀδὰμ παράβασιν ἀπέθανεν. Εἰ οὖν ἡ σὰρξ τοῦ Κυρίου ψιλὴ ἦν, ἀνθρωπίνη, μὴ μετέχουσα καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου, δηλονότι ἐκ μόνου τοῦ Ἀδὰμ καὶ ὑπὸ τὴν ἁμαρτίαν ἐτύγχανεν, πῶς οὖν ἐδίδοτο ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, καὶ αὐτὴ δεομένη κατὰ σὲ τῆς αὐτοῦ λυ-

3 ὑφαιροῦντες. 4 ἀδιάρετον... τυφώσεως. 9 δωρῆσθαι. 10 Ἰωάν. I. 14, 16. 16 φανεροποιεῖ. 16—20 Πρὸς Ρωμ. 8. 38. 39. 17 μερῆσαι. 18 ἀκροθίνια. 19 μερῆσαι. 21 Πρὸς Ῥωμ. 9. 32. 23 Ἰωάν. 6. 33, 51. 25 Ἰωάν. 6. 51. 26 Πρβλ. πρὸς Ρωμ. 5. 12—15.

τρώσεως; Ὁ Λόγος γυμνὸς οὐκ ἔπαθεν. Εἰ ἡ σὰρξ ψιλὴ ἦν (κατὰ σὲ λέγω), προσδεομένη καθαρισμοῦ, πόθεν οὖν λοιπὸν ἡμῖν ἡ σωτηρία; Εἰ γὰρ ἦν μονομερὴς καὶ ψιλὸς ἄνθρωπος ὁ παθών, μόλις ὑπὲρ ἑαυτοῦ ἔπαθεν. Διὰ τοῦτο οἱ οὕτω πιστεύοντες ἔτι εἰσὶν ἐν ταῖς ἁμαρτίαις αὐτῶν· ἔτι γὰρ ἑαυτοῖς ζῶσιν καὶ οὐχὶ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. Εἰ δὲ ὅλως πιστεύουσιν ὅτι Χριστὸς οὐχ ὑπὲρ ἑαυτοῦ ἀλλ' ὑπὲρ ἡμῶν ἀπέθανεν, κατὰ τὰς Γραφὰς οὐκ ὀφείλουσιν τὸν παθόντα ψιλὸν ἄνθρωπον λέγειν, οὐδὲ περιεργάζεσθαι τὸ πῶς ἥνωται, ἀλλὰ πιστεύειν καὶ ἐργάζεσθαι τὰς ἐντολὰς αὐτοῦ, κατὰ τὸν ἅγιον Παῦλον· «ἀκούομεν γάρ, φησίν, ἐν ὑμῖν ἀτάκτως περιπατοῦντας, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους· τοῖς δὲ τοιούτοις παραγγέλλομεν, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν». Ἔργον δὲ δῆλον ὅτι τὸ τῶν ἐντολῶν λέγει, ὅπερ ἀληθῶς καὶ ὀφειλόμενόν ἐστιν, ἄρτον δὲ τὴν σάρκα τοῦ Κυρίου, καθὼς προείρηται.

9. Ἀλλὰ τί φασιν; «Πιστεῦσαι δεῖ καὶ τότε ἐργάσασθαι». Ὦ τοῦ ἐμφυλίου πολέμου! Ἀρνοῦνται λοιπὸν καὶ τὴν πίστιν καὶ τὸ βάπτισμα. Εἰ μὲν γὰρ ἀμύητοι τῶν τῆς ἐκκλησίας μυστηρίων ἐτύγχανον, δεόντως ἂν καὶ ταῦτα ἔλεγον καὶ περιειργάζοντο· εἰ δὲ τὴν σφραγῖδα ὡς πιστοὶ ἐδέξαντο καὶ οὐκ ἄνθρωπον ψιλὸν οὔτε γυμνὸν Θεὸν ἀλλὰ σαρκωθέντα τὸν Λόγον ὁμολογήσαντες, καθὼς προειρήκαμεν, τὸ ἐργάζεσθαι λοιπὸν χρεωστοῦντες τὴν περιεργίαν ἠρήσαντο. Ταῦτα δὲ ἐλέγομεν οὐχ ὡς ἁμάρτυρον καὶ ἀνεπίγνωστον τὴν ὀρθόδοξον πίστιν εἶναι εἰσάγοντες — πλήρεις γὰρ αἱ θεῖαι Γραφαὶ τῶν περὶ αὐτῆς συ[λλ]ύσεων — ἀλλ' ὅτι ψυχῇ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα Θεὸν Λόγον ἐπὶ τοῦ βαπτίσματος ὁμολογήσαντες καὶ σαρκὶ σταυρωθέντα, θανόντα, ταφέντα δι' ἡμᾶς καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐκ νεκρῶν ἀναστάντα καὶ εἰς οὐρανοὺς ἀνελθόντα καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς, ἄρτι χωρίζουσιν ἀνὰ μέρος, πῇ μὲν τὴν σάρκα ἀπὸ τοῦ Λόγου, πῇ δὲ τὸν Λόγον ἀπὸ τῆς σαρ-

1 ἔπαθεν. ἡ σαρξ ψ. ἦν. 4 οἰοὐτω πιστεύωντες. 8 ὀφύλουσιν... περηεργάζεσθαι. 10 Πρὸς Θεσσαλ. β', 3. 11, 12. 13 αἰσθήωσιν. 14 εἴπερ... ὀφιλόμενον. 18 ἀμοίητοι... στοίγχανον. 19 ἔλεγων και περι ἐργαζοντο. 21 σαρκωθέντα..., ωμολογήσαντες. 23 εἰρήσαντο... ελέγωμεν. 25 συ[//]ύσεων.

κός, καὶ περιεργάζονται τὴν ἀνεκδιήγητον αὐτοῦ ἕνωσιν λογισμοῖς ἀνθρωπίνοις, καὶ τὰ ἄφραστα ἐξετάζουσιν καὶ λέγουσιν «πῶς»; καὶ εἰ μὴ μάθωσιν «πῶς», οὐκέτι πιστεύειν ἀνέχονται. Καὶ αἱ ποτὲ συναφθεῖσαι αὐτῷ διὰ τῶν πνευματικῶν μυστηρίων, ἰδοὺ «ζῶντος τοῦ ἀνδρὸς μοιχαλίδες χρηματίζουσιν», ἰδοὺ αὐτὸς ζῇ καὶ ἀδιαίρετος μένει, ἔνσαρκος ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενος, ἔνσαρκος ἐρχόμενος κρῖναι ζῶντας καὶ νεκρούς, ἔνσαρκος ὑπὸ ἀγγέλων προσκυνούμενος, ἔνσαρκος ὑπὸ δυνάμεων δορυφορούμενος, ἔνσαρκος ὑπὸ ἀγγέλων δοξολογούμενος, ἔνσαρκος ὑπὸ πάσης κτίσεως ὑμνούμενος, ἔνσαρκος ὑπὸ προφητῶν προφητευόμενος, ἔνσαρκος ὑπὸ ἀποστόλων κηρυσσόμενος, ἔνσαρκος ὑπὸ μαρτύρων ὁμολογούμενος, ἔνσαρκος ὑπὸ Ἰωάννου δεικνύμενος, ἔνσαρκος ὑπὸ ἐκκλησίας εὐλογούμενος, ἔνσαρκος εἰς τοὺς αἰῶνας ἀδιαιρέτως, υἱὸς Θεοῦ ὢν καὶ διαμένων ἔνσαρκος!

10. Ἆρα οὐ φρίσσεις, ὦ αἱρετικέ, τὸ καθ' ὑπόστασιν ἡνωμένον οὕτως κατὰ χάριν ἀχώριστον ἐν πράγμασιν χωρίζειν ἐπιχειρῶν; Εἰ δὲ μήτε ἀφ' οὗ ἠυδόκησεν ἐν αὐτῷ κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, δεῖξόν μοι ἐν τῇ θείᾳ Γραφῇ χωριζομένον αὐτὸν ἔν τινι καιρῷ ἢ τόπῳ ἢ δυνάμει ἢ πράγματι, καὶ ἀνέχομαί σου τῆς κακοφροσύνης. Κἂν γὰρ εἴπῃς ὅτι ἐγεννήθη, ἀλλ' οὐ γυμνὸς Θεὸς οὐδὲ ψιλὸς ἄνθρωπος· ἀλλ' εἶπεν ἡ Γραφὴ τὸ συναμφότερον, ὅτι Χριστὸς ἐγεννήθη. Οὕτως αὐτὸν καὶ πανταχῇ ὁμολογεῖ ἡ θεία Γραφή, οὐκ ἀνὰ μέρος Θεὸν ἢ ἄνθρωπον ἀλλὰ τὸν ἐξ ἀμφοῖν Ἰησοῦν Χριστόν. Καὶ πανταχῇ οὕτως αὐτὸν ἐν τῇ θείᾳ Γραφῇ εὑρήσεις, Ἰησοῦν Χριστὸν καὶ πιστευόμενον καὶ ὀνομαζόμενον. Καὶ σὲ δέ, ὦ αἱρετικέ, βούλομαι ἐπερωτῆσαι καὶ φιλαλήθως ἀποκρίθητί μοι· μή τι γε δὴ κακήσας περιπλέξῃς πανούργως, ἀλλὰ πρὸς τὴν πεῦσιν δὸς καὶ τὴν ἀπόκρισιν. Εἰπὲ «εἷς ἐστιν ὁ Χριστὸς ἢ δύο»; Πάντως δὲ ἐρεῖς ὅτι εἷς ἐστιν, κατὰ τὴν Γραφὴν λέγουσαν ὅτι «εἷς κύριος Ἰησοῦς Χρι-

3 ποταί. 4 «ζῶντος — χρηματίζουσιν». Πρβλ. πρὸς Ῥωμ. 7. 3. 5 ζόντος... μοιχαλήδες χρηματήζουσιν. 6 ἀδιέρετος μένη. 12 οικούμενος. 13 αδιερέτος... ὢν. 15 φρίσσης ὦ αἱρετικέ. 16 ουτως... χωρήζειν. 19 τινει... δυνάμι. 20 ἀνέχομέσου. 23 πανταχι ὁμολογῆ. 24 ἀνφοῖν. 27 κακῆσαι. 28 δῶς.

στός». Εἰ οὖν ἐστιν εἷς, εἰπὲ λοιπὸν κατὰ σὲ τίς ἐστιν, ἄνθρωπος ψιλὸς ἢ γυμνὸς Θεός; Ἐάν μοι εἴπῃς ὅτι εἷς ἐξ ἀμφοῖν, καθὼς καὶ ἐπὶ τοῦ ἁγίου βαπτίσματος ὡμολόγησας, καλῶς εἴρηκας· ἐὰν δὲ εἴπῃς ψιλὸν ἄνθρωπον εἶναι, καὶ πῶς «ἐπὶ πάντων Θεὸς» καὶ ἐκ τῆς ἐξουσίας τοῦ Πατρὸς γεγεννημένος; Ἐὰν δὲ εἴπῃς «ὁ Λόγος ἐστὶν γυμνός», ἀκούσει ὅτι «πῶς γυμνὸς ὁ Λόγος γεγέννηται ἐκ γυναικος»; Λοιπὸν ἀνάγκη δὴ εἰπεῖν τὸ ἀληθές, ὅτι ὁ Χριστός ἐστιν τὸ συναμφότερον.

11. Θαυμάζω δὲ πῶς οὐκ ἐντρέπονται τῆς θείας Γραφῆς, σαφῶς περὶ αὐτῶν λεγούσης ὅτι «ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν». Ὅμως οὐ φείδονται οἱ καρδιακοὶ τρίβολοι ταῖς ἀρχιστρόφοις ἀκίσιν νύσσοντες ἡμᾶς καὶ λέγοντες «ὑμεῖς ἐξ ἡμῶν ἐληλύθατε». Ὦ τῆς ἐλεεινῆς κακονοίας! Μὴ γὰρ ἡμεῖς τῇ Γραφῇ ἀνθεστήκαμεν, ἢ ἡμεῖς μετὰ τὸ βάπτισμα τὸν Χριστὸν πειράζομεν, ἢ ἡμεῖς τὰς ὁμολογίας ἀθετοῦμεν, ἃς ὡμολογήσαμεν; Ἄκουε Παύλου, λέγοντος ὅτι «ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ γὰρ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν. Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν». Βαπτισθεὶς οὖν, ὦ βέβηλε, καὶ καινὴ κτίσις γενόμενος μὴ γίνου καινὸς Τέρτυλλος ῥητορεύων κατὰ τῆς ἀληθείας, μηδὲ σοφίζου Παῦλον τὸν τῆς σοφίας ἰσόψηφον. Μάθε τὸ κήρυγμα, καὶ ἀντιλέγων αἰσχύνθητι. Οὐκ εἶπεν «ἡμεῖς δὲ κηρύσσομεν σάρκα ἐσταυρωμένην», ὡς σὺ λέγεις, ἀλλὰ τὸ τῆς ἑνώσεως ὄνομά φησιν «ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσιν δὲ μωρίαν». Ἐὰν δὴ οὖν καὶ σὺ σκανδαλίζῃ καὶ λέγῃς «μωρόν ἐστιν πρᾶγμα, ὡς υἱῷ Θεοῦ πιστεύειν τῷ ἐσταυρωμένῳ», ἰδοὺ ὁ ἅγιος Παῦλος Ἰουδαῖόν σε καὶ Ἕλληνα ὀνομάζει· φησὶν γὰρ «Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσιν δὲ μωρίαν».

3 ὁμολόγησας. 4 εἶπεις. Οὕτω παλλαχοῦ. 4 Πρὸς Ρωμ. 9, 5. 7 δεῖ. 9 Ἰωάν. α' 2, 19. 10 ἐξῆλθαν. 11 εἶσαν... μεμεν///κισαν. 13 ἐληλύθατε... ἐλεεινῆς. 14 ἀντεστήκαμεν. 16 Πρὸς Κορινθ. β', 5, 16 17. 19 κτίσις... βαπισθῆς. 20 κτίσις... γίνου... τέρτυλος. 21 Τέρτυλλος] Πράξ. 24, 1. 2. 22 ἰσόψιφον... ἀντιλέγον. 25 Πρὸς Κορινθ. α', 1, 23.

12. Ὅσοι οὖν ἐν τούτῳ σκανδαλίζονται, φανερόν ὅτι ἰουδαΐζουσιν· καὶ ὅσοι μωρίαν ἡγοῦνται τὸ τοῦ ἐσταυρωμένου κήρυγμα, δῆλον ὅτι ἑλληνίζουσιν· «ἰουδαίοις γάρ, φησίν, σκάνδαλον, ἔθνεσιν δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς ἰουδαίοις τε καὶ ἕλλησιν Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν». Διὰ τοῦτο ἐπερωτήσω σε, ὦ ἀποστάτα, τίς ἐστιν ὁ ἐσταυρωμένος καὶ πῶς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία; ἤκουσας γὰρ ὅτι Χριστὸν εἶπεν ἐσταυρωμένον καὶ Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν. Καὶ οὐ πάντως δύο Χριστοὺς λέγει, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἐπ' ἀμφοτέροις τοῖς πράγμασιν. Τίς οὖν ἐστιν; εἰπέ μοι γυμνὸς ὁ Λόγος ἢ ψιλὸς ἄνθρωπος; Ἕνα ὁμολόγησον κατὰ τὸν ἀπόστολον καὶ ὃν βούλει εἰπέ. Ἐὰν γὰρ εἴπῃς ὅτι γυμνός ἐστιν ὁ Λόγος, ἀκούσει τὰ αὐτά, ὅτι «πῶς ἐσταυρώθη γυμνὸς ὁ Θεὸς Λόγος»; εἰ δὲ λέγεις «ἡ σὰρξ ἐστιν», εἰπὲ πῶς ψιλὴ σὰρξ καὶ δύναμις ἐστιν τοῦ Θεοῦ; Ἐὰν δὲ καὶ ἐν τούτῳ ἀπορῇς καὶ βούλῃ μαθεῖν, μὴ μερίσῃς τὸν Χριστὸν καὶ λέλυταί σοι ἐν ἀμφοτέροις τὸ ἄπορον. Χριστὸς γὰρ ὁ σταυρωθείς, αὐτὸς καὶ Θεοῦ δύναμις ἐστιν καὶ Θεοῦ σοφία, ἡνωμένος ὢν ὁ Θεὸς Λόγος μετὰ τοῦ κυριακοῦ ἀνθρώπου. Ἀκούσας οὖν Χριστὸν Ἰησοῦν ἐν τῇ θείᾳ Γραφῇ, νόει πανταχῇ τὸν Θεὸν Λόγον μετὰ τῆς ἰδίας σαρκός· τῆς γὰρ ἀδιαιρέτου συναφείας τὸ ὄνομά ἐστιν Ἰησοῦς Χριστός. Ὁ οὖν ἐπὶ ταῖς οἰκονομίαις ἀρνούμενος ἕνωσιν, δῆλον ὅτι καὶ τὸ τῆς ἑνώσεως ὄνομα ἀρνεῖται.

13. Ἆρα οὖν οὐ φοβῇ, ὦ ἄνθρωπε; Ὃν ὁ Παῦλος ὁμολογεῖ Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν καὶ δόξης Κύριον, σὺ λέγεις ψιλὸν ἄνθρωπον καὶ σῶμα νεκρόν, ἀνθρωπίναις ἐπινοίαις διαιρῶν τὰ εἰς πάντας αἰῶνας ἀδιαίρετα καὶ θεοπρεπῶς καθ' ὑπόστασιν ἡνωμένα; Εἰ δι' ἑαυτὸν καὶ οὐ δι' ἡμᾶς ἐσταυρώθη, ἐχέτω καὶ ἡ σὴ νεκρολογία εἰσαγωγήν. Ἄκουε πῶς τοὺς ἀπιστοῦντας περὶ τούτου ἀναθεματίζει ὁ ἅγιος ἀπόστολος, οὐχ ἅπαξ ἀλλὰ καὶ δεύτερον· φησὶν γὰρ «κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγε-

15 τούτο... μερίσῃς. 16 λέλυται σοι... σταυρωθείς. 17 ὢν. 19 νόει πανταχῇ. 20 συναφείας. 22 ἀρνεῖται. 27 ἐχέτω. 29 οὐχ ἅπαξ. 30 Πρβλ. πρὸς Γαλάτ. 1, 9.

λίζηται ὑμῖν παρ' ὃ παρελάβετε ἀνάθεμα ἔστω»· παρεδωκα γὰρ ὑμῖν, φησιν, ὃ καὶ παρέλαβον· ἐν πρώτοις ὅτι Χριστὸς Ἰησοῦς ἀπέθανεν, «ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι». Εἰ ψιλὸς ἄνθρωπός ἐστιν ὁ ἀποθανὼν καὶ ἐγερθείς, ἀνθρώπῳ ψιλῷ ζῶμεν καὶ οὐκέτι υἱῷ Θεοῦ· γέγραπται γὰρ ὅτι οὐκέτι ἑαυτοῖς ζῶμεν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. Ἆρα οὖν ἀκούων ταῦτα παρὰ τῆς Γραφῆς, λοιπὸν ὁμολογήσεις τὴν κυριότητα τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος; Εἰ ἔτι ψιλὸν ἄνθρωπον εἴπῃς καὶ σῶμα νεκρόν, πῶς ψιλὸς ἄνθρωπός ἐστιν δόξης Κύριος καὶ Θεοῦ δύναμις καὶ σοφία; ταῦτα γὰρ ὁ ἀπόστολος εἶναι λέγει τὸν ἐσταυρωμένον Χριστόν. Καὶ εἰ ψιλὸς ἄνθρωπος ἦν, πῶς «ὑπὲρ πάντων ἀπέθανεν» αὐτός, προσδέοντ[ος] τοῦ ὑπεραποθνήσκοντος; Μάθε ὅτι καὶ οἱ δίκαιοι ἐκρατοῦντο ὑπὸ τοῦ θανάτου, ὡς καὶ οἱ ἁμαρτωλοί· φησὶν γὰρ «ἐβασίλευσεν ὁ θάνατος καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας»· οὐ γὰρ ὑπὲρ ἰδίας ἀλλ' ὑπὲρ τῆς τοῦ Ἀδὰμ παραβάσεως πάντες οἱ ἐξ Ἀδὰμ ἐκρατήθησαν.

14. Ἐπειδὴ δὲ καὶ αὐτὸς ὁ Κύριος καὶ οἱ ἅγιοι ἀπόστολοι αὐτῷ πιστεύειν παραγγέλλουσι τῷ ἐσταυρωμένῳ, ἆρα εἰς ψιλὸν ἄνθρωπον πιστεύειν ἡμᾶς ἀναγκάζουσιν; Ἐὰν δὲ πάλιν σοφιζόμενος εἴπῃς, ὅτι οὐ τῷ ἐσταυρωμένῳ λέγουσιν ἀλλὰ τῷ ἐνοικοῦντι Θεῷ, ζητητέον τοῦτο. Ἢ οὖν σὺ ἀπόδειξον ὃ εἴρηκας, ὅπως καὶ ἡμεῖς μάθωμεν, ἢ ἡμεῖς ἀποδείξωμεν ἐν Κυρίῳ, καὶ μαθὼν μηκέτι ἀντίλεγε. Ἰδοὺ τί λέγει τὸ «σκεῦος τῆς ἐκλογῆς», ὁ μακάριος Παῦλος, οὐχ ὑπὲρ ἑαυτοῦ μόνον ἀλλὰ καὶ ὑπὲρ πάντων τῶν ἀποστόλων τὴν ὁμολογίαν ποιούμενος· φησὶν γὰρ «ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον». Καὶ πάλιν βεβαιοῖ· «εἴτε ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε»· καὶ πάλιν· «οὐδὲν ἔκρινα εἰδέναι ἐν ὑμῖν εἰμὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμέ-

1 εὐαγγελίζεται. 2 πρότοις. 3 Πρὸς Κορινθ. β', 5.15. 5 ἐγερθῆς. 6 γέγραπται... ἑαυτοῖς. 8 κυριότητα. 9 Εἰ] ἢ. 11 σωφία. 12 Πρὸς Κορινθ. β', 5. 14, 15. 15 Πρὸς Ῥωμ. 5. 14. 19 ψιλὸν. 22 ζητειτέων. 24 Πράξ. 9. 15. 26 Πρὸς Κορινθ. α', 1. 23. 27 Πρὸς Κορινθ. α', 15. 11. 28 Πρὸς Κορινθ. α', 2. 2.

νον». Εἰ μὴ οὖν καταδέξῃ καὶ ἐπὶ τοῦ σταυροῦ τὴν ἕνωσιν, οὐ διαφεύξῃ τὴν τοῦ κηρύγματος ἄρνησιν· οἱ γὰρ ἅγιοι ἀπόστολοι οὔτε γυμνὸν Θεὸν λέγουσιν τὸν παθόντα, οὔτε ψιλὸν ἄνθρωπον, ἀλλὰ Θεὸν ἅμα καὶ ἄνθρωπον, ὃς ἐστιν Χριστὸς Ἰησοῦς ὁ τῆς δόξης Κύριος, οὐ διαιροῦντες ἐπὶ τῆς οἰκονομίας ἀλλ' ἕνα ἐξ ἀμφοῖν ὁμολογοῦντες σαρκὶ παθόντα Χριστὸν Ἰησοῦν τὸν υἱὸν καὶ λέγοντες «ἡμεῖς κηρύσσομεν Χριστὸν ἐσταυρωμένον». Οὕτως οὖν κηρύσσουσιν καὶ οὕτως ἐπιστεύσαμεν.

15. Εὐθὺ πρὸς ταῦτά φασιν «καὶ Θεὸς σταυροῦται ἢ Θεὸς ἀποθνήσκει ἢ πεινᾷ ἢ κοπιᾷ»; Ἄφρον, πολλοστὸν ἀκούσας περὶ τῆς τοῦ Λόγου ἐνανθρωπήσεως, ὅτι Θεὸν γυμνομερῶς ἐπὶ ταῖς οἰκονομίαις ταύταις ὀνομάζεις! Δοκεῖς μοι οὐ μόνον τῶν ἀποστόλων ἀλλὰ καὶ τῶν ἁγίων εὐαγγελίων ἐπιλελῆσθαι! Οὐκ ἤκουσας ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»; Ὃ οὖν γέγονεν ὑπὲρ ἡμῶν, ἐδέχετο τὰ στίγματα σωματικῶς· ὅμως ἀδιαιρέτως καὶ ὡς προϋπῆρχεν οἰκειοῦται τὰ πάθη ἀπαθῶς. «Καὶ πῶς, φησίν, ἡνωμένος καθ' ὑπόστασιν ἠδύνατο ἀπαθῶς οἰκειοῦσθαι τὰ πάθη»; Ἡμεῖς μὲν ἐπὶ Θεοῦ ἐπερω[τᾶ]ν «πῶς» βλασφημίαν ἡγούμεθα· ὅμως ἐγώ σοι ἐν τοῖς κτίσμασιν δείξω πρᾶγμα γεγενημένον ὑπὸ ἀνθρώπου οὐκ ἀφανῶς ἀλλὰ καὶ ὀφθαλμοῖς ὁρώμενον καὶ χερσὶν κρατούμενον. Σὺ δέ μοι εἰπὲ πῶς γέγονεν, πῶς ἥνωται ἡ φλὸξ τῷ πεπυρωμένῳ χρυσῷ ἢ πῶς συλλιπαίνεται ἢ πῶς συνδιαιρεῖται ἢ πῶς συμβαστάζεται; «Καὶ τοῦτο ἀπαθῶς»—Ὅτι μὲν γὰρ ταῦτα ἀπαθῶς συμπάσχει, τὸ πῦρ τῷ χρυσῷ, φανερόν· τὸ δὲ «πῶς» οὐκ ἔχεις εἰπεῖν. Εἰ δὲ ἐπὶ τῆς κτίσεώς ἐστιν ἰδεῖν ὅτι τὸ καθ' ἑαυτὸ ἀκάθεκτον καὶ ἀπήμαντον καὶ ἀλίπαντον τῷ λιπαινομένῳ καὶ κατεχομένῳ ἑνωθὲν καθ' ὑπόστασιν συμπάσχειν ἀπαθῶς δύναται, τί λοιπὸν ἀπιστεῖς ἐπὶ τῆς παντοδυνάμου θεότητος; Εἰ ζητεῖς τὸ «πῶς», μὴ οὖν συναρπακτικῶς καὶ κακούργως ἐπερώτα λέγων ὅτι «ὁ Θεὸς ἀποθνήσκει ἢ Θεὸς πάσχει», ἀποκρύπτων τῇ

11 ἐνανθρωπείσεως. 12 δοκῇς. 14 Ἰωάν. 1.14. 14 ἐσκείνωσεν... ω. 15 στίγματα. 16 οἰκιοῦται. 17 οἰκιοῦσθε. 21 χερσεῖν. 21 Σὺ κτλ.] οὐδὲ μοι εἶπε... ἥνωτε ἡ φλὼξ. 22 συνλιπένεται... σὺν διερεῖται. 23 συνβαστάζεται. 24 σὺν πασχει τῶ. 26 ἑαυτῶ... ἀλήπαντον τῶ λιπομενω.

γυμνολογία τὴν σάρκωσιν καὶ τὴν ἀδιαίρετον ἕνωσιν, ἀλλ᾽ εἰπὲ «πῶς ἐστιν ὅτι ὁ Χριστὸς ἀπέθανεν ἢ ἔπαθεν»; Καὶ ὅσα λέγει ἡ θεία Γραφὴ πάντα ὑπέμεινεν σαρκί, οὐ φύσεως ἀνάγκῃ ἀλλὰ χάριτι ὑπὲρ ἡμῶν· εἰ γὰρ ἀποθανὼν ἔζησεν, πολλῷ μᾶλλον μὴ ἀποθανεῖν ἠδύνατο· καὶ εἰ ἐπὶ θαλάσσης περιεπάτησεν, ἐπὶ γῆς περιπατεῖν καὶ μὴ κοπιᾶν ἠδύνατο· καὶ εἰ κεκλεισμένων τῶν θυρῶν εἰσήρχετο, πόσῳ μᾶλλον τοὺς συλλαμβάνοντας αὐτὸν διαδρᾶσαι ἠδύνατος; Ἐπειδὴ δὲ οὐχ ὑπὲρ ἑαυτοῦ ἀλλ᾽ ὑπὲρ ἡμῶν ἔπασχεν, πάντα ὑπομεῖναι κατεδέξατο.

18. Ἀλλὰ τί πρὸς ταῦτα λέγουσιν; «Ὁ παθὼν ὑπὲρ ἡμῶν, ἔστιν Θεὸς ἢ οὐκ ἔστιν»;—Ναι, ἐστὶν Θεὸς ἀλλ᾽ οὐ γυμνὸς ἀνθρωπότητος. Ἐγὼ δέ σοι λέγω ὅτι ἄνθρωπός ἐστιν ἀλλ᾽ ἡνωμένος τῇ θεότητι. Ὅτε οὖν ἀκούσῃς τὰ μεγαλεῖα, ἃ θεοπρεπῶς ἐποίησεν ὁ Χριστός, μὴ γυμνὸν Θεὸν λέγε, ὁρῶν τὰ θαυμάσια, ἀλλ᾽ ἡνωμένον ἀνθρωπότητι· καὶ ὅταν πάλιν ἀκούσῃς ὅσα ἔπαθεν, μὴ ψιλὸν ἄνθρωπον ὑπολάβῃς διὰ τὰ πάθη ἀλλ᾽ ἡνωμένον θεότητι. Τοῦτον ἔνσαρκον ἐπὶ γῆς ἰδόντες ἄγγελοι οὐκ ἐμέρισαν, καθὼς ὑμεῖς ἐπιχειρεῖτε μερίζειν, ἀλλὰ γνόντες θεοπρεπῶς ἡνωμένον θαυμασίως ἐδοξολόγησαν, λέγοντες «δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία». Βλέπεις πῶς τὴν ἐν ὑψίστοις δόξαν καὶ τὴν ἐν ἀνθρώποις εὐδοκίαν συνῆψαν, καὶ τοῖς ποιμέσιν τὸν τεχθέντα Χριστὸν σωτῆρα σαφῶς εὐηγγελίσαντο, ἕνα λέγοντες καὶ οὐ δύο καθ᾽ ὑμᾶς; «Καὶ ἡμεῖς, φασίν, ἕνα λέγομεν τὸν Χριστόν, ἐπὶ δὲ τοῖς πράγμασιν ἁρμοδίως τὰς φύσεις μερίζομεν». Τίς ἀκούσας ταῦτα οὐ φρίξει αὐτῶν τὴν θεομαχίαν; Διορθοῦνται τὴν ἄφραστον οἰκονομίαν τοῦ Κυρίου· ἃ γὰρ αὐτὸς οὐκ ἐμέρισεν, οὗτοι τὴν πίστιν ἡμῶν χωλεύειν ἐποίησαν· καὶ ὡς ἐκεῖνοι οἴονται, ὅσα οὐχ εὗρεν εἰπεῖν ἡ θεία Γραφὴ οὔτε προφῆται οὔτε ἀπόστολοι, οὗτοι ὡσεὶ δευτερολήπτορες φανεροποιοῦσιν, οὐκ εἰδότες ὅτι τοῦτο αὐτοῖς καταλήγει εἰς μεγάλην βλασφημίαν· πῇ μὲν γὰρ χω-

1 γυμνωλογία. 5 καὶ 6 εἰδύνατο. 6 κεκλημένων. 7 συνλαμβάνοντας. 17 εἰδόντες. 18 γνῶντες... ἡνομένον. 19 Λουκ. 2. 14. 27 οἶηνται. 28 οὐκ ηὗρεν. 30 καταλήγῃ.

ρίζοντες τὸν ἀχώριστον, πῇ δὲ συνάπτοντες καὶ ἱματίου δίκην ἐνδυ[ταὶ] καὶ ἐκδυταὶ τοῦ Λόγου γενόμενοι οὐδὲν ἕτερον ἢ τὴν ἑαυτῶν ζωὴν ἀπεροῦ[σιν]. Εἰ γὰρ καθ' ὑπόστασιν οὐκ ἀνέλαβεν ἡμῶν τὴν σάρκα, πῶς δωρήσηται ἡμῖν τὸ πνεῦμα; Ἡμεῖς δὲ πιστεύομεν τῇ θείᾳ Γραφῇ ὅτι κατ' εὐδοκίαν ὁ Θεὸς Λόγος γέγονεν ἄνθρωπος, οὐκ αὐτὸς εἰς σάρκα τραπεὶς ἀλλ' ἑνώσας ἑαυτῷ ἀνθρωπείαν σάρκα, καὶ οὕτως πάντα ἄνθρωπον δεκτικὸν τοῦ ἁγίου Πνεύματος πεποίηκεν. Αὐτὸς καθ' ἕνωσιν ἀνέλαβεν σάρκα ὡς Θεός, ἡμεῖς δὲ κατὰ μέθεξιν ἐλάβομεν τὸ Πνεῦμα ὡς ἄνθρωποι.

19. Ἆρ' οὖν τὸ σαρκωθῆναι αὐτὸν δι' ἡμᾶς καὶ τὸ ὑπεραποθανεῖν ὑπὲρ πάντων ἀνθρώπων καὶ διὰ θανάτου καταργῆσαι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστιν τὸν διάβολον, καὶ σῶσαι πάντας ἀνθρώπους τοὺς πιστεύοντας εἰς αὐτὸν καὶ βασιλείαν οὐρανῶν διὰ τῆς ἐνανθρωπήσεως πιστοῖς χαρίσα[ι], ταῦτα νεκρία εἰσίν, ὡς σὺ λέγεις, ἢ μᾶλλον, τῆς ὑπερφυοῦς δυνάμεως καὶ σοφίας, καθὼς ὁ ἀπόστολος εἴρηκεν, δεικνὺς ὅτι τῶν ἀπ' ἀρχῆς θαυμασίων αὐτοῦ ἔργων ταῦτα θαυμαστότερα; φησὶν γὰρ «ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς»· ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς δι' ἡμᾶς, καθὼς γέγραπται, ὅτι «πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ». Θαυμασταὶ μὲν αὗται αἱ δωρεαὶ καὶ ὑπερφυεῖς, ἡ δὲ ἔνσαρκος αὐτοῦ παρουσία θαυμαστοτέρα καὶ ἀσυνείκαστος, διότι καὶ ταῦτα ἡμῖν ἐφαίδρυνεν καὶ μείζονα ἐχαρίσατο. Μετὰ γὰρ τὰς προειρημένας διὰ τῶν κτισμάτων εὐεργεσίας κατασοφισθέντος ὑπὸ τοῦ διαβόλου τοῦ πρώτου ἀνθρώπου καὶ παρακούσαντος τοῦ Θεοῦ, καὶ διὰ τῆς παρα[κοῆς] ὑπὸ τὴν ἁμαρτίαν πεσόντος, καὶ διὰ τὴν ἁμαρτίαν τῷ θανάτῳ παραδοθέντος, πάντες τῆς ἀϊδίου ζωῆς ἀπεπτώκειμεν, εἴτε ἁμαρτωλοὶ εἴτε δίκαιοι· οὐ δεὶς γὰρ ἀνθρώπων ὑφήρητο τοῦ ἐγκλήματος, διότι ὑπέκειτο αὐτῷ

2 ἐνδι //// και. 3 ἀπεροῦ //// ἡ γαρ. 7 ἀνθρωπίαν. 8 κατένωσιν. 16 ἀπαρχεῖς. 17 Πρὸς Ἐφεσ. ι. 10. 21 Πρὸς Κορινθ. α΄, 3. 22, 23. 23 ἀσυνίκαστος. 30 ὑφείρετο... ὑπόκειτω.

ἡ ῥίζα τῆς ἡμῶν φύσεως, λέγω δὴ ὁ πρῶτος ἄνθρωπος. Καὶ ἦν λοιπὸν ἀναπόδραστος ὁ κίνδυνος, ὁ θάνατος ὁμοίως ἄφευκτος· ἡ γὰρ ἐντολὴ προέκειτο, ἡ καταδίκη ἐπὶ τῇ παραβάσει ὥριστο, ὁ κριτὴς ἀλάθητος, ὁ λόγος αὐτοῦ ἀψευδής, ὁ νόμος ἀληθής, τὸ δίκαιον ἀπαράλλακτον, ἀμήχανος ἡ μετάνοια, τὸν ἀμίαντον ἱερέα οὐκ ἔχουσα. Πάντες ὑπέκειντο τῷ ἐγκλήματι, ὤφελον δέ· ἕως τούτου ἵστατο ἡ ἁμαρτία. Καὶ μὴ πλῆθος δυσσεβείας ἐπεισήγαγεν; Ἅπας χωρισθεὶς ὁ ἄνθρωπος τοῦ παραδείσου, φωτὸς λελῃθότος, ἐραστὴς τῶν ἐναντίων ἐγένετο, καὶ ἦν αὐτῷ ἡ πλάνη οἰκειοτέρα τῆς ἀληθείας, αὐθαίρετος ἡ πονηρία, εὐπαράδεκτος ἡ εἰδωλολατρεία, εὔλογος ἡ φιληδονία, σπουδαζομένη ἡ πλεονεξία, πληθυνομένη ἡ ἁμαρτία, ἡ ὀργὴ φοβερωτέρα, ὁ ὄφις θρασύτερος, ὁ δὲ ἄνθρωπος ποτὲ ἐννεὸς ποτὲ μετέωρος, τὸ μέλλον οὐκ εἰδὼς καὶ τοῖς ἐνεστῶσιν ἐγκείμενος. Καὶ ἔτι «τῇ ματαιότητι ἡ κτίσις ὑπετάσσετο», καθὰ γέγραπται, οὐχ ἑκοῦσα ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι τῆς αὐτοῦ παρουσίας, ὅ τε δὲ τῶν τοιούτων κακῶν ἐσμὸς λοιπὸν ἐγίνετο ἄλυτος δεσμός· ἐχρῆν γὰρ καθὼς ἐν πρώτοις τῇ παραβάσει οὕτω καὶ πᾶσιν τούτοις δικαίαν ἐπακολουθῆσαι τὴν ψῆφον· ἡ δὲ ἐπιτιμία βρώσει θάνατος ὥριστο ἐπὶ τῇ προσθήκῃ τῶν τοιούτων πονηρευμάτων.

20. Τις ἂν λοιπὸν ἀξία ἐπιφορὰ ἐπηνέχθη; Τὸ ζῆν ἐν κολάσει δι' αἰῶνος τὸν ἄνθρωπον· τοῦτο γὰρ καὶ ὁ διάβολος ἐψήφιζεν κατὰ τοῦ ἀνθρώπου, ἴσως ἐκ τοῦ ἰδίου τόπου καὶ τὸν ἡμέτερον στοχαζόμενος. Καὶ λέγω, [ὥ]σπερ τῆς πονηρίας ἐγένοντο κοινωνοί, οὕτως καὶ τῆς κολάσεως ἔσονται· δίκαιος γάρ ἐστιν ὁ Θεὸς καὶ ἀληθής, καὶ τὸν ἑαυτοῦ νόμον οὐ παραλύει· καὶ καθὼς ἐπὶ τῇ παραβάσει ἐξέβαλεν τὸν ἄνθρωπον καὶ θανάτῳ παρέδωκεν, οὕτως ἐπὶ τῇ προσθήκῃ τῶν κακῶν ἐν κολάσει συνδιαιωνίζειν αὐτὸν ἐμοὶ καταδικάσει. Ὅμως ὁ πονηρὸς τὸ μὲν δίκαιον ἤδη τοῦ Θεοῦ, τὸ δὲ παντοδύναμον ἠγνόει, ὡς καὶ νῦν οἱ ἴδιοι

1 ῥήζα... δει ὁ πρώτος. 2 ἀνυπόδραστος. 3 ὅριστο. 6 ὑπέκιντο... ὤφελον. 8 λελησθότος. 9 οἰκειωτέρα. 10 αὐθέρετος... εἰδολολατρεία. 13 εἶδος. 15 Πρὸς Ρωμ. 8, 20. 16 τοιοῦτον. 19 εἰ δὲ ἐπιτιμεία, βρ. θ. οριστω. 20 τοιοῦτον. 24 πονηρείας ἐγ. κοινονοι. 30 ἴδη... ἠγνώει.

αὐτοῦ ἐργάται οἱ τὸ «πῶς» ἐπὶ Θεοῦ λέγοντες καὶ τὸν Χριστόν, τὴν τοῦ Θεοῦ δύναμιν καὶ σοφίαν, φυσιολογεῖν ἐπιχειροῦντες. Διὰ τοῦτο κατὰ τῆς δυνάμεως τοῦ ἐχθροῦ ἦλθεν ἡ δύναμις τοῦ Θεοῦ σαρκωθεῖσα καὶ λυτροῦται τὸν ἄνθρωπον οὐκ ἐξουσιαστικῶς, ἵνα μὴ τὸ δίκαιον παραλύσῃ, ἀλλ' ἀνταλλακτικῶς καὶ δικαίως· γεννᾶται γὰρ ἀνθρωπίνως ἄνθρωπον τέλειον ἀναλαβεῖν, μᾶλλον δὲ πάντας διὰ τοῦ ἑνὸς ἀναλαβεῖν, καὶ πάσχει ὑπὲρ ἡμῶν, ὅπως καὶ τὴν ἀπόφασιν λύσῃ καὶ τὸ δίκαιον στήσῃ καὶ τὸν ἑαυτοῦ λόγον τελέσῃ καὶ τὸν ἄνθρωπον ἐκ τοῦ θανάτου ἐλευθερώσῃ, αὐτὸς ἀποθανὼν ὑπὲρ πάντων καὶ τὸν διάβολον καταργήσας, μὴ δοὺς αὐτῷ χώραν ἐξουσιαστικῶς ποιεῖν ὃ θέλει, καθότι οὐδὲ αὐτὸς ἡμᾶς ἐξουσιαστικῶς ἐρρύσατο ἀλλὰ νομίμως καὶ παντοδυνάμως. Ταῦτα οὖν τὰ θαυμάσια τὰ ὑπὲρ σοῦ καὶ πάντων ἡμῶν γινόμενα, ὦ βλάσφημε καὶ ἄπιστε ἄνθρωπε, νεκρίαν λέγεις καὶ οὐχὶ Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, κατὰ τὸν ἅγιον Παῦλον;

21. Ἐν ἐπιτόμῳ δὲ ταῦτα ἐμνημονεύσαμεν, ὅπως τοὺς ἀπίστους πείσωμεν ὅτι δι' ἡμᾶς «ὁ Λόγος σὰρξ ἐγένετο» κατὰ τὴν θείαν Γραφήν, οὐ τραπεὶς εἰς ἄνθρωπον ἀλλ' ἑνωθεὶς καθ' ὑπόστασιν· σὺ δὲ λέγεις «πῶς»; Κἀγώ σοι λέγω ἀπερινοήτως· ἐπὶ Θεοῦ γὰρ τὸ «πῶς» οὐ λέγεται. Πάσχει ἀνθρωπίνως καὶ ὑπομένει ἀπαθῶς. Πάλιν σὺ λέγεις «πῶς»; Κἀγώ σοι λέγω κυριακῶς σταυροῦται σαρκί, ἀλλ οὐχ ἑτεροῦται πνεύματι· ἤνωτο γὰρ ἐκ μήτρας. Σὺ λέγεις «πῶς»; Κἀγώ σοι λέγω ἀκαταλήπτως. Ἀποθνήσκει σωματικῶς, ἀλλ' ἀθάνατος ἦν ἐνεργητικῶς. Πάλιν λέγεις «πῶς»; Κἀγώ σοι λέγω παντοδυνάμως. Θάπτεται βροτείως καὶ ἀνίσταται θείως. Πάλιν λέγεις «πῶς»; Κἀγώ σοι λέγω ἀνεξιχνιάστως. Πάλιν δὲ ἐγὼ ἐπερωτῶ καὶ σύ με ἀποκρίνου. Μὴ περιλαλήσῃς τῇδε κακεῖσε, ἀλλ' εἰπὲ ὀρθῶς «ὁ υἱὸς τοῦ Θεοῦ παντοδύναμός ἐστιν; ναὶ ἢ οὔ»; Ἐὰν λέγῃς «οὐκ οἶδα, διότι οὐ καταλαμβάνω Θεοῦ δύναμιν», εἰ οὖν οὐ καταλαμβάνεις τὴν δύναμιν, πῶς αὐτοῦ διαιρεῖς τὴν ἕνωσιν, μὴ εἰδὼς ποία δυνάμει

4 σαρκωθῆσα. 8 λύσει. 9 ἐλευθερώσει. 11 ποιῆν ὃ θέλη. 19 ἀπεριννοείτως. 20 λέγεται. 22 οὐκ ἑτεροῦται πν. ἤνωτω. 24 ακαταλύπτως. 28 τίδε. 31 διερεῖς... ἰδὼς.

ἤνωται; Ἐὰν δὲ τὸ ἐναντίον εἴπῃς, ὅτι «παντοδύναμος οὐκ ἔστιν», ἰδοὺ ἐλέγχει σε ἡ θεία Γραφή, λέγουσα «οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν». Εἰ δὲ ὁμολογεῖς «ναί, ὁ Θεὸς παντοδύναμός ἐστιν», μηκέτι ἐπὶ ταῖς γεγενημέναις καὶ γεγραμμέναις οἰκονομίαις ζήτει τὸ «πῶς», ἐπεὶ δοκεῖς ἀπιστεῖν ὅτι ἐστὶν παντοδύναμος· εἰ γάρ ἐστι, μὴ ζήτει τὸ «πῶς». Εἰ δὲ χρὴ εἰδέναι τὸ «πῶς», οὐκέτι παντοδύναμος παρὰ σοί, ἐπεὶ ** Σύ μοι εἰπὲ τὸ μικρότερον — μικρότερον γάρ ἐστιν, καθὼς ὀπίσω προειρήκαμεν — πῶς ἐποίησεν ἐξ οὐκ ὄντων τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς; Εἰ δὲ οὐκ ἔχεις εἰπεῖν τι περὶ τούτων, μηδὲ τὸ θαυμαστότερον περ[ιερ]γάζου πῶς ἐνηνθρώπησεν ἢ πῶς διὰ σαρκὸς ἀπαθῶς ἔπαθεν· μήτε φυσιολογεῖν ἐπιχείρει, ἀλλὰ πίστευε ὅτι παντοδύναμος ὢν ὡς ἠθέλησεν οὕτως καὶ ἐποίησεν. Ἢ οὐκ ἤκουσας τῆς Γραφῆς λεγούσης ὅτι «πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν»; Μόνον δὴ οὖν πιστεύειν ὀφείλομεν ἃ λέγει ἡ θεία Γραφὴ περὶ αὐτοῦ, τὸ δὲ «πῶς» μὴ περιεργάζεσθαι. Λέγει δὲ ἡ Γραφὴ ὅτι Ἰησοῦς Χριστός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ καὶ ὅτι δι' ἡμᾶς ἐσ[αρκώ]θη καὶ δι' ἡμᾶς ἔ[πα]θε καὶ δι' ἡμᾶς ἐσταυρώθη καὶ δι' ἡμᾶς ἐτάφη καὶ ἀνέστη καὶ ἀνελήφθη καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς ἐκάθισεν, καὶ ἔρχεται κρῖναι ζῶντας καὶ νεκροὺς καὶ μενεῖ εἰς τοὺς αἰῶνας. Ὅσα οὖν λέγει ἡ θεία Γραφή, τὸν Λόγον σαρκωθέντα ἀπαθῶς πεπονθέναι ἢ πεποιηκέναι πιστεύωμεν, τὸ δὲ «πῶς» ἐπειδὴ οὐκ εἶπεν μὴ περιεργαζώμεθα. Γέγραπται ὅτι «ηὐδόκησεν ἐν αὐτῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς». Εἰ δὲ αὐτὸς ηὐδόκησεν οὕτως, ἡμεῖς τί ζητοῦμεν τὸ «πῶς»;

22. Εἰ ἐπὶ γράμμασιν αὐτὸν μερίζειν ἐπιχειροῦμεν καὶ πῇ μὲν ἰστᾶν αὐτοῦ τὸ σῶμα πῇ δὲ τὸν κατοικήσοντα, ὡς ποτὲ μὲν κατοικεῖν ποτὲ δὲ μὴ κατοικεῖν κατὰ τὴν ὑμετέραν διάκρισιν, πάλιν γέγραπται «ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός». Βλέπεις πῶς πανταχῇ ἔνσαρκον τὸν

1 εὖνωται. 2 Ἰώβ 42, 2. 7 ἐπεὶ σύ μοι. 12 ἐνηνθρωπεισεν, εἰ. 20 ἐκάθηκεν. 22 σαρκοθέντα. 24 Πρὸς Κολοσ. 1, 19. 30 Πρὸς Ρωμ. 9, 5.

υἱὸν τοῦ Θεοῦ ὁμολογεῖ καὶ ἀχώριστον. Μιμησώμεθα τὸν Πέτρον, ὃς «υἱὸν ἀνθρώπου» ἀκούσας «υἱὸν Θεοῦ» ὡμολόγησεν, καὶ διὰ τοῦτο «μακάριος» ἤκουσεν. Μιμησώμεθα τὴν Μαρίαν, ἥτις ζητοῦσα τὸ ἅγιον σῶμα ἔλεγεν «ἦραν τὸν Κύριόν μου καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν». Μιμησώμεθα τὸν τυφλόν, ὃς τὸν λαλοῦντα αὐτῷ καὶ ὁρώμενον υἱὸν Θεοῦ ἐπίστευσεν καὶ τοῖς ποσὶν αὐτοῦ προσεκύνησεν. Μὴ γὰρ ἡ Γραφὴ εἶπεν περὶ τῆς αἱμορροούσης ὅτι τις «ἥψατο» τοῦ ἀνθρώπου; Μὴ εἶπεν ὅτι ἔδωκεν «ῥάπισμα» τῷ ἀνθρώπῳ; Μὴ εἶπεν Πιλάτῳ «ὁ παραδιδούς μου τὸ σῶμά σοι περισσοτέραν ἁμαρτίαν ἔχει»; Μὴ εἶπεν ἡ Γραφὴ «ἐσταύρωσαν τὸν ἄνθρωπον ἢ τὸ σῶμα τοῦ Χριστοῦ»; Μὴ εἶπεν ὅτι «ἐνέδυσαν τὸν ἄνθρωπον ἢ τὸ σῶμα χλαμύδα κοκκίνην»; Μὴ εἶπεν «ἄνθρωπος ἐπέθηκεν τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ»; Μὴ εἶπεν ὅτι «πορεύεται ὁ ἄνθρωπός μου πρὸς τὸν πατέρα μου»; Μὴ εἶπεν ὅτι «βάλε τὴν χεῖρά σου εἰς τὴν πλευρὰν τοῦ ἀνθρώπου μου»; Ἀλλὰ πανταχῇ ἕνα Χριστὸν καὶ υἱὸν Θεοῦ λέγει ἡ θεία Γραφὴ τὸν Θεὸν Λόγον μετὰ τῆς ἰδίας σαρκός. Κἂν «υἱὸν Θεοῦ» εἴπῃ, τὸν Χριστὸν ἡνωμένον λέγει. Κἂν «υἱὸν ἀνθρώπου» εἴπῃ, τὸν αὐτὸν ὁμοίως λέγει. Κἂν τυπτόμενον, κἂν παραδιδόμενον ἢ ἀπιστούμενον ἢ διωκόμενον ἢ πιστευόμενον ἢ πεινῶντα ἢ κοπιῶντα ἢ ἁπαξαπλῶς ὅσα λέγει ἡ θεία Γραφή, ἕνα καὶ τὸν αὐτὸν εἶναι λέγει τὸν Θεὸν Λόγον. Μετὰ τῆς ἰδίας σαρκὸς ἀμερίστως ἡνωμένος ἐστὶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Πίστευε οὖν κατὰ τὴν Γραφὴν σαρκὶ ἐλθόντα ἀλλ' οὐ σάρκα ἐλθοῦσαν, σαρκὶ κοπιῶντα ἀλλ' οὐ σάρκα κοπιάσασαν, σαρκὶ παθόντα ἀλλ' οὐ σάρκα παθοῦσαν, σαρκὶ θανόντα ἀλλ' οὐ σάρκα θανοῦσαν, σαρκὶ σταυρωθέντα ἀλλ' οὐ σάρκα σταυρωθεῖσαν, σαρκὶ ἀναστάντα ἀλλ' οὐ σάρκα ἀναστᾶσαν, σαρκὶ ἀναληφθέντα ἀλλ' οὐ σάρκα ἀναληφθεῖσαν, σαρκὶ θεραπεύσαντα ἀλλ' οὐ σάρκα θεραπεύσασαν, σαρκὶ καθήμενον ἀλλ' οὐ σάρκα καθημένην. Καὶ ἁπαξαπλῶς ὅσα λέγει ἡ θεία Γραφὴ περὶ αὐτοῦ σωματικῶς, οὐκ ἔχεις δεῖξαι ὅτι τὴν σάρκα μονομερῶς

3 Ματθ. 16, 17. 4 Ἰωάν. 20, 13. 16 πανταχεῖ. 20 παραδιδώμενον. 21 πινῶντα. 29 ἀναληφθήσαν.

λέγει, ἀλλ' ἡνωμένην καὶ αὐτὸν οἰκειούμενον τὰ τῆς σαρκὸς πράγματα· λέγει γὰρ ὅτι «ἐγεννήθη» ὁ Χριστός, «ἐθεράπευσεν» ὁ Χριστός, «ἔφαγεν» ὁ Χριστός, «ἐκάθευδεν» ὁ Χριστὸς, τὸ «σῶμα» τοῦ Χριστοῦ, τοὺς «πόδας» τοῦ Χριστοῦ, τὰ «στίγματα» τοῦ Χριστοῦ, «ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ», «ἐκοπίασεν» ὁ Χριστός, «ἔπαθεν» ὁ Χριστός, «ἀπέθανεν ὑπὲρ ἡμῶν» ὁ Χριστός, «ἐσταυρώθη» ὁ Χριστός, «ἀνέστη» ὁ Χριστός, «ἀνελήφθη» ὁ Χριστός, «ἐκάθισεν» ὁ Χριστός. Οὐδαμοῦ εἶπεν ὅτι ὁ ἄνθρωπος αὐτοῦ ἔπαθεν τι ἢ ὁ Θεὸς Λόγος ἐποίησέν τι, ἀλλὰ πανταχῇ ᾠκειώσατο τὰ τῆς σαρκὸς πράγματα, οὐκ ἐπὶ γῆς μόνον ἐν τῷ νῦν καιρῷ ἀλλὰ καὶ ἐν οὐρανοῖς εἰς τοὺς αἰῶνας.

23. Εἰ ταῦτα οὕτως ἤκουσας παρὰ τῆς θείας Γραφῆς, πιστεύειν ὀφείλεις καὶ μὴ περιεργάζεσθαι. Ἀλλα τί φησιν; «Ὃ οὐκ οἶδα πῶς πιστεύσω, ἢ τί ἐστιν πίστις»; Πίστις ἐστὶν ἡ ὁμολογία ἣν ἔδωκας ἐπὶ τοῦ βαπτίσματος, εἰπὼν ὅτι «πιστεύω εἰς τὸν Θεόν, πατέρα παντοκράτορα. καὶ εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν τὸν Θεὸν Λόγον, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, δύναμιν ἐκ δυνάμεως, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς σαρκωθέντα, γεννηθέντα, ἐνανθρωπήσαντα, σταυρωθέντα, θανόντα, ἐκ νεκρῶν ἀναστάντα, εἰς οὐρανοὺς ἀνελθόντα, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς». Μὴ ταῦτα οὐχ ὡμολόγησας εἴτε δι' αὐτοῦ εἴτε δι' ἑτέρου; Μὴ οὐ συνετάφης αὐτῷ διὰ τοῦ βαπτίσματος καὶ συνηγέρθης διὰ τῆς λαμπρᾶς στολῆς καὶ τῶν ἁγίων μυστηρίων; Διὰ τοῦτο ἐκζητῶν τὰ θεῖα πρῶτον μοι τὰ σὰ ἀπάγγειλον καὶ διάκρινον, ἵνα διὰ τῶν σῶν πιστεύσω ὅτι καὶ τὰ Χριστοῦ εἰδέναι δύνασαι. Πῶς ζῶν ἐν σαρκὶ συναπέθανες τῷ Χριστῷ καὶ συνετάφης; Πῶς δὲ καὶ ἐσθίεις αὐτοῦ τὸ σῶμα, εἰ ψιλόν ἐστιν; Πῶς δὲ καὶ πίνεις αὐτοῦ τὸ αἷμα, καὶ αὐτὸ εἰ ψιλόν ἐστιν; Οὔτε γὰρ τὸν Θεὸν Λόγον λαμβάνεις οὔτε αὐτὸν τὸν Χριστόν, ἀλλ' ἀκούεις ὅτι «σῶμα Χριστοῦ καὶ αἷμα Χριστοῦ». Εἰ οὖν οὐχ ἥνωται—κατὰ σὲ λέγω—πῶς σε ζωοποιήσουσιν; καὶ (εἰ) οὐκ εἰσὶν καθ' ἕνωσιν ἅγια, πῶς σε ἁγιάσωσιν ἢ ἄφεσιν ἁμαρτιῶν παρασχῶσιν;

1 οἰκιούμενον. 10 πανταχι οἰκιώσατο. 13 οφείλης. 19 ἐνανθρωπίσαντα. 21 οὐκωμολόγησας. 27 ἐστιεις. 30 οὐκήνωται. 31 κατένωσιν.

24. Εἴ σοι ἔλεγον περὶ Χριστοῦ, πάλιν ἂν ἐσοφίζου καὶ ἐμέριζες. Νυνὶ δὲ περὶ σώματός σοι λέγω καὶ αἵματος. Εἰπέ πῶς καθ' ἑαυτὰ ζωὴν ἡμῖν δωροῦνται· ἀκούεις γὰρ τοῦ ἱερέως «σῶμα ἅγιον Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον». Εἰ ἔλεγέν σοι «Χριστὸς ἅγιος εἰς ζωὴν αἰώνιον», ἔλεγες πάλιν ὅτι ἅγιός ἐστιν διὰ τὸν ἐνοικοῦντα Θεόν. Νυνὶ δὲ ἀκούεις τὸ «σῶμα» καὶ τὸ «αἷμα» μονομερῶς ὀνομαζόμενα ἅγια, καθ' ὑπόστασιν ἡνωμένα θεότητι ἐκ μήτρας καὶ οὐ μετὰ τὸ γεννηθῆναι κατὰ μέθεξιν. Ὁ δὲ τοῦτο πιστεύων λοιπὸν ἐργάζεται τὰς ἐντολὰς τοῦ Χριστοῦ καὶ οὐ περιεργάζεται αὐτοῦ τὴν φύσιν. Ὅθεν ἡμεῖς παρὰ τοῦ ἁγίου Παύλου τοῦτο μαθόντες ἀκριβῶς οἴδαμεν, ὅτι πᾶς ὁ τὴν ἐντολὴν τοῦ Χριστοῦ μὴ ἐργαζόμενος τὴν φύσιν αὐτοῦ περιεργάζεται· ὁ δὲ πιστεύων κατεργαζόμενος λαμβάνει Πνεῦμα ἅγιον καὶ θεοδίδακτος γίνεται καὶ ποταμοῦ δίκην προχέει καὶ ἑτέροις τὴν ἀλήθειαν, κατὰ τὸν λόγον τοῦ Κυρίου, εἰρηκότος «ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος»· τοῦτο δὲ ἔλεγεν περὶ τοῦ Πνεύματος, οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Ἄκουε πάλιν τί λέγει ὁ Παῦλος περὶ αὐτοῦ, ὃν σὺ ἀδεῶς μερίζεις· αὐτῷ, φησίν, «πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός». Ἆρ' οὖν οὐ φρίξεις ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, προσκυνουσῶν αὐτῷ τῶν προειρημένων ἁγίων δυνάμεων ἀπερίεργως καὶ δοξαζουσῶν τὸν Θεὸν ὑπὲρ τῆς ἀφράστου ἑνώσεως μυστηρίου, ἀλλὰ μέλλεις καὶ τότε μερίζειν αὐτὸν καὶ λέγειν τὸ «πῶς»; Ἐκεῖ μὲν οὖν, ὡς οἶμαι, ὑπὸ τοῦ φόβου κεκαρωμένος οὔτε εἶπῃς οὔτε ἐννοήσεις· πάλιν (μηδὲ) προσδόκα, ὅτι ἃ ὧδε ἐφρόνησας ταῦτά σοι κἀκεῖ λογισθήσεται. Διὰ τοῦτο μετανόησον ἐπὶ τῇ κακοπιστίᾳ σου, ὦ ἄνθρωπε, καὶ ὡς θέλει ὁ Χριστὸς οὕτως αὐτῷ καὶ πίστευε.

25. Ἄκουσον τί λέγει πρὸς τοὺς μαθητὰς ὁ Κύριος· «τίνα

7 μονομερός. 10 Πρβλ. πρός. Ρωμ. 7. 8 κέ. 15 Ἰωάν. 7. 38. 16 ῥεύσωσιν. 19 Πρὸς Φιλιπ. 2. 10. 20 κάμψει ἐπ. καὶ ἐπιγίων. 23 ἀπεριέργως καὶ δοξαζόντων τῶν. 26 κεκαρομένος. 27 κἀκεῖ] κἀκεῖνο. 30 Ματθ. 16. 13—18.

με λέγουσιν οι ἄνθρωποι εἶναι, τον υἱὸν τοῦ ἀνθρώπου»; Πρόσχες ἀκριβῶς πῶς οὐκ εἶπεν «τὸν τοῦ Θεοῦ», ἀλλὰ «τὸν υἱὸν τοῦ ἀνθρώπου». Καὶ μετὰ τὸ ἀκοῦσαι ὅτι οἱ μὲν Ἰωάννην οἱ δὲ Ἠλίαν, ἔφη αὐτοῖς «ὑμεῖς δὲ τινα με λέγετε εἶναι»; Ἀπεκρίθη αὐτῷ ἡ κρηπὶς τῶν ἀποστόλων, Πέτρος, καὶ εἶπεν «σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος»· καὶ πρὸς ταῦτα ὁ Κύριος «μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι», τουτέστιν ἀνθρωπίνη ἔννοια, «ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς», καθότι υἱὸν ἀνθρώπου ἀκούσας υἱὸν Θεοῦ ὡμολόγησεν. Καὶ τί πρὸς αὐτόν; «Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρα οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Εἰ οὖν καὶ σὺ ὑπερβὰς τὴν ἀνθρωπίνην ἔννοιαν τὸν υἱὸν τοῦ ἀνθρώπου τὸν ἐκ Μαρίας γεννηθέντα ὡμολογήσῃς υἱὸν Θεοῦ, μακαρίσει σε πάντως, καθὼς καὶ τὸν ἅγιον Πέτρον, καὶ πᾶσαν σου τὴν τῶν λογισμῶν ἐκκλησίαν ἐποικοδομήσει ἐπὶ ταύτῃ τῇ πέτρᾳ τῆς πίστεως, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, ἐπειδὴ τὰ ἐκεῖ δεσμὰ κατελθὼν ἔλυσεν διὰ τοῦ ἁγίου σώματος, ἵνα σώσῃ τοὺς οὕτως ἀμερίστως αὐτῷ πιστεύοντας.

26. Ἐὰν δὲ καὶ ἐπὶ τούτοις ἀντιλέγῃς καὶ ἔτι μερίζειν ἐπιχειρῇς, εἰπέ μοι τίς ἐστιν «ὁ υἱὸς τοῦ ἀνθρώπου»; Εἴ μοι λέγεις «ὁ Θεὸς λόγος», καὶ πῶς ἐστιν «υἱὸς τοῦ ἀνθρώπου»; εἰ δὲ λέγεις «ψιλὸς ἐστιν ἄνθρωπος», πῶς αὐτὸν «υἱὸν Θεοῦ» εἶπεν ὁ Πέτρος; Ἐὰν δὲ διαφυγεῖν μὴ δυνάμενος εἴπῃς ὅτι «καὶ ψιλός ἐστιν ἄνθρωπος καὶ υἱὸς Θεοῦ ὀνομάζεται», δύο Χριστοὺς εἰσάγεις, ἕνα τὸν Θεὸν Λόγον καὶ ἕνα τὸν ἄνθρωπον· φησὶν γὰρ «σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος». Κἂν τὸν μακάριον Θωμᾶν μαρτυροῦντα κατάδεξαι, ὃς ψηλαφήσας τὴν πλευρὰν καὶ τὰς χεῖρας τοῦ Σωτῆρος κύριον αὐτὸν καὶ Θεὸν ὡμολόγησεν, οὔτε τοῖς θαυμασίοις ἔργοις αὐτοῦ οὔτε τοῖς θείοις λόγοις αὐτοῦ ἐπονομάζων κύριον καὶ Θεόν, ἵνα μὴ εἴπῃς ὅτι τὸν ἐνοικοῦντα λέγει, ἀλλὰ ταῖς χερσὶν αὐτοῦ τὸ ἅγιον σῶμα ψηλαφήσας κύριον εἶναι

4 αὐτῆς... λέγεται. 5 κριπὶς. 6 ζοντος. 15 ἐπικοδομήσει. 18 πιστεύοντας. 19 ἀντιλέγεις. 27 Ἰωάν. 20, 24—29.

καὶ Θεὸν σαφῶς ὡμολόγησεν. Τί λέγεις καὶ πρὸς ταῦτα; Τίς ἐστιν ὁ ψηλαφηθείς; — «Ψιλὸς ἄνθρωπος». Καὶ πῶς κύριος καὶ Θεὸς ὡμολογεῖτο; — «Ἀλλὰ γυμνὸς ὁ Λόγος» — Καὶ πῶς ἐψηλαφᾶτο; Ἀνάγκη σε καὶ ὧδε ὁμολογῆσαι τὴν ἀλήθειαν, ὅτι κύριος Ἰησοῦς Χριστός ἐστιν. Ἢ οὐκ ἤκουσας ἐν τοῖς εὐαγγελίοις πῶς τοῖς ἀποστόλοις περὶ αὐτοῦ ἐνεκάλει λέγων «δεῦτε καὶ ἴδετε ὅτι αὐτὸς ἐγώ εἰμι, ὅτι πνεῦμα καὶ σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα»; Διατί οὐκ εἶπεν «δεῦτε καὶ ἴδετε ὅτι ἄνθρωπός μου ἐστίν», ἀλλὰ σάρκα καὶ ὀστέα ἐπιδεικνὺς ἔλεγεν «ἴδετε ὅτι αὐτὸς ἐγώ εἰμι»;

27. Καὶ τί ἔτι μαρτυρίας ζητοῦμεν περὶ τῆς ὀρθοδόξου πίστεως, πάσης τῆς θείας Γραφῆς ἕνα καὶ τὸν αὐτὸν υἱὸν Θεοῦ δηλούσης ἐν ἀμφοτέροις τοῖς πράγμασιν, θείοις λέγω καὶ ἀνθρωπίνοις, οἷς τε ἐποίησεν καὶ οἷς ἔπαθεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός; Εἰ γὰρ καὶ τοῦ ἁγίου σώματος μετὰ τὸν σταυρὸν ἐμνημόνευσεν ἡ θεία Γραφή, οὐχ ὡς τὴν θείαν ἀξίαν αὐτῷ χωρίζουσα, ἥτις κατὰ φύσιν αὐτῷ, παρούσης ἁγιωσύνης, ἀλλὰ βουλομένη δεῖξαι ὅτι οὐ φαντασία, καθὼς οἴονται, ἀλλ' ἀληθεία ἐν σαρκὶ ἦλθεν καὶ ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ κύριος Ἰησοῦς Χριστός. Διὸ καὶ λέγει φανερῶς «εἴ τις οὐχ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, οὗτός ἐστιν ὁ ἀντίχριστος». Ποῦ ἐληλυθότα ἢ δηλονότι ἐν τῷ κόσμῳ διατί ἢ δι' ἡμᾶς; ἵνα τί; ἵνα διδάξῃ ἀλήθειαν, ἣν οὐδεὶς ἄλλος ἐδίδαξεν, τὸ πιστεύειν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα— ὅμως δι' ἐργασίας ἐντολῶν καὶ οὐ διὰ σιγῆς γνώσεως—καὶ ἵνα ὑπὲρ τῶν πιστῶν πάθῃ, ἐξουδενωθῇ, ἐμπτυσθῇ, ραπισθῇ, δεθῇ, φραγγελωθῇ, σταυρωθῇ, χολὴν καὶ ὄξος πίῃ, ἀποθάνῃ, λόγχῃ νυγῇ καὶ τριήμερος ἐκ νεκρῶν ἀναστῇ. Ὁμοίως ὁ αὐτὸς καὶ τὰ θεῖα ἵνα ποιήσῃ ἐν σαρκί, ὅπως ἴδωμεν τοὺς ἀγγέλους ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπ' αὐτόν, ὅπως δῷ Πνεῦμα ἅγιον τοῖς διὰ τῶν ἐντολῶν αὐτοῦ πιστεύουσιν καὶ σώσῃ αὐτούς, καὶ ὅπως

2 ψιλαφηθείς. 3 ὁμολογεῖτο... ἐψηλαφᾶτο. 4 ωμολογῆσαι. 6 αὐτοῦ] τοῦ αὐτοῦ. 7 Πρβλ. Λουκ. 24. 39. 8 θεωρεῖται. 18 οἴηνται. 20 οὐκ ὁμολογεῖ. | Ἰωάν. ἐπιστ. α', 2, 22. 4, 2—3. 23 ἐδείδαξεν. 24 ἐντωλῶν. 25 ἐξουδενοθῇ. 29 δώῃ.

ἀναληφθῇ εἰς οὐρανὸν καὶ καθίσῃ ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἔλθῃ κρῖναι ζῶντας καὶ νεκροὺς καὶ διαμείνῃ συν τῷ πατρὶ εἰς τοὺς αἰῶνας. Ταῦτα ἡμεῖς ἀκούοντες παρὰ τῆς θείας Γραφῆς πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα.

28. Ἀλλὰ πάντως ἐρεῖς μοι ὅτι κἀγὼ πιστευω εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, Υἱὸν γυμνὸν τὸν Λόγον ἐννοῶν καὶ οὐχὶ μετὰ τῆς ἁγίας καὶ ἴδιας σαρκός. Ἀλλ' ἄκουε τοῦ Κυρίου καὶ περὶ τούτου λέγοντος «αὕτη ἐστιν ἡ αἰώνιος ζωή, ἵνα πιστεύωσιν εἰς σὲ τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν». Ἤκουσες δὲ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα· μὴ γὰρ ἄσαρκον. Εἰ δὲ μηδὲ τοῦτο πιστεύῃς λεγούσῃ τῇ θείᾳ Γραφῇ, εἰπὲ σὺ πῶς ἦλθεν γυμνὸς ὁ Λόγος ἢ πῶς ἡγίασεν καὶ ἀπέστειλεν ὁ πατὴρ τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον; Ἆρα κατὰ σὲ μεταβατικῶς ἢ ἀλλοιωτῶς ἢ τρεπτῶς ἢ φανταστικῶς καὶ ἀνυποστάτως; Μὴ γένοιτο οὕτω φρονεῖν ἐπὶ τῇ παρουσίᾳ τοῦ Κυρίου! Ἀλλὰ ἀποστολὴ καὶ κατάβασις καὶ ἁγιασμὸς καὶ χρίσμα παρὰ τοῦ πατρὸς ἡ ἕνωσις γέγονεν ἐπὶ τῇ ἁγίᾳ σαρκί. Εἷς ὁ Θεὸς Λόγος, ἐκ [μή]τρας ἑαυτῷ ἑνώσας ἀτρέπτως καὶ ἀφράστως πάντα τὰ αὐτῆς εἰς ἑ[αυ]τὸν ᾠκειώσατο· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ παρουσία αὐτοῦ εἰμὴ ἡ θαυμαστὴ ἐνανθρώπησις καὶ ὅσα ἐν αὐτῇ ἐλάλησεν ἢ ἔπαθεν ἢ ἐποίησεν. Καὶ ποιεῖ δὲ καὶ ποιήσει· ὥσπερ γὰρ ὑπὲρ ἡμῶν ἦλθεν καὶ ἔπαθεν, οὕτω καὶ ἱερατεύει «καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν», καθὼς λέγει ὁ ἅγιος Παῦλος, οὐχ ὑποτακτικῶς ἀλλ' οἰκονομικῶς. Διὰ τοῦτο γὰρ εὐδοκίᾳ πατρὸς ἐνανθρωπήσας ἀνεδέξατο ἡμᾶς, ἵν', ὅσα ἡμεῖς ὀφείλοντες ποιεῖν οὐ δυνάμεθα, ταῦτα αὐτὸς ὑπὲρ ἡμῶν ποιῇ.

29. Αὐτὸς οὖν ὑπὲρ ἡμῶν τὰ δέοντα ποιῶν ἐν αὐτῷ δείκνυσιν ἡμῖν τὰ μέτρα τῆς ἀνθρωπίνης φύσεως. Διὰ τοῦτο νηστεύσας ἡμέρας τεσσαράκοντα ὕστερον ἐπείνασεν, ἵνα ἡμῖν δείξῃ ὑπὲρ ἀγάπης μήτε πεινῶντας ἐκκακεῖν ἢ ἐπακούειν τοῦ διαβόλου, τοὺς

2 διαμείνει. 6 πνεῦμα τὸν υἱὸν. 8 Πρβλ. Ἰωάν. 17, 3. 15 γένετο. 16 χρῆσμα. 17 ἔνωσις γέγωνεν. 19 οἰκειώσατο. 23 Πρὸς Ῥωμ. 8, 34. 25 ὀφίλοντες. 29 ἐπίνασεν. | Ματθ. 4, 2. Λουκ. 4, 2. 30 πινῶντας ἐνκακεῖν.

λίθους ἄρτους παρακελευομένου γενέσθαι. Οὕτω καὶ διψᾷ καὶ κοπιᾷ καὶ καθεύδει καὶ μετὰ ἁμαρτωλῶν ἐσθίει καὶ προσεύχεται, καὶ μὴ εἰδέναι τὸν υἱὸν τὴν ὥραν ἢ τὴν ἡμέραν τῆς συντελείας λέγει, καὶ εἰς γάμους ὑπάγει καὶ συλλυπεῖται ἐπὶ τῇ πωρώσει, καὶ περίλυπος γίνεται ἕως θανάτου καὶ ἁμαρτωλοῖς συνεσθίει, καὶ τὸ τοῦ θανάτου ποτήριον εὔχεται εἰ δυνατὸν παρελθεῖν καὶ κλαίει ἐπὶ νεκρῷ, καὶ ἰχθύας ἀγρευθῆναι ἐκέλευσεν, καὶ τροφὰς ἀγοράσαι οὐκ ἀνέτρεπεν, καὶ ἁπαξαπλῶς ὅσα εἶναι δυνατὸν ἐν πιστοῖς ἀνθρώποις, ἐκτὸς ἁμαρτίας, πάντα ἀνεδέξατο καὶ ὑπέδειξεν· οὐ γὰρ μόνον τὴν σάρκα ἡμῶν ἀνέλαβεν ἀλλὰ καὶ κατὰ φύσιν αὐτῆς τὰ πράγματα χωρὶς ἁμαρτίας, ἵνα γνῶμεν ὅτι οὐδὲν τῶν φυσικῶν ἀναγκάζει εἰς ἁμαρτίαν. Ὅταν δὴ οὖν ἀκούσῃς ὅτι σωματικόν τι ἢ ἀνθρώπινον ὁ Ἰησοῦς ἐποίησεν ἢ ἐλάλησεν, μὴ ὡς ἀδυναμοῦντα ποιῆσαι τὸ μεῖζον ἡγοῦ, ἀλλὰ θαύμαζε αὐτοῦ τὴν φιλανθρωπίαν καὶ τὴν εἰς ἡμᾶς συγκατάβασιν· εἰ γὰρ δι' ἡμᾶς ἐνηνθρώπησεν, δῆλον ὅτι δι' ἡμᾶς καὶ λαλεῖ καὶ ποιεῖ καὶ πάσχει τὰ ἀνθρώπινα. Μὴ οὖν τῷ δι' ἡμᾶς ἀνθρωπίνῳ γεγενημένῳ πράγματι σύγκρινε τὴν πᾶσαν τοῦ Χριστοῦ δύναμιν, ὡς διὰ τοῦτο μερίζειν αὐτὸν κατὰ τὰς διαφορὰς τῶν πραγμάτων καὶ τὰ μὲν ἐπιγράφειν ψιλῇ τῇ σαρκί, τὰ δὲ γυμνῇ τῇ θεότητι.

30. Ἐπειδὴ δὲ οὐχὶ πιστεύειν ταῖς ἐντολαῖς αὐτοῦ ἀλλ' ἐνδελεχεῖν εἰς τὰ ἀπόκρυφα μεμαθήκαμεν, ἴσως καὶ τοῦτο ἐννοήσας ἐρεῖς μοι· «εἰπὲ τίνα ἐγέννησεν ὁ πατὴρ πρὸ Ἑωσφόρου, κατὰ τὴν Γραφήν, τὸν Θεὸν Λόγον ἢ τὸν ἄνθρωπον»; Κἀγώ σοι λέγω ὅτι κατὰ φύσιν τὸν Θεὸν Λόγον, κατὰ χάριν δὲ ὠκειώσατο καὶ τὸν ἄνθρωπον εὐδοκίᾳ Θεοῦ πατρός, κατὰ τὴν Γραφὴν λέγουσαν «οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα»· ἐπεί, εἰ μὴ ἦν ἡνωμένος οὐκ ἂν ἦν αὐτῷ τὸ ὄνομα «Ἰησοῦς Χριστὸς» ἀλλὰ «Θεοῦ Λόγος», καθὼς ἀπ' ἀρχῆς· εἰ δὲ μή, σύ μοι εἰπὲ τίνος χάριν οἱ ἀπόστολοι γυμνὸν τὸν Λόγον οὐκ ἐκήρυξαν υἱὸν Θεοῦ ἀλλὰ πανταχῇ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον; Εἰ δῆλον ὅτι

2 καθεύδῃ. 4 ὑπάγῃ καὶ συνλυπεῖται ἐ. τ. πορώσει. 11 χορις. 16 ποιῇ. 21 ἐπι δή. 25 οἰκιώσατο. 27 Matth. 3, 17.

διὰ τὴν ἕνωσιν υἱός ἐστιν ἀνθρώπου ὁ κύριος Ἰησοῦς Χριστός, οὐχὶ διὰ ψιλὴν σάρκα ἀλλὰ διὰ ἕνωσιν τῆς ἁγίας σαρκός. Καὶ υἱὸς δὲ Θεοῦ ὁμοίως οὐ διὰ γυμνὸν τὸν Λόγον ἀλλὰ διὰ ἕνωσιν τοῦ Λόγου· ἕτερον γάρ ἐστιν ἰδιότης καὶ ἕτερον ἕνωσις. Ἕνωσιν δὲ λέγομεν μυστικὴν καὶ ἀσύγχυτον· οὔτε γὰρ ὁ Λόγος εἰς σάρκα ἐτράπη, οὔτε ἡ σὰρξ ἀνελύθη εἰς Λόγον. Ἀλλά, μένοντος τοῦ Λόγου ὅπερ ἦν καὶ οὔσης τῆς σαρκὸς ὅπέρ ἐστιν, ηὐδόκησεν ὁ Θεὸς Λόγος κατὰ βουλὴν Θεοῦ πατρὸς ἑνωθῆναι τῇ σαρκὶ ἐκ μήτρας· ἀσυγχύτως γὰρ διαμενούσης ἑκάστης φύσεως, οὐδ' ὁποτέρα αὐτῶν ἐν Χριστῷ μεμερισμένην ἔχει τὴν ἰδιότητα, οὐδὲ ἐν τοῖς ὀνόμασιν οὐδὲ ἐν τοῖς πράγμασιν. Ὁ γὰρ ὀνομαζόμενος υἱὸς ἀνθρώπου Χριστός, ὁ αὐτὸς ὀνομάζεται καὶ υἱὸς Θεοῦ κατὰ τὴν Γραφήν· φησὶν γὰρ τῇ ἁγία Μαρία «πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ» διὰ τὴν ἐκ μήτρας ἕνωσιν. Αὐτὸς δὲ καὶ ἐλάλει καὶ ἐδίδασκεν καὶ τὰ θεῖα ἐποίει καὶ τὰ ἀνθρώπινα ἔπασχεν· τὰ θεῖα μὲν γάρ, εἰ καὶ Λόγος, ἐποίει· ὅμως οὐ γυμνὸς ἀλλ' ἡνωμένος θεότητι. Οὔτε οὖν τοῦ Λόγου οὔτε τῆς σαρκὸς τροπὴν λέγομεν, ἀλλὰ ἀδιαίρετον τὴν ἕνωσιν αὐτοῦ ὁμολογοῦμεν. Οὕτως δὴ οὖν καὶ τὸν Λόγον ἀπαθῆ νοοῦμεν, καὶ υἱὸν Θεοῦ εἶναι τὸν ὑπὲρ ἡμῶν παθόντα πεπιστεύκαμεν, ἐπειδὴ ἑκάστη φύσις ἐν ἑαυτῇ μένουσα τὰ τῆς ἑτέρας δι' ἡμᾶς θεοπρεπῶς ᾠκειώσατο, ὅπως ὁ ἐξ ἀμφοῖν Χριστὸς μεσίτης Θεοῦ καὶ ἀνθρώπων γένηται καὶ εἷς υἱὸς Θεοῦ καὶ νοοῖτο καὶ πιστεύοιτο ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ δυνάμει καὶ πράγματι, κατὰ τὴν θείαν Γραφήν. Χριστῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

4 ἰδιώτης. 13 Lucae 1, 35. 16 ἐποίη. 20 δεῖ. 22 οἰκειώσατο.

V.

Λείψανον ἐγκωμίου εἰς Κωνσταντῖνον Πορφυρογέννητον.

(Cod. S. Crucis n° 31).

....σθον. Τις γὰρ καὶ καυχήσεται καθαρὸς ἀπὸ ῥύπου; μόνου γὰρ Θεοῦ τὸ παντελῶς ἄπταιστον καὶ ἀνάλωτον. Ἀλλ' οὖν καὶ ταῦτα οὐκ ἔξω λόγου καὶ λυσιτελοῦς διακρίσεως ὠκονόμητο· πρὸς γὰρ τὰ μείζω ἀεὶ τὴν ἀμιλλαν ὡς μεγαλοπρεπὴς εἶχεν, ἃ καὶ σπουδαίως κατώρθου. Καὶ τοῦτο δῆλον τοῖς ἀδεκάστω γνώμῃ καὶ ψυχῆς εὐθύτητι κρίσιν κρίνουσι. Καὶ οὐδεὶς εὖ οἶδ' ὅτι τῶν εὖ φρονούντων τούτοις ἀντερεῖ πάντως, ἀλλὰ τὴν νικῶσαν ἐφ' ἅπασι ψῆφον τούτῳ προσοίσει· κρείττω γὰρ ἢ κατὰ ἄνθρωπον ἀεὶ συντετριμμένη καρδία τὴν διάνοιαν εἶχε. Διὸ τὴν τοῦ λόγου διακόψαντες ῥύμην πρὸς τὸν εὐφημούμενον ἐπανίωμεν, καὶ τοῦτον πᾶσι τοῖς ἐν καλοῖς διαπρέψασι παραθέντες ἴσον ἢ καὶ μείζονα σαφῶς ἀποδείξωμεν, μᾶλλον δὲ μὴ σθένοντές τινα τάχα τῶν νῦν ἢ τῶν πάλαι πρὸς τὸ ὑπερβάλλον τῆς τοῦ αὐτοκράτορος ἀρετῆς παρισῶσαι τὴν παράλληλον σύγκρισιν διὰ τὸν τοῦ λόγου καταλείψωμεν κόρον· ἱκανὸς γὰρ οὗτος, οἶμαι, καὶ τοῖς λίαν πρὸς τὸ τὰ ἐκείνου λέγειν τε καὶ ἀκούειν ἀκορέστως ἔχουσιν. Ἑαυτοὺς δὲ διὰ βίου ἐνθέου καὶ πολιτείας ἀρίστης προσοικειώσωμεν τῷ τὰ ἡμῶν οἰκειωσαμένῳ Θεῷ, δι' ὧν κἀκεῖνος αὐτῷ προσῳκείωται· τοῦτο γὰρ καὶ ὁ πλάσας ἡμᾶς ὑπὲρ ἅπαντα βούλεται.

2. Ἀλλ' ὦ πάντων καλῶν ἀρχέτυπον καὶ εἰκόνισμα καὶ ἐκσφράγισμα, ὦ βασιλεῦ τῶν ἐν στέφει πάντων διαλαμψάντων, ὡς ἐντολὴν Θεοῦ στρεβλότητι καὶυπέβαλε καὶ ὅσους βορβόρου καὶ ἄλλων ἀπευκτῶν ὀδμῶν ἐνέπλησε, πελματισμοῖς τε καὶ κλοιοῖς βαρέσι, πασσάλοις καὶ ἀνασκολοπισμοῖς, ἱμᾶσι καὶ τυμπανισμοῖς, ξίφεσί τε καὶ ῥάβδοις ἠκανθωμένοις καὶ ἁπαξαπλῶς ἀνυποίστοις σφοδρα τιμωρίαις ὠμοτάτως τουτους παρέδωκεν. ἐν τοῦτο προσθεὶς καταπαύσω τὸν λόγον. Τὴν ἐναγῆ στρατιὰν αὐτοῦ τῇδε κἀκεῖσε διὰ τὸ ὑπὲρ ἄμμον πληθύνεσθαι καὶ πανταχόθεν λῃΐζεσθαι τοῦ μιαροῦ καταπέμψαντος, ὁ τηνικαῦτα τῶν σκήπτρων ἐπειλημμένος Ῥωμανόν— οἶδ' ὅτι πάντες τὸν παλαιὸν ἐκεῖνον ἀκούετε—σχετλιῶν καὶ πάνυ ἐξαπορῶν ὅ τι καὶ δράσειεν ἅτε. πολλοὺς τῶν ἐν δυναστείᾳ καὶ κατὰ συγγένειαν αὐτῷ προσηκόντων κατασκοπῆσαι μόνον ἐξαποστείλας, καὶ μόλις κατιδὼν αὐτοὺς ἐκεῖθεν περισωθέντας—οὐδὲ γὰρ ἀντωπῆσαι ὅλως ἢ ἀντιπαρατάξασθαι τῷ ἐχθρῷ οἷόν τε ἦν- μέσων νυκτῶν ἐν πάσῃ ἀγυιᾷ τοῦδε τοῦ ἄστεος οὕτωσί διεκήρυττεν· «εἴτις γε βούλοιτο λήψεσθαι χρήματα καὶ τοῖς ἀλλοφύλοις ἀνταγωνίσασθαι, πρὶν ἢ τὸν ἥλιον διαλάμψαι ἔνθα τοῖς ἄναξι τὸ σφαιρίζειν σύνηθες ἡκέτω πρόθυμος»! Πολλῶν οὖν καὶ χυδαίων τῇ προσούσῃ πενίᾳ πιεζομένων συνειλεγμένων ἐκεῖσε καί τινων γενομένων ἐναπογράφων, καὶ τῶν μὲν κατ' ἐκλογὴν ἑτέρῳ, τῷ ἐν μαγίστροις ἠριθμημένῳ — Πόθος ὄνομα τούτῳ κατὰ τοὺς Ἀργυροὺς.....

VI.

Λόγος τοῦ μεγάλου βασιλέως κυροῦ

ΑΛΕΞΙΟΥ ΚΟΜΝΗΝΟΥ

ἐκδοθεὶς παρ' αὐτοῦ πρὸς Ἀρμενίους δοξάζοντας κακῶς μίαν φύσιν ἐπὶ Χριστοῦ.

(Cod. Sabb. 366, fol 246ᵃ—249ᵃ).

1. Μάτην, ὦ Ἀρμένιε, ἀναγκάζεις τοὺς εὐσεβῶς πιστεύοντας ἢ μίαν φύσιν σύνθετον ἐπὶ τοῦ Χριστοῦ ὁμολογῆσαι, ὡς τῶν δύο ἑνωθεισῶν κατὰ σὲ καὶ γενομένων μιᾶς, ἢ δύο θεοὺς δοξάζειν· ἃ καὶ ἄμφω ὑπάρχουσιν ἄτοπα. Γνῶθι οὖν, ὡς ἐν παραδείγματι, ὅτι οὕτως ἐν σαρκὶ ἡ θεότης, ὡς τὸ πῦρ ἐν σιδήρῳ, οὐ μεταβατικῶς ἀλλὰ μεταδοτικῶς· οὐ γὰρ ἐκτρέχει τὸ πῦρ πρὸς τὸν σίδηρον. Μένον δὲ κατὰ χώραν μεταδίδωσιν αὐτῷ τῆς οἰκείας δυνάμεως· ὅ περ οὐδὲ ἐλαττοῦται τῇ μεταδόσει καὶ ὅλως πληροῖ ἑαυτοῦ τὸ μετέχον. Κατὰ τοῦτον δὴ τὸν λόγον καὶ ὁ Θεὸς Λόγος οὔτε ἐκινεῖτο ἐς ἑαυτοῦ καὶ ἐσκήνωσεν ἐν ἡμῖν, οὔτε τροπὴν ὑπέμεινεν καὶ ὁ Λόγος σὰρξ ἐγένετο. Ὅταν οὖν εἴπωμεν τὸν ἀπανθρακωθέντα σίδηρον «πεπυρακτωμένον σίδηρον», διὰ τοῦτο λέγομεν «πεπυρακτωμένον» ὅτι περιεχώρησεν ἐν ὅλῳ τῷ σιδήρῳ τὸ πῦρ καὶ μετέσχεν οὗτος τῆς τοῦ πυρὸς λαμπρότητος καὶ τῆς καυστικῆς δυνάμεως, οὐχ ὅτι δὲ φύσει γέγονε πῦρ ὁ σίδηρος, οὔτε μὴν

πάλιν ὅτι τὸ πῦρ σίδηρος γέγονεν· ἄμφω γὰρ αἱ φύσεις, ἥ τε τοῦ πυρὸς καὶ τοῦ σιδήρου, ἀναλλοίωτοι μένουσι καὶ λέγομεν τὸ ὅλον σίδηρον «πεπυρακτωμένον» διὰ τὴν ἐν αὐτῷ περιχώρησιν τοῦ πυρός, ἑκατέρου τὰ κατὰ φύσιν οἰκεῖα ἔχοντος καὶ ἐνεργοῦντος διὰ τὴν τῆς φύσεως ἑτερότητα.

2. Ὥσπερ οὖν λέγομεν δύο φύσεις ἐπὶ τοῦ πυρακτωθέντος σιδήρου, τήν τε τοῦ πυρὸς καὶ τὴν τοῦ σιδήρου, ἀναλλοιώτους ἀμφοτέρας καὶ ἀτρέπτους — μένει γὰρ καὶ τὸ τοῦ σιδήρου βάρος καὶ τὸ παχυμερὲς καὶ τὸ τοῦ πυρὸς λαμπρόν τε καὶ καυστικόν — καὶ λέγοντες πυρακτωθῆναι τὸν σίδηρον οὐ νοοῦμεν φύσεως γενέσθαι μεταβολὴν ἀλλὰ τῶν τοῦ πυρὸς ἐνεργειῶν μετασχεῖν τὸν σίδηρον, ὡς καὶ μίαν ὑπόστασιν εἶναι τόν τε σίδηρον καὶ τὸ χρῶσαν αὐτὸν πῦρ, αἱ δὲ φύσεις μένουσι πάλιν δύο ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει, οὕτω καὶ ὁ Θεὸς Λόγος Θεὸς ὢν τέλειος καὶ τέλειος ἄνθρωπος γεγονὼς τὸ πρόσλημμα ἐθέωσεν ἅμα τῇ ἑνώσει διὰ τὸ ἐν τῷ προσλήμματι περιχωρῆσαι τὴν θείαν φύσιν καὶ ἐν αὐτῷ καὶ δι' αὐτοῦ ἐνεργεῖν τὰ θεῖα, καὶ πάλιν τὴν ἀνθρωπότητα ἐνεργεῖν τὰ οἰκεῖα χωρὶς ἁμαρτίας κατὰ φύσιν καὶ κατ' οὐσίαν, μείνασαν ὅπερ ἦν καὶ ἀχώριστον τῆς τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ ὑποστάσεως διὰ τὴν ἐν αὐτῇ, ὡς εἴρηται, ἄκραν τούτου ἕνωσιν· οὔτε γὰρ αἱ ἐν τῷ Χριστῷ δύο φύσεις σύγχωσίν τινα ἐκ τῆς καθ' ὑπόστασιν ἑνώσεως ἔπαθον, οὔτε ἡ μία σύνθετος α[ὐτοῦ] ὑπόστασις διαίρεσιν ἐπιδέχεται, ἀλλ' ὑπόστασις αὐτοῦ μία καὶ μετὰ τὴν ἕνωσίν ἐστι καὶ ἀδιαίρετος, αἱ δὲ φύσεις δύο.

3. Καὶ λοιπόν, Ἀρμένιε, πίστευε τὸ τοῦ Κυρίου ἀνθρώπινον μὴ κατ' οὐσίαν τραπῆναι ἀλλὰ τῇ καθ' ὑπόστασιν ἑνώσει θεωθέν, ὡς ἄνωθεν εἴρηται, καὶ μὴ βιάζου τοὺς εὐσεβεῖς, ἵνα εἴτε μίαν φύσιν πιστεύωσιν ἐπὶ Χριστοῦ γενέσθαι τὰς δύο, εἴτε πάλιν διὰ τὴν θέωσιν τοῦ προσλήμματος δύο θεοὺς πιστεύωσι· λέγεται γὰρ καὶ ἔστιν ὁ σίδηρος ὁ πυρακτωθεὶς «σίδηρος πεπυρακτωμένος», λέγεται δὲ καὶ «πῦρ» τῇ πυρώσει, λέγεται καὶ ἡ τοῦ Κυρίου σὰρξ «τεθεωμένη σάρξ», λέγεται δὲ καὶ «Θεὸς» τῇ θεώσει. Εἰ οὖν ὑπολαμβάνεις ταύτην φύσει θεωθῆναι καὶ ἀπολέσαι

τὴν οἰκείαν φύσιν, λοιπὸν ὑπολάμβανε καὶ τὸν πυρακτωθέντα σίδηρον ἀπολέσαντα τὴν οἰκείαν φύσιν. Ἀλλὰ μὴν οὔτε τὸ πῦρ οὔτε ὁ σίδηρος ἀπώλεσαν τὰ οἰκεῖα φυσικὰ ἰδιώματα, ἀλλὰ μένει ἑκατέρα φύσις ἀναλλοίωτος, ἡ μὲν τοῦ πυρὸς λαμπρὰ καυστική, ἡ δὲ τοῦ σιδήρου παχεῖα καὶ βαρεῖα, μέλαινά τε καὶ ψυχρὰ κατὰ τὴν οἰκείαν φύσιν, ὡς δείκνυται ἐκ τῆς διαστάσεως· ὅταν γὰρ ὁ σίδηρος διαστῇ τοῦ πυρός, εὐθὺς φανερῶς διαφαίνεται μετὰ τῶν ἄλλων καὶ ἡ ἐν αὐτῷ μελανία καὶ ψυχρότης, ἐπεὶ ἡ λαμπρότης καὶ ἡ θερμότης ἡ ἐν αὐτῷ τοῦ ἐν αὐτῷ περιχωρήσαντος πυρὸς ἦν, οὐ μὴν τοῦ σιδήρου· διὰ τοῦ πυρὸς γὰρ οὗτος ἐλαμπρύνετο καὶ ἐθερμαίνετο. Καὶ διὰ τοῦτο χωρισθεὶς τοῦ πυρὸς χωρίζεται καὶ τῶν τούτου ἐνεργειῶν καὶ φαίνεται ἡ ἐν αὐτῷ φυσικῶς ἐνυπάρχουσα μελανία καὶ ψυχρότης· εἰ γὰρ διὰ τῆς ἑνώσεως ἀπώλεσεν οὗτος τὴν οἰκείαν φύσιν, οὐκ ἂν ποτε ταύτην ἠδυνήθη εὑρεῖν. Ἂν γὰρ εἶδος ἔχει φύσιν οἰκείαν, καὶ εἰ ἀπολέσει ταύτην, οὐκέτι εὑρεῖν αὐτὴν δυνήσεται. Οὕτως οὖν, ὡς ἐν ὑποδείγματι, δέξαι καὶ τὴν τῆς σαρκὸς τοῦ Κυρίου θέωσιν καὶ λέγε ταύτην σάρκα τεθεωμένην, οὐδεμίαν τροπὴν δεχομένης ἑκατέρας τῶν φύσεων οὐδὲ μετὰ τὴν ἕνωσιν, ὥσπερ καὶ ἐπὶ τοῦ σιδήρου καὶ τοῦ πυρὸς ἀποδέδεικται, καὶ τότε πιστεύεις τὸν ἀληθινὸν Χριστὸν καὶ Θεὸν ἡμῶν Θεὸν τέλειον καὶ τέλειον ἄνθρωπον, ὑπόστασιν μίαν, σύνθετον ἐκ θεότητος καὶ ἀνθρωπότητος.

4. Πλήν, Ἀρμένιε, ὁ μὲν σίδηρος καὶ πρὸ τῆς ἑνώσεως τὴν ὕπαρξιν εἶχε καὶ ἰδία ὑπόστασις ἦν καὶ ἐν τῇ ἰδίᾳ ὑποστάσει μετέλαβε τῆς τοῦ πυρὸς λαμπρότητος καὶ τῆς καυστικῆς δυνάμεως, καὶ γεγόνασιν ἄμφω ὑπόστασις μία, ὅ τε σίδηρος καὶ τὸ πῦρ, αἱ δὲ φύσεις εἰσὶ δύο. Ἐπὶ δὲ τῆς προσληφθείσης τῷ Θεῷ Λόγῳ σαρκὸς οὐχ οὕτως ἦν, ἀλλ' ἐν τῇ ὑποστάσει τῆς αὐτοῦ θεότητος καὶ τὴν ἀρχὴν τῆς συστάσεως καὶ τὴν σύμπηξιν καὶ διάπλασιν αὕτη ἔλαβεν ἐκ τῶν πανάγνων αἱμάτων τῆς Θεοτόκου. Καὶ ἀναπαυθήτω ὁ λογισμός σου, ἵνα καὶ θεωθεισαν ὁμολογῇς τὴν τοῦ Κυρίου σάρκα διὰ τὴν ἐν αὐτῇ ἄκραν περιχώρησιν τῆς αὐτοῦ θεότητος, καὶ αὐθις μένουσαν σῶμα κατὰ φύσιν· διὰ τοῦτο γὰρ

καὶ ὁ μὲν Θεολόγος τάδε κατὰ ῥῆμα διέξεισι· «Θεὸς δὲ λέγοιτο ἂν οὐ τοῦ Λόγου—πῶς γὰρ ἂν εἴη τοῦ κυρίως Θεοῦ Θεός;—τοῦ ὁρωμένου δέ. Ὡς περ οὖν καὶ Πατὴρ οὐ τοῦ ὁρωμένου, τοῦ Λόγου δέ». Ὁ δὲ μέγας Βασίλειος ταῦτά φησι. «Θεὸς ἐν ἀνθρωποις οὐ διὰ πυρὸς καὶ σάλπιγγος καὶ ὄρους καπνιζομένου ἢ γνόφου καὶ θυέλλης ἐκδειματούσης τὰς ψυχὰς τῶν ἀκροωμένων νομοθετῶν, ἀλλὰ διὰ σώματος ἡμέρως καὶ προσηνῶς τοῖς ὁμογενέσι διαλεγόμενος». Πῶς οὖν, ὦ Ἀρμένιε, τοῖς ὁμογενέσι διελέγετο ὁ Θεός, εἰ μὴ τὸ προσληφθὲν αὐτῷ σῶμα ἔμεινε σῶμα ὁμογενὲς ἡμῖν καὶ οὕτω πρὸς ὁμογενεῖς ἀνθρωπίνως διελέγετο; τὸ ὁμογενὲς γὰρ ἡμῖν ὁμολογουμένως σῶμά ἐστι. Καὶ πάλιν ὁ αὐτὸς ἅγιός φησιν ὅτι «διὰ τῆς συμφυοῦς ἡμῶν σαρκὸς αὐτοῦ πρὸς ἑαυτὸν ἐπανήγαγεν ὁ Θεὸς Λόγος πᾶσαν τὴν ἀνθρωπότητα». Τίς οὖν ἐστιν ἡ συμφυὴς ἡμῶν σὰρξ αὐτοῦ, εἰ Θεὸς κατ' οὐσίαν τὸ πρόσλημμα γέγονεν; εἰ γὰρ Θεὸς κατ' οὐσίαν τοῦτο, οὐ συμφυὲς ἡμῖν. Καὶ ἀπώλετο λοιπὸν καὶ ἡ ἡμῶν πρὸς Θεὸν ἐπαναγωγή, καὶ κινδυνεύει καθ' ὑμᾶς ἄπρακτον μεῖναι τὸ τῆς οἰκονομίας μυστήριον.

5. Πειθέτω σε πρὸς τούτοις καὶ ἡ τοῦ Κυρίου κατὰ σάρκα σταύρωσις καὶ ἡ νέκρωσις· ἔπαθε γὰρ σαρκὶ φύσει παθητῇ καὶ θάνατον ὑπέμεινεν οὐχ ἡ θεότης ἀλλ' ἡ σάρξ· ἡ γὰρ θεότης ἀπαθὴς κατὰ φύσιν ὑπάρχουσα ἀπαθὴς διέμεινεν, ἡ δὲ σὰρξ ἔπαθε παθητὴ οὖσα, ὡς εἴρηται. Διὰ τοῦτο οὖν δύο φύσεις ἐπὶ τῆς μιᾶς τοῦ Χριστοῦ ὑποστάσεως, ἡ μὲν παθητή, ἡ δὲ ἀπαθής. Καὶ εἰς ἄνθρωπον φρόνιμον καὶ σύνεσιν ἔγοντα ἀμφιβολίαν τινὰ τοῦτο οὐ δίδωσιν, οὔτε μὴν ὅλως πάροδον, κἂν ψιλήν τινα διχόνοιαν παρέχῃ, ἀναμφίβολον ὂν πάντῃ καὶ ἀπαράγραπτον. Φύσει γὰρ παθητὴ ἡ σὰρξ καὶ φύσει ἀπαθὴς ἡ θεότης, Ἀρμένιε, πληροφορήθητι· ἀναμφίβολον γάρ ἐστι τοῦτο καὶ ἀληθές. Ὁ Χριστὸς καὶ ἀβλαβὴς διατηρεῖται ἀπὸ τῶν ἐναντίων προσβολῶν. Δέξαι οὖν, Ἀρμένιε, τὴν βασιλείαν μου σύμβουλον καὶ μὴ θελήσῃς ἐμμεῖναι σαθρῷ θεμελίῳ καὶ πάντῃ ψευδεῖ καὶ ἀνισχύρῳ, ὅπερ σοι παρεδόθη διὰ τῶν κακίστων διδασκάλων τῶν Ἀρμενίων· ἀλλ' ἀπόστηθι ἐξ αὐτοῦ καὶ ἀκούμβισον ἐπὶ τὴν

πέτραν, ἥτις ἐστὶν ὁ Χριστός, ὡς δεδήλωται, καὶ ἐπ' αὐτῇ τῇ πέτρα ἐποικοδόμει τὰς ἀγαθάς σου ἐργασίας, ἵνα τέλειον καὶ μόνιμον τὸν ἐν σοὶ οἶκον καταρτίσῃς.

6. Τί οὖν ἄλλο ἐστὶν ἀτοπώτερον καὶ τῆς ἀληθείας πάντῃ ἀλλότριον παρὰ τὸ ὑπονοῆσαι ὅλως κἂν ψιλῇ ὑπονοίᾳ, μή τι γε πιστεῦσαι, ὅτι ἡ θεία φύσις ἦν ἐλλιπὴς καὶ χρείαν ἔσχε τοῦ δέξασθαι αὔξησιν ἐκ τοῦ προσλαβέσθαι ἑτέραν φύσιν καὶ μεταβαλεῖν εἰς τὴν ἑαυτῆς φύσιν, ὅπερ ἡ τῶν Ἀρμενίων δογματίζει διδασκαλία; τοῦτο γὰρ μεστόν ἐστι πάσης ἀσεβείας καὶ παντελοῦς ἀφροσύνης. Ἡ γὰρ θεία φύσις ἀπροσδεής ἐστι καὶ ὑπερπλήρης καὶ παντέλειος καὶ οὐκ ἦν οὔτε ἔστιν οὔτε ἔσται ὅτε οὐκ ἦν, ἀεὶ ὡσαύτως ἔχουσα· πάντα μὲν γὰρ πληροῖ ὡς δημιουργικὴ καὶ προνοητικὴ καὶ ἀγαθοποιός, καὶ παράγει πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. Αὐτὴ δὲ οὔτε παρήχθη οὔτε γέγονεν, οὔτε ἀναπληρώσεως ἐδεῖτο ἢ ἐδέξατο πώποτε ἀναπλήρωσιν· ἀεὶ γὰρ ἦν ὑπερπλήρης καὶ ἔστι καὶ ἔσται. Εἰ οὖν οὕτως ἔχει ἡ ἀλήθεια, ὡς καὶ πάντες οἱ ὀρθόδοξοι χριστιανοὶ πιστεύομεν καὶ αὐτὴ ἡ ἀλήθεια μαρτυρεῖ, κακῶς παρέδωκεν ὁ διδάσκαλος τῶν Ἀρμενίων τὴν ἐπὶ τοῦ ἀληθινοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν καθ' ὑπόστασιν ἕνωσιν τῶν δύο φύσεων καὶ τὴν τῆς σαρκὸς τοῦ Κυρίου θέωσιν, διδάσκων αὐτοὺς μίαν φύσιν γεγενῆσθαι τήν τε τοῦ Λόγου θείαν φύσιν καὶ τὴν τῆς προσληφθείσης σαρκὸς αὐτῷ οὐσίαν· εἰ γὰρ τοῦτο γέγονεν, ὡς ἄνωθεν εἴρηται κατὰ τὸν διδάσκαλον τῶν Ἀρμενίων, λοιπὸν αὔξησιν ἐδέξατο ἡ ὑπερπλήρης καὶ ὑπερτέλειος καὶ ἀνενδεὴς θεία φύσις, καὶ τρόπον τινὰ ἀναπληρωτικὴν τῆς θείας φύσεως τὴν τῆς σαρκὸς οὐσίαν ὁ τῶν Ἀρμενίων παρέδωκε διδάσκαλος. Καὶ ἔστι κατ' αὐτὸν ἀνενδεὴς καὶ ὑπερπλήρης καὶ ἀνθρωπίνη φύσις, καὶ διὰ τοῦτο ἀνεπλήρωσε τὸ κατὰ τοὺς Ἀρμενίους ἐλλεῖπον τῇ θείᾳ φύσει.

7. Ἄτοπον οὖν, ἄτοπον τοῦτο, Ἀρμένιε, καὶ ἄξιον θρήνου καὶ γέλωτος, γέλωτος μὲν διὰ τὸ παντὶ ἀφρονέστατον νόημα, θρήνου δὲ ὅτι εἰς τοσοῦτον χάσμα ἀγνοίας καταχρημνίζει τοὺς τοῦτο προσδεχομένους· εἰ γὰρ καὶ τῇ ὁμαδικῇ καὶ παχυμερεῖ ὁμολογίᾳ οὐχ ὁμολογεῖτε τοῦτο διὰ τῶν χειλέων ὑμεῖς, ἀλλά γε τοῦτο συν-

ἄγετε ἐφ' ᾧ ὁμολογεῖτε. Καὶ εἰ κλείσεις τὴν θύραν σου, κατὰ τὸν Εὐαγγελιστήν, καὶ παρακαλέσεις τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς ἐλευθέρως, αὐτός σοι διαφωτίσει τὸ ἀληθὲς καὶ ἀποδείξει σοι τὴν ἐσκοτισμένην πάντῃ καὶ ἐξοφωμένην τῶν Ἀρμενίων διδασκαλίαν, ὅτι παρέδωκέ σοι τὸ περὶ τὴν πίστιν ἄτοπον. Καὶ τότε πάντως νοήσεις ὅτι καὶ ἐνδεῆ καὶ ἀτελῆ τὴν θείαν φύσιν ἡ τῶν Ἀρμενίων διδασκαλία παραδίδωσι.

8. Τί οὖν ζητεῖς, Ἀρμένιε, μάρτυρα τὸν ἅγιον Κύριλλον διὰ τῶν παρ' ἐκείνου ἀναθεματισθέντων κεφαλαίων, ἢ τὸν Θεολόγον ἢ ἕτερόν τινα τῶν ἁγίων ἢ τῶν ἄλλων ὀρθοδόξων; Ἂν τοῦτο ζητῇς, οὐδένα τούτων εὑρήσεις εἰς τοῦτο συμμαρτυροῦντά σοι· κάκιστον γάρ ἐστι τοῦτο, καὶ οἱ μάρτυρες τούτου κακόφρονες. Οἱ δὲ ἅγιοι κάλλιστα καὶ νοοῦσι καὶ μαρτυροῦσιν, ἐκ Θεοῦ τὴν θείαν δεξάμενοι ἔλλαμψιν. Τούτων οὖν καὶ σὺ τῇ διδασκαλίᾳ πείσθητι καὶ τῆς τῶν Ἀρμενίων διδασκαλίας ἀπόσχου, ὅπως ῥυσθείης τῆς ἀπωλείας εἰς ἣν οὗτοι ἑαυτούς τε καὶ τοὺς ἀκολουθήσαντας αὐτοῖς ἐνέρριψαν· «εἰ γὰρ τυφλὸς τυφλὸν ὁδηγεῖ, ἀμφότεροι εἰς τὸν αὐτὸν βόθυνον ἐμπεσοῦνται καὶ ἀπολοῦνται».

9. Ἐρωτήσω δέ σε, Ἀρμένιε, μικρόν· σὺ δέ μοι ἀπόκριναι. Ἄλλο ἐστὶν ὑπόστασις καὶ ἄλλο ἐστὶ φύσις ἢ οὔ; Ὁμολογήσεις πάντως ὅτι ἄλλο ἐστὶ φύσις καὶ ἄλλο ὑπόστασις. Καὶ δῆλον ἐκ τοῦ μίαν μὲν εἶναι τὴν θείαν φύσιν, τρεῖς δὲ τὰς αὐτῆς ὑποστάσεις. Καὶ διὰ τοῦτο πιστεύομεν οἱ χριστιανοὶ τριάδα ὑποστάσεων ὁμοούσιον. Ἐπεὶ οὖν ἀποδέδεικται ὅτι ἄλλο ἐστὶν ὑπόστασις καὶ ἄλλο φύσις, τὴν ἐπὶ τοῦ Χριστοῦ τῶν δύο φύσεων ἕνωσιν καθ' ὑπόστασιν νόει, Ἀρμένιε· τὰς δὲ δύο φύσεις μένειν ὡσαύτως δύο πίστευε, μήτε τῆς θείας φύσεως εἰς τὴν τῆς σαρκὸς μετατραπείσης, μήτε τῆς ἀνθρωπίνης εἰς τὴν θείαν φύσιν μεταβληθείσης· δύο γὰρ μεμενήκασιν αἱ τοῦ Χριστοῦ φύσεις καὶ μετὰ τὴν ἕνωσιν ἄτρεπτοι καὶ ἀσύγχυτοι, ὑπόστασις δὲ μία τῶν δύο φύσεων τῇ συνόδῳ. Μὴ οὖν ἀπατῶ ἐπὶ τῷ τοῦ ἁγίου Κυρίλλου λογίῳ τῷ λέγοντι «μὴ δεῖν συνάπτειν τὰς ὑποστάσεις ἐπὶ τοῦ ἑνὸς

2 Matth. 6, 6. 17 Πρβλ. Matth. 15, 14. Luc. 6, 39.

Χριστοῦ συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἀλλὰ μᾶλλον συνόδῳ τῇ καθ' ἕνωσιν φυσικῇ»· αὐτὸς γὰρ ἑαυτὸν σαφῶς ἑρμηνεύει ὅπως λέγει τὴν σύνοδον τὴν καθ' ἕνωσιν φυσικήν· λέγει γὰρ οὕτω κατὰ ῥῆμα μετά τινα ἐν τῇ ἑρμηνείᾳ τοῦ τρίτου ἀναθεματισμοῦ· «Ἀλλ' οὐχ οὕτω ταῦτα ἔχειν ὑπονοοῦσί τινες, τὸν ἄνθρωπον διιστάντες ἀνὰ μέρος καὶ ἰδικῶς συνῆφθαι (φασὶν) αὐτὸν τῷ ἐκ Θεοῦ πατρὸς φύντι Λόγῳ κατὰ μόνην τὴν ἀξίαν, ἤγουν αὐθεντίαν, οὐ καθ' ἕνωσιν φυσικήν, τουτέστιν ἀληθῆ, καθάπερ ἡμεῖς πιστεύομεν· οὕτω γάρ που φησι καὶ ἡ θεία Γραφή· «καὶ ἦμεν φύσει ὀργῆς τέκνα, ὡς καὶ οἱ λοιποί», τὸ «φύσει» ἀντὶ τοῦ «ἀληθῶς» λαμβάνουσα».

10. Λέγοντος οὖν τοῦ Νεστορίου τὴν τῶν δύο φύσεων Χριστοῦ καθ' ὑπόστασιν ἕνωσιν μὴ καθ' ὑπόστασιν εἶναι ἀλλὰ κατ' ἀξίαν μόνην καὶ αὐθεντίαν, καὶ διὰ τοῦτο δύο ὑποστάσεις εἰσάγοντος, ἀπέδειξεν ὁ ἅγιος ἐναργῶς ὅτι οὐ κατ' ἀξίαν ἢ αὐθεντίαν ἡ τῶν δύο φύσεων σύνοδος γέγονεν ἀλλὰ καθ' ἕνωσιν φυσικήν, ἤτοι ἀληθῆ, ὡς ἄνωθεν ἀποδέδεικται· καὶ τὸ τοῦ Ἀποστόλου ῥητὸν εἰς μαρτυρίαν παρήγαγε, τὸ λέγον ὅτι «ἦμεν τέκνα φύσει ὀργῆς», τὸ «φύσει» ἀντὶ τοῦ «ἀληθῶς» παραλαμβάνοντος. Δηλοῖ οὖν ἡ φυσικὴ ἕνωσις ἀληθῆ καθ' ὑπόστασιν ἕνωσιν, οὐ μὴν δὲ τῶν δύο φύσεων εἰς μίαν φύσιν ἀνάλυσιν ἐπὶ τροπῇ ἢ φυρμῷ μιᾶς τῶν δύο φύσεων ἢ καὶ ἀμφοτέρων. Εἰ μὴ γὰρ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀπέδειξεν ὁ ἅγιος, ὁ Νεστόριος δύο ὑποστάσεις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ δογματίζων παρεδέχθη ἄν. Ἀπέδειξεν οὖν ὁ ἅγιος μὴ δύο εἶναι ὑποστάσεις τὸν Χριστὸν ἀλλὰ μίαν, ἣ καὶ ἕνωσιν φυσικήν, ἤγουν ἀληθῆ, ὠνόμασεν.

11. Εἰ δὲ ἀναγκάζεις με, Ἀρμένιε, τὸν Θεοῦ χάριτι ὀρθόδοξον χριστιανόν, ἵνα σοι εἰπω σαφέστερόν τι περὶ τῆς θεώσεως τοῦ προσλήμματος τοῦ Κυρίου, ἐρῶ σοι πάντως τὸ ἐκ Θεοῦ μοι χορηγηθέν. Οἶδας ὅτι μόνος ὁ Θεός ἐστιν ἄτρεπτος φύσει καὶ οὐδέποτε πρὸς τὸ ἐναντίον κινεῖται· ἡ δὲ τῶν ἀνθρώπων φύσις καὶ αὐτὴ ἡ τῶν ἀγγέλων τρεπτή, ὅτι καὶ κτιστή. Καὶ διὰ τοῦτο καὶ ἄγγελοι ἐξ οὐρανοῦ ἐξέπεσον καὶ ὁ πρωτόπλαστος Ἀδὰμ ἐκ

17 Πρὸς Ἐφες. 2, 3

τοῦ παραδείσου. Καὶ οὐδεὶς τῶν ἀνθρώπων ἀναμάρτητος, μόνος δὲ ὁ Θεός, διότι καὶ ἄτρεπτος. Ὅπερ οὖν καὶ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἐστὶ καὶ ὑπὲρ αὐτὰς τὰς ἀγγελικὰς δυνάμεις, τοῦτο κατεπλούτησε τὸ πρόσλημμα τοῦ Κυρίου ἅμα τῇ ἑνώσει, καὶ ταῦτα κτιστὸν ὄν, τὸ εἶναι δηλονότι πάντῃ ἄτρεπτον καὶ ἄσχετον πρὸς τὰ χείρονα· ἅμα γὰρ τῇ ἑνώσει ὅλον ἔσχε τὸ θέλημα ὑπεῖκον τῷ θείῳ θελήματι· τὸ γὰρ ἐκείνου θέλημα (κατὰ τὸν Θεολόγον φάναι Γρηγόριον) οὐκ ἦν ὑπεναντίον Θεῷ, θεωθὲν ὅλον. Οὕτως οὖν, ὡς ἐφικτὸν ἀνθρωπίνῳ λογισμῷ, λέγομεν θεωθῆναι τὸ πρόσλημμα καὶ ὅτι ἐν αὐτῷ τῷ Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ ἔσχε τὴν ὕπαρξιν καὶ ἀχώριστόν ἐστιν ἀεὶ τῆς αὐτοῦ θεότητος. Οὕτω δὲ καὶ σὺ ἐννόησον καὶ ἄρρητον καὶ ὑπερφυῆ τὴν θέωσιν τοῦ προσλήμματος τοῦ Κυρίου, ὅτι ὃ οὐ γέγονεν εἰς ἕτερον τῶν κτισμάτων, γέγονεν ἐπ' αὐτῷ, καὶ ὅτι ἔμεινε καὶ ἀεὶ μένει ἀχώριστον τῆς θεότητος, καὶ διὰ τοῦτο ἄτρεπτον πρὸς τὰ χείρονα.

VII.

ΔΙΠΤΥΧΑ ΤΗΣ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΕΚΚΛΗΣΙΑΣ.

(Cod. Sabb. 153. f° 77—103).

Στιχηρὰ ψαλλόμενα εἰς τὴν μνήμην τῶν ἁγιδίμων πατριαρχῶν Ἱεροσολύμων.

Ἦχος πλ. δ' πρὸς τὸ «Ὁ ἐξ ὑψίστου κληθείς».

Τοὺς τῆς Σιὼν ἀνυμνήσωμεν ποιμένας,
τὸν μέγαν Ἰάκωβον | τὸν ἀδελφόθεον
καὶ Συμεὼν καὶ Ἰούδαν τε. | Ζακχαῖον ἅμα·
σὺν τῷ Τωβία | Βενιαμὶν τὸν σοφὸν
καὶ Ἰωάννην Ματθίαν τε | Φίλιππον θεῖον
καὶ τὸν ἁγίδιμον ὄντως Σένεκα,
Ἰοῦστον τὸν ἔνθεον καὶ τὸν Λευὶ καὶ Ἐφραίμ.
Σὺν Ἰωσὴφ τὸν Ἰούδαν τε Μᾶρκον τὸν μέγαν.
Κασσιανὸν καὶ Πόπλιον στέψωμεν.
Ἱεράρχαι Χριστοῦ πανσεβάσμιοι
ἐκτενῶς τὸν Σωτῆρα | ἱκετεύσατε σωθῆναι ἡμᾶς.
Ὠδαῖς ἀσμάτων ὁ Μαξιμιανὸς αἰνείσθω
Ἰουλιανὸς ὁμοῦ Γαϊανῷ τῷ σοφῷ
σὺν τῷ Συμμάχῳ Καπίτωνι | καὶ τῷ Μαξίμῳ
καὶ Ἀντωνίῳ καὶ τῷ Οὐάλεντι.
Δηλιχιανόν, πιστοί, | Νάρκισσον, | Δῖόν τε
καὶ Γερμανὸν καὶ τὸν Γόρδιον | σὺν Ἀλεξάνδρῳ

Μαζαβανᾶν καὶ τὸν Ἱεμέναιον
ἀνευφημῶμεν μεγαλύνοντες
ὡς τοῦ Λόγου συμμάχους καὶ κήρυκας
καὶ φωστῆρας τοῦ κόσμου | καὶ Σιὼν τοὺς ἀρχιποίμενας.
Ζαυδᾶς, Ἑρμᾶς καὶ Μακάριος ὑμνείσθω,
Μάξιμος καὶ Κύριλλος | καὶ Ἰωάννης ὁμοῦ
σὺν Παυλίῳ τῷ κήρυκι | καὶ θεοσόφῳ
Ἰουβενάλιος, Ἀναστάσιος. | Μαρτύριον ἅπαντες
καὶ τὸν Σαλούστιον | καὶ τὸν Ἠλίαν τιμήσωμεν.
Σὺν Ἰωάννῃ Πέτρον, Μακάριον | καὶ Εὐτύχιον
καὶ Ἰωάννην, | Ζαχαρίαν, | Μόδεστον καὶ Σωφρόνιον,
Ἰωάννην τὸν θεῖον | καὶ Θεόδωρον Ἠλίαν τε.
Σὺ τὸ γεώργιον ἡῦξησας τοῦ Λόγου
θεόφρον Γεώργιε, Θωμᾶ, Βασίλειε
σὺν τῷ Σεργίῳ τῷ σώφρονι | καὶ Σολομῶντι
Θεοδοσίῳ τῷ χριστοκήρυκι· | μεθ' ὧν καὶ Ἠλίας δὲ
ἄλλος καὶ Σέργιος | καὶ ὁ Λεόντιος στέφεται.
Ἀθανασίῳ | καὶ Χριστοδούλῳ καὶ τῷ Ἀγάθωνι
ὕμνος προσοίσθω. | Ἰωάννου καὶ Χριστοδούλου
τοὺς πόνους αἰνέσωμεν. | Σὺν Θωμᾷ Ἰωσὴφ δὲ
καὶ Ὀρέστην ἀνυμνήσωμεν.
Θεοφιλεία τὴν κλῆσιν συνεκέρασας
παμμάκαρ Θεόφιλε· | σὺν Νικηφόρῳ δὲ
Ἰωαννίκιος στέφεται | καὶ Σωφρονίῳ
καὶ Εὐθυμίῳ τῷ θεοκήρυκι. | Ὑμνήσωμεν ἅπαντες
τὸν Συμεὼν τὸν σοφόν, σὺν Ἰωάννῃ Νικόλαον
καὶ Ἰωάννην | καὶ Νικηφόρον | καὶ τὸν Λεόντιον
τοὺς ἱεράρχας, Μᾶρκον Εὐθύμιον Ἀθανάσιον
καὶ Σωφρόνιον | καὶ Γρηγόριον ἅμα
τῆς Σιὼν τοὺς ἀρχιποίμενας.
Ὑπὲρ τῆς ποίμνης ὑμῶν, ποιμένες θεῖοι,
Χριστὸν τὸν Θεὸν ἡμῶν καθικετεύσατε
πάσης ὀργῆς πάσης θλίψεως | πάσης ἀνάγκης

ἐκλυτρωθῆναι τῶν πολεμίων ἐχθρῶν, | τὰ σκῆπτρα κρατῦναι δὲ
τῶν βασιλέων ἡμῶν, | τῷ σταυροφόρῳ δὲ ἄνακτι
καθυποτάξαι Ἰσμαηλίτην λαὸν τὸν ἄθεον
καὶ ἱλασμὸν δὲ τῶν πταισμάτων καὶ βίου διόρθωσιν
δωρηθῆναι τοῖς πίστει ἑορτάζουσι τὴν μνήμην ὑμῶν.

Ο ΚΑΝΩΝ

φέρων ακροστιχίδα τήνδε· «ὕμνους γεραίρω τῆς Σιὼν τοὺς ποιμένας»· ἐν δὲ τοῖς τριαδικοῖς καὶ θεοτοκίοις «τοῦ ἀναξίου Νείλου».

Ὠδὴ α' ἦχος πλάγιος δ'. «Ἁρματηλάτην».

Ὑπὸ τῆς σῆς δυναμωθῆναι χάριτος
καθικετεύω, Χριστέ, | ὅπως τοὺς σῇ ψήφῳ
τῆς Σιὼν ἐκλάμψαντας | ἀρχιερέας ἅπαντας
ἐγκωμίοις αἰνέσω, | ὀρθὴν τὴν πίστιν τηρήσαντας
καὶ πρὸς σὲ καλῶς ἐκδημήσαντας.

Μετὰ σαρκὸς ἐπὶ τῆς γῆς γενόμενος
ὁ λυτρωτὴς καθ' ἡμᾶς | σὲ λειτουργὸν πρῶτον,
θύτην καὶ ἐπίσκοπον | χειροτονεῖ Ἰάκωβε,
ἀδελφὸν ὀνομάσας διὰ τοῦ βίου τὸ ἄμεμπτον
καὶ τὸ τῆς ἀγάπης διάπυρον.

Νόμους τηροῦντες τοῦ Χριστοῦ, μακάριοι
ἱερομύσται Χριστοῦ, | τὴν ἑαυτοῦ ποίμνην
καλῶς ἐποιμάνατε, | ὦ Συμεὼν θαυμάσιε
καὶ Ἰούδα γενναῖε, | Ζακχαῖε θεῖε, Τωβία τε
καὶ Βενιαμὶν ἀξιομνήστε.

Ὁλοσχερῶς τὸ τῶν εἰδώλων, ἅγιοι,
μύσος ἠλέγξατε. | Τῷ τοῦ Χριστοῦ μύρῳ
κεχρισμένοι, ἔνδοξοι, | πιστοὺς εὐωδιάζετε,
Ἰωάννη παμμάκαρ, | Ματθία, Φίλιππε, Σένεκα,
Ἰοῦστε, Λευΐ, παναοίδιμοι.

Τριαδικόν.

Τριαδικὸν τοῖς χαρακτῆρσι σέβομαι
τὸν τῶν ἁπάντων Θεόν, | μοναδικὸν φύσει.

δόξῃ καὶ θεότητι, | βουλήσει μὴ τεμνόμενον
μηδ' ἀξίᾳ καὶ κράτει· δυνάμει τε καὶ ταυτότητι
καὶ τῇ μοναρχίᾳ τῆς φύσεως.

Θεοτοκίον.

Οὐσιωθεὶς τῷ καθ' ἡμᾶς ὁ Κύριος
ἐκ τῆς παρθένου μητρὸς | καὶ τὴν ἡμῶν φύσιν
ὅλην προσλαβόμενος, | ἀτρέπτως ἀσυγχύτως τε
καθ' ὑπόστασιν ἄμφω | συγκεκραμένων τῶν φύσεων,
προῆλθε διπλοῦς τὴν ἐνέργειαν.

Ὠδὴ γ'. «Ὁ στερεώσας κατ' ἀρχάς».

Ἱεραρχῶν τὴν καλλονὴν | τιμήσωμεν ἐπαξίως·
τὸν θαυμάσιον Ἐφραὶμ καὶ σὺν τούτῳ | τὸν γενναῖον Ἰωσήφ,
Ἰούδαν τε τὸν πάνσοφον, | τοὺς λάμψαντας ἐκ νόμου
ὥσπερ ἀστέρας τῇ χάριτι.

Σημειωθέντες τῷ Χριστοῦ | βαπτίσματι, ἱεράρχαι,
κατηρτήσατε τὴν πλάνην ἐμφρόνως, | Μᾶρκε καὶ Κασσιανὲ
καὶ θεοφόρε Πόπλιε· ὁ Μαξιμιανὸς δὲ
δαιμόνων θράσος διώλεσε.

Γέλως ὁρᾶται τοῖς ποσὶ | πατούμενος ὁ βελίαρ
τῶν σεπτῶν καὶ θαυμασίων κηρύκων | ὑμῶν, Ἰουλιανέ,
Γαϊανὲ καὶ Σύμμαχε. | Καπίτων δὲ ὁ θεῖος
σὺν τῷ Μαξίμῳ ὑμνείσθωσαν.

Εἰς πᾶσαν ὥσπερ ἀστραπὴ | τὴν οἰκουμένην ὁ φθόγγος
ἐξεχύθη Ἀντωνίου τοῦ θείου | καὶ Οὐάλεντος ὁμοῦ
τοῦ κήρυκος τῆς πίστεως. | Ὁ Δηλιχιανὸς δὲ
μετὰ Ναρκίσσου δοξάζεται.

Τριαδικόν.

Ὑμνῶ Πατέρα καὶ Υἱὸν | καὶ τὸ πανάγιον Πνεῦμα.
ἀμερίστως διαιρῶν καὶ συνάπτων, | ἀσυγχύτως ἐν ταὐτῷ
μὴ διαιρῶν ὡς Ἄρειος, | μηδὲ συνάπτων πάλιν
ὡς ὁ παράφρων Σαβέλλιος.

Θεοτοκίον.

Ἀνερμηνεύτως ἐν γαστρί, | παρθενομῆτορ Μαρία,

συλλαβοῦσα τὸν Θεόν μου καὶ πλάστην
ἐν ἀγκάλαις σου, ἁγνή, | μητροπρεπῶς ἐβάστασας.
Ὅθεν σε Θεοτόκον | ἀνενδοιάστως δοξάζομεν

Κάθισμα ἦχος πλ. δ' πρὸς τὸ «Τὴν σοφίαν».

Τοὺς ποιμένας ὑμνήσωμεν | τῆς Σιὼν
ἐγκωμίοις ἀσμάτων | φιλευσεβεῖς,
τὸν θεῖον Ἰάκωβον | τοῦ Χριστοῦ τὸν αὐτάδελφον
καὶ σὺν τούτῳ πάντας | τοὺς θύτας τῆς χάριτος,
εὐσεβῶς τὴν ποίμνην | Χριστοῦ διαθύναντας.
Ὅθεν καὶ τῆς ἄνω λειτουργοὶ γεγονότες
Σιὼν νῦν πρεσβεύουσιν | ὑπὲρ πάντων Χριστῷ τῷ Θεῷ
δωρηθῆναι ἡμῖν | εἰρήνην ζωὴν καὶ μέγα ἔλεος.

Ὠδὴ δ'. «Σύ μου Χριστὲ Κύριος, σύ μου».

Ῥεῖθρον ζωῆς | τῇ ἐκκλησίᾳ ἐφάνητε, Δῖοι θεῖοι
ὄντως τε καὶ ἔνδοξοι, | σὺν Γερμανῷ τῷ θεοειδεῖ
Γόρδιος ὁ μέγας | καὶ ὁ θεόφρων Ἀλέξανδρος,
ποτίζοντες τοὺς δίψει | κρατουμένους τῆς πλάνης
καὶ φλογμὸν ἀθεΐας δροσίζοντες.

Ἄστρον ἐν γῇ | Μαζαβανὰς ἀναδείκνυται, | τοὺς ἐν σκότει
πάλαι κινδυνεύοντας | καθοδηγῶν καὶ φωταγωγῶν.
Σὺν Ἰεμεναίῳ | Ζαβδᾶς Ἑρμᾶς καὶ Μακάριος
καὶ Μάξιμος ὁ θεῖος | τὴν ὑφ' ἥλιον πᾶσαν
τῶν θαυμάτων τῇ αἴγλῃ φωτίζοντες.

Ἵνα πιστῶς Πατέρα Λόγον δοξάσωμεν | καὶ τὸ Πνεῦμα
τούτοις ὁμοούσιον, Κύριλλε, μέσον θεολογῶν
ἔστης τῆς συνόδου, | Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον
τρανῶς ἀνακηρύττων | καὶ τῷ ξίφει τοῦ Λόγου
κατασφάττων στερρῶς Μακεδόνιον.

Ῥώμῃ Θεοῦ τὴν ἐκκλησίαν ἐθύνατε | πρὸς λιμένα
ὄντως τὸν ἀκύμαντον, | ὦ ἱεράρχαι θεοειδεῖς,
μάκαρ Ἰωάννη σὺν Πραύλιῳ τῷ πάνυ τε
καὶ Ἰουβεναλίῳ. Ἀναστάσιος ἅμα
Μαρτυρίῳ τῷ θείῳ κλεΐζεται.

Τραδικόν.

Νοῦς ὁ Πατὴρ | ἀρρεύστως Λόγον γεγέννηκε | καὶ τὸ θεῖον
Πνεῦμα ἐκπεπόρευκεν | ἀδιαστάτως καὶ προσεχῶς
τῶν ἰδιοτήτων γνωριζομένων ἑκάστου τε,
τοῦ μὲν ἀγεννησία, | τοῦ Υἱοῦ γέννησίς τε
καὶ τοῦ Πνεύματος δὲ ἡ ἐκπόρευσις.

Θεοτοκίον.

Ἀσπόρως σὺ | τὸν ποιητήν μου συνέλαβες | ἐν γαστρί σου,
Κόρη ἀπειρόγαμε, | καὶ μετὰ τόκον ὡς ἀληθῶς
ἔμεινας παρθένος ὡς πρὸ τοῦ τόκου, θεόνυμφε.
Διό σε Θεοτόκον | καὶ καρδία καὶ γλώττῃ
ἀνυμνοῦντες πιστῶς μεγαλύνομεν.

Ὠδὴ ε'. «Ἵνα τί με ἀπώσω».

Ὡς ὑπέρλαμπροι ὄντως
καὶ θεοειδέστατοι κατεσκηνώσατε | τῆς Σιὼν τῆς ἄνω
τὰ σκηνώματα τὰ ὡραιότατα
μετὰ τὴν ἐντεῦθεν ἱεραρχίαν, ἱεράρχαι,
καὶ τὴν ἄνω πλουσίως εἰλήφατε.
Τῶν σεπτῶν σου ἀγώνων
τις ἐξαριθμήσει τοὺς πόνους Σαλλούστιε; | σὺ γὰρ τῆς ἐρήμου
τὸ ὡραῖον φυτὸν καὶ ἀγλάϊσμα
εἰς ἱερωσύνην | κατεκληρώσω, ἱεράρχα,
τὸν μακάριον Σάββαν καὶ πάντιμον.
Ἡλιοῦ τοῦ θεσβίτου
τὸν ὑπὲρ τῆς πίστεως ζῆλον ἐπλούτησας, | Ἠλία παμμάκαρ,
ἐκβληθεὶς παρανόμως τοῦ θρόνου σου
καὶ τῆς θεοπτείας | ἀξιωθεὶς ἐν ἐξορίᾳ,
ὡς ἐκεῖνος ἐν Σινᾷ ἠξίωτο.
Σοῦ τὸν ἔνθεον τρόπον
πόρρωθεν εἰδὼς ὁ Δεσπότης καὶ Κύριος | σὲ ποιμένα, μάκαρ
Ἰωάννη, προβάλλεται μέγιστον,
τὸν δεινὸν Σεβῆρον | καὶ Ἀναστάσιον σὺν τούτῳ
τὸν Διόσκορόν τε ἀπελέγχοντα.

Τριαδικόν.

Ξενοτρόπως τὴν μίαν
φύσιν ἐν τρισὶ τοῖς προσώποις μερίζομεν, | ἀσυγχύτως πάλιν
συναιροῦντες εἰς ἓν καὶ συνάπτοντες,
τῶν ἰδιοτήτων φυλαττομένων ἐν ἑκάστῳ.
τῷ Πατρὶ τῷ Υἱῷ καὶ τῷ Πνεύματι.

Θεοτοκίον.

Ἰσουργὸν τῷ τεκόντι
Λόγον ἐκ λαγόνων σου, ἁγνή, γεγέννηκας, | ἐν δυσὶ τελείαις
γνωριζόμενον ἅμα ταῖς φύσεσι
καὶ ταῖς ἐνεργείαις | καὶ ταῖς θελήσεσιν ἀτρέπτως·
ὡς Θεὸς γὰρ ἐνήργει καὶ ἄνθρωπος.

Ὠδὴ ϛ΄. «Ἱλάσθητί μοι, Σωτήρ».

Σιὼν ἐπ' ὄρους, σοφοί, | τὸν Λόγον εὐηγγελίσασθε
καὶ τὴν Ἱερουσαλὴμ | καλῶς ἑτοιμάνατε
ἐπὶ χλόην πίστεως· | καὶ νῦν μεταστάντες
κατοικεῖτε τὸν παράδεισον.

Ἰατῆρες ψυχικῶν | παθῶν ἐδείχθητε, ἅγιοι·
τοῦ Πέτρου γὰρ μιμητής, | ὦ Πέτρε, γενόμενος.
σὺν σοὶ δὲ Μακάριος | ἅμα Εὐτυχίῳ
ἱερῶς κατεκοσμήθητε.

Ὡραϊσμένοι σαφῶς | τῇ ποικιλίᾳ τοῦ Πνεύματος
καὶ κεχρισμένοι λαμπρῶς | τῷ μύρῳ τῆς γνώσεως
πάντας ἐφωτίσατε, | Ἰωάννη μακαρ,
Ζαχαρία τε καὶ Μόδεστε.

Νοός σου ταῖς ἀστραπαῖς | ἐφλέχθη Πύρρος, Σωφρόνιε·
Χριστὸν γὰρ τὸν διθελῆ | καὶ διπλοῦν ταῖς φύσεσι
κακῶς ἐδογμάτιζε | μονοθελητόν τε
μονενέργητον ὁ ἄθεος.

Τριαδικόν.

Οὐσίαν μίαν, πιστοί, | Θεὸν τῶν ὅλων δοξάζομεν,
ἀμέριστον μεριστήν, | ἀσύγχυτον, ἄτμητον,
τρισὶν ἰδιότησι, | τῇ ἀγεννησίᾳ,
τῇ γεννήσει, τῇ προόδῳ τε.

Θεοτοκίον.

Ὑπερουσίως, ἁγνή, | τὸν ὑπερούσιον τέτοκας,
ὑπὲρ οὐσίαν βροτῶν | βροτὸν χρηματίσαντα
(ὅπως ἐνωθείη μοι | τῇ αὐτοῦ οὐσία),
καθ' ὑπόστασιν ἀσύγχυτον.

Κοντάκιον ἦχος γ', πρὸς τὸ «Ἡ παρθένος σήμερον».

Ἐπὶ χλόην πίστεως | Χριστοῦ τὴν ποίμνην ὁσίως
τῆς Σιὼν ποιμάναντες | οἱ μεγαλώνυμοι θῦται,
ἅπασαν | κακοδοξίαν αἱρετιζόντων | ῥίψαντες
νενοσηκότα καθάπερ μέλη | ἀνεδείχθησαν τῆς ἄνω
Σιὼν πολῖται | καὶ χριστοκήρυκες.

Ὁ οἶκος.

Εὐφημήσωμεν νῦν | τοὺς ἱεράρχας ἅπαντας,
τοὺς ἐν πόλει Θεοῦ | Σιὼν ἱερατεύσαντας
καὶ λαὸν τῷ Χριστῷ | ἐν πίστει προσενέγκαντας
ὁσίως ἱερῶς καὶ εὐσεβῶς· | οὗτοι γὰρ ὤφθησαν
ἀστέρες φαεινοί, | πᾶσαν τὴν κτίσιν φωτίζοντες,
τῆς Σιὼν ἱερουργοὶ | καὶ τῶν ἐν σκότει ὁδηγοί,
καὶ παρέχοντες ἡμῖν | ἁμαρτημάτων ἄφεσιν
καὶ βασιλείας μετοχήν, | τελοῦντες τῆς ἄνω
Σιὼν πολῖται | καὶ χριστοκήρυκες.

Ὠδὴ ζ'. «Παῖδες Ἑβραίων».

Τίς ἐπαξίως ὑμνήσει
τοὺς τῆς πίστεως ἀγῶνας Ἰωάννου,
Θεοδώρου, μεθ' ὧν | Ἠλίας ἀναμέλπει
«εὐλογητὸς εἶ, Κύριε | ὁ Θεός, εἰς τοὺς αἰῶνας»;

Ὅσιε στάχυν γεωργίας
τὸν τῆς πίστεως, Γεώργιε, αὐξήσας
ἀνεδείχθης αὐτὸς | γεώργιον τοῦ Λόγου,
συγκομισθεὶς εἰς ἄλωνα | οὐρανίαν, αἰωνίαν.

Ὕπνον οὐκ ἔδωκας βλεφάροις
προσευχόμενος, ὡς Παῦλος ἐκδιδάσκει,
ὑπὲρ ποίμνης Χριστοῦ | Θωμᾶ σὺν Βασιλείῳ.
Ὅθεν καὶ νῦν πρεσβεύσατε | τῶν αἱρέσεων ῥυσθῆναι.

Σέργιον τίς οὐκ ἐπαινέσει;
Σολομῶντα δὲ | τίς οὐκ ἐγκωμιάσει,
Θεοδόσιον ἅμα τῷ Ἠλία, Σεργίῳ Λεοντίῳ τε,
τῆς Σιὼν τοὺς πατριάρχας;

Τριαδικόν.

Νοῦν τὸν Πατέρα προσκυνῶ σε,
νοῦν τὸν Λόγον ἐκ Πατρὸς γεγεννημένον,
νοῦν τὸ Πνεῦμα πιστῶς | ὑμνῶ θεολογῶ σε,
τὸ ἐκ Πατρὸς τὴν ὕπαρξιν | ἐσχηκὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἕνα Υἱὸν τῇ ὑποστάσει,
ταῖς οὐσίαις δὲ διπλοῦν καὶ ἐνεργείαις
τὸν Υἱὸν τοῦ Θεοῦ γεγέννηκας, Παρθένε,
ὃν ἐκδυσώπει λύτρωσιν | δωρηθῆναί μοι πταισμάτων.

Ὠδὴ η'. «Ἐπταπλασίως κάμινον».

Παρὰ Χριστοῦ γενόμενος | λειτουργός, Ἀθανάσιε,
ἅμα Χριστοδούλῳ καὶ σοφῷ Ἀγάθωνι
καὶ τῷ Ἰωάννῃ τε | σὺν Χριστοδούλῳ ἄλλῳ Θωμᾶς,
τὴν ἱερουργίαν | τῆς Σιὼν τῆς ἁγίας
ἠλλάξατε τῆς ἄνω | λειτουργίας τυχόντες,
Χριστὸν ὑπερυψοῦντες | εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Ἰωσὴφ ὁ ἔνθεος | καὶ Ὀρέστης ὁ πάντιμος
ἅμα Θεοφίλῳ, Νικηφόρῳ θείῳ τε
ὁ Ἰωαννίκιος | σὺν Σωφρονίῳ τῷ θαυμαστῷ
νῦν παρεστηκότες τῷ Θεῷ τῶν ἁπάντων
πρεσβεύσατε ῥυσθῆναι | βαρβαρώδους μαχαίρας
τοὺς πίστει ἐκτελοῦντας | τὴν θείαν ὑμῶν μνήμην.

Ἱεραρχῶν ἀγλάισμα | εὐφημείσθω Εὐθύμιος,
ἅμα Συμεὼν ὁ Ἰωάννης ἅσμασι,
μεθ' ὧν καὶ Νικόλαος, | νικητικῶς στεφθεὶς ἐκ Θεοῦ.
μετὰ Ἰωάννου | Νικηφόρος ὁ θεῖος,
τυχεῖν ἀξιωθέντες | οὐρανῶν βασιλείας
καὶ τῆς ἱεραρχίας | τῆς ἄνω θεοσδότως.

Μετὰ τῶν ἄνω τάξεων | λειτουργεῖν ἠξιώθητε
ἔνδοξοι ποιμένες, ἱερὲ Λεόντιε
καὶ Μᾶρκε μακάριε | σὺν Εὐθυμίῳ τῷ εὐκλεεῖ,
τῷ χρηματισθέντι | δι' ἀγγέλου ἁγίου
πρὸς τὸ Σινᾶ γενέσθαι | καὶ κἀκεῖ τελειῶσαι
τὸν τῆς ἱεραρχίας | ἠγλαϊσμένον δρόμον.

Τριαδικόν.

Ἰσοκλεῆ, ὁμότιμον, | ἀδιαίρετον, ἄτμητον,
προνοητικὴν ποιητικὴν τοῦ σύμπαντος
Τριάδα δοξάζομεν, | Πατέρα Λόγον Πνεῦμα εὐθὲς
τὸ ἐκπορευτὸν | ἐκ τοῦ Πατρὸς ἀπορρήτως,
ἀχρόνως, ἀναιτίως, | προσεχῶς καὶ ἀμέσως·
εἰς ἃ καὶ βαπτισθέντες | ζωὴν κληρονομοῦμεν.

Θεοτοκίον.

Λόγον Θεοῦ συνέλαβες | ἀπειράνδρως, πανάμωμε,
τὸν πρὸ τῶν αἰώνων ἐκ Πατρὸς ἐκλάμψαντα,
καὶ τοῦτον γεγέννηκας | ἄνευ ὠδίνων τῶν μητρικῶν,
ὥσπερ ὁ προφήτης | ἐκβοᾷ Ἡσαΐας,
διπλοῦν ταῖς ἐνεργείαις | καὶ θελήσεσιν ἅμα.
μιᾷ δὲ ὑποστάσει | προσωπικῇ συνθέτῳ.

Ὠδὴ θ'. «Ἐξέστη ἐπὶ τούτῳ».

Ἐξέλαμψας ὡς ἥλιος ἐν Σιὼν
ἐκ δυσμῶν προελθών, Ἀθανάσιε,
μοναδικῶς πρότερον τὰ πάθη τὰ τῆς σαρκὸς
καθυποτάξας πνεύματι | καὶ τὰς τῶν ὀρέξεων προσβολὰς
νεκρώσας ἐγκρατείᾳ· | μαρτυρικοῦ δὲ τέλους
ὑπὸ βαρβάρων τυχὼν ἔδυνας.

Νομὴν ἀθεωτάτων Ἀγαρηνῶν
ἀναστέλλων ἐβλήθης, Σωφρόνιε
ἐν τῇ εἱρκτῇ, | ἐν ᾗ τετελείωσαι εὐσεβῶς.
Ὅθεν καὶ μετὰ πότμον σε | ἄνωθεν δοξάζει ὁ Ποιητής·
τὸ φῶς γὰρ καταπέμψας | ἐπάνω σου τῆς θήκης
μεγαλοδώρως σὲ ἐδόξασεν.

Ἀσύγκριτος ἐδείχθης ἀρχιερεύς,
λειτουργὲ τοῦ Κυρίου Γρηγόριε,
θεολογῶν | καὶ τῆς ἀληθείας ὑπερμαχῶν·
τῷ γὰρ Πατρὶ ὁμότιμον | καὶ Υἱῷ τὸ Πνεῦμα συμπροσκυνῶν
ἐκήρυξας ἐκ μόνου | αὐτὸ ἐκπεπορεῦθαι
σὺ τοῦ Πατρὸς καὶ σχεῖν τὴν ὕπαρξιν.

Σιὼν τῆς οὐρανίου, ἱερουργοί,
τὴν Σιὼν τὴν ἐπίγειον ἄνωθεν
ποιμαντικῶς πάλιν διυθύνατε πρὸς νομὴν
ὀρθοδοξίας, ἅγιοι, | τῶν αἱρετιζόντων ἐπισπορὰς
ῥιζόθεν ἐκριζοῦντες | καὶ σπόρον τὸν τοῦ Λόγου
ἐγκατασπείροντες, ἀοίδιμοι.

Τριαδικόν.

Ὁμότιμον, ὁμοδοξον τῷ Πατρὶ
τὸ πανάγιον Πνεῦμα καὶ σύνθρονον
ὁμολογῶ | σύμμορφον δοξάζω καὶ τῷ Υἱῷ·
οὐ μεσιτείαν φύσεως, | οὐδ' ἀξιωμάτων διαφοράν·
τριὰς γὰρ ἐν μονάδι | ἡμῖν ἐστι τὸ λατρευόμενον.

Θεοτοκίον.

Ὑπέπεσα τοῖς πάθεσιν ὁλικῶς
καὶ δεινῶς ὑπ' αὐτῶν τετραυμάτισμαι.
Μήτηρ Θεοῦ, | ἴασαι μοτώσει τοῦ σοῦ Υἱοῦ
καὶ φωταγωγει πάντοτε, | ἅπτουσα τὸν λύχνον μου τοῦ νοός.
εἰς σὲ γὰρ τὰς ἐλπίδας | ἀνέθηκα, Παρθένε,
ἀπὸ νεότητος ὁ δοῦλός σου.

ΕΤΕΡΟΣ ΚΑΝΩΝ

φέρων ακροστιχίδα τήνδε, χωρὶς τῶν τριαδικῶν καὶ τῶν θεοτοκίων·
«ἀρχιερέων Θεοῦ πόλει αἰνῶ τοὺς ἄθλους».

Ὠδὴ α'. ἦχος πλ. δ'. «Ἆσμα ἀναμέλψωμεν».

Ἄνω ἐκ τῶν φώτων τοῦ Πατρὸς | διὰ Υἱοῦ σοι δέδοται
Πνεύματος παναγίου, | Ἰάκωβε παμμάκαρ,
Χριστοῦ, ἀρχιποίμενε, | ἀδελφὸς χρηματίσας
τοῦ Κυρίου, | διδάσκαλος θεῖος.

Ῥῆμα τῆς ζωῆς ὡς ἀληθῶς | ἐν κόσμῳ κατεσπείρατε,
ἀρχιεράρχαι Χριστοῦ, | Συμεὼν καὶ Ἰούδα.
Ζακχαῖον τιμήσωμεν | ἅσμασι καὶ Τωβίαν
Βενιαμὶν | ὄντως εὐφημοῦμεν.
Χαίροις, ξυνωρὶς ἱεραρχῶν! | ἁπάντων ἡ ὁμήγυρις
συνευφραινέσθωσαν! | Ἰωάννην τὸν θεῖον,
Ματθίαν τὸν ἔνδοξον | καὶ τὸν σοφὸν Σενέκα
σὺν Ἰούστῳ | ἐνθέως τιμῶμεν.
Ἵνα βασιλείας οὐρανῶν | κληρονόμοι γενώμεθα
οἱ ἐκτελοῦντες πιστῶς | ὑμῶν τὴν θείαν μνήμην,
Λευὶ ἱερώτατε | σὺν Ἐφραὶμ καὶ Ἰωσὴφ
καὶ Ἰούδα, | ᾠδαῖς εὐφημοῦμεν.

Τριαδικόν.

Πάτερ παντοκράτορ καὶ Υἱὲ | Λόγε Θεοῦ προάναρχε
καὶ συναΐδιε, | καὶ Πνεῦμα (τὸ) ἅγιον
Πατρὸς τὸ ἐκπορευτὸν | πρὸ πάντων τῶν αἰώνων
καὶ ἐν Υἱῷ | ἀναπεπαυμένον.

Θεοτοκίον.

Ἄστρον ἐξ Ἰούδα ἀληθῶς | ἐτέχθη ἐκ νηδύος σου,
θεοχαρίτωτε, | Θεὸς σεσαρκωμένος,
Πατὴρ ὃν ἐγέννησεν | ἐκ γαστρὸς πρὸ αἰώνων
ἐπ' ἐσχάτων | ἐκ σοῦ, Θεοτόκε.

Ὠδὴ γ'. «Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος».

Ἐπαίνει καὶ ὕμνησον | τὸν Θεόν σου ἡ Σιών,
ὅτι εὐλόγησε τέκνα σου | καὶ Μᾶρκον τὸν ἔνθεον
Κασσιανὸν τιμῶσα, | τὸν λύχνον τῆς πίστεως,
σὺν τούτῳ καὶ Πόπλιον σοφόν.
Ῥυόμενοι φάνητε | τοὺς τελοῦντας πιστῶς
ὑμῶν τὴν μνήμην, μακάριοι, | Μαξιμιανὲ σοφέ,
Ἰουλιανὲ τρισμάκαρ, | στερροὶ καὶ θεόφρονες.
Τιμήσωμεν καὶ Γαϊανόν.

Εὐφραίνου ὁ σύλλογος, | ἱεράρχαι, ἱερεῖς.
Σὺν τῷ Συμμάχῳ Καπίτωνα, | τὸν ἔνδοξον Μάξιμον,
Ἀντώνιον γεραίρω, | φωστῆρας ἐκλάμποντας
φαιδρῶς τῇ ἐκκλησίᾳ Χριστοῦ.
Ὡς ἔνθεοι κήρυκες | ἐκτελοῦμεν πιστῶς
ὑμῶν τὴν μνήμην, μακάριοι. | Οὐάλης ὁ ἔνδοξος,
Δηλιχιανὲ θεῖε, | Νάρκισσε μακάριε,
στηρίξατε τὴν ποίμνην ὑμῶν!

Τριαδικόν.

Τριάδα ὑμνήσωμεν, | τὸν Πατέρα καὶ Υἱὸν
καὶ τὸ Πνεῦμα τὸ ἅγιον, | ἐν οἷς βεβαπτίσμεθα.
Ἡ ἀμέριστος φύσις | τρισὶν ὑποστάσεσιν,
ἐλέησον καὶ σῶσον ἡμᾶς!

Θεοτοκίον.

Παρθένος ἔτεκες, | ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας, | μῆτερ ἀνύμφευτε.
Θεοτόκε παρθένε, | Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς!

Ὠδὴ δ'. «Ἐξ ὄρους κατασκίου».

Νῦν ἀσματικῶς γεραίρομεν ἀξίως
τὴν μνήμην Δίου τοῦ σοφοῦ καὶ θείου ἱεράρχου
σὺν Γερμανῷ καὶ Γορδίῳ | καὶ Ἀλεξάνδρῳ,
οὓς ἐπαξίως μακαρίσωμεν.
Θείαις προσευχαῖς ὑμῶν φρουρεῖτε πάντας
(τοὺς) μνήμην τὴν ὑμῶν τελοῦντας, θεοφόροι,
Μαζαββανὲ λαμπρότατε | σὺν Ἰμεναίῳ
καὶ τὸν Ζαβδᾶν τὸν φαεινότατον.
Ἔνδοξοι σοφοὶ καὶ θεῖοι ἱεράρχαι,
πρεσβεύσατε ἀεὶ ὑπὲρ ἡμῶν τῶν πίστει
νῦν ἐκτελούντων τὴν μνήμην | ὑμῶν, θεόπται,
Ἑρμᾶ καὶ πάντιμε Μακάριε.

2 Καπίτωνος ὁ ἔνδοξος Μάξιμος. 3 Ἀντωνίου γερ. φωστῆρες ἐκλάμποντες.
6 Οὐάλεντα ἔνδοξε.

Ὄντως φαεινοὶ ἀστέρες οἰκουμένης
εἰσείχθητε, σοφοί, | Μακάριε θεόφρον,
παναγιώτατε Μάξιμε | σὺν (τῷ) Κυρίλλῳ
τῷ παμφαεῖ καὶ χριστοκήρυκι.

Τριαδικόν.

Ἄναρχε Τριάς, ἀμέριστε οὐσία,
σύνθρονε μονὰς | ὁμότιμε τῇ δόξῃ,
ἡ ὑπεράρχιος φύσις | καὶ βασιλεία,
σῶζε τοὺς πίστει ἀνυμνοῦντάς σε!

Θεοτοκίον.

Δέσποινα ἁγνή, παρθένε Θεοτόκε,
δυσώπει τὸν ἐκ σοῦ τεχθέντα βασιλέα,
τὸν ἐκ Πατρὸς γεννηθέντα | πρὸ τῶν αἰώνων
ὑπὲρ ἡμῶν τῶν ἀνυμνούντων σε!

Ὠδὴ ε'. Ὁ εἱρμός.

„Ὀρθρίζει τὸ πνεῦμά μου | πρός σε, Χριστὲ ὁ Θεός,
„διότι φῶς τὰ προστάγματα | τῆς παρουσίας σου·
„ἀλλ' ἐν αὐτοῖς καταυγάσας | τὸν νοῦν ἡμῶν, Δέσποτα,
ὁδήγησον πρὸς τρίβους ζωῆς.

Ὑμνήσωμεν ἅπαντες | τοὺς ἱεράρχας Χριστοῦ,
σὺν Ἰωάννῃ Παύλιον | καὶ Ἰουβενάλιον,
Ἀναστάσιον ἅμα, | τὸν θεῖον Μαρτύριον,
Σαλούστιον, Ἠλίαν τε.

Πανένδοξοι κήρυκες, | ἱεράρχαι εὐκλεεῖς,
ὑμῶν τὴν μνήμην δοξάζομεν. | Ἰωάννην πανεύφημον
καὶ σὺν Πέτρῳ τῷ θείῳ | Μακάριον ἅπαντες
Εὐτύχιον ὑμνήσωμεν.

Ὁσίων ὁμήγυρις | νῦν εὐφραίνεται πιστῶς
σὺν Ἰωάννῃ τῷ κήρυκι, | σοφῷ Ζαχαρίᾳ τε
λαμπροτάτῳ ποιμένι· σὺν τούτοις τιμήσωμεν
Μόδεστον | ὡς ἀστέρα λαμπρόν.

Λαμπτῆρα παγκόσμιον | ἀνυμνήσωμεν Χριστοῦ,
ὃς τὴν ἐκκλησίαν ἐφαίδρυνε | θείοις διδάγμασιν,

ὡς φαεινότατος ποιμήν. | Θεόφρον Σωφρόνιε,
ἱκέτευε σωθῆναι ἡμᾶς!

Τριαδικόν.

Τριάδα ὑμνήσωμεν, | τὸν Πατέρα καὶ Υἱὸν
καὶ τὸ Πνεῦμα τὸ ἅγιον, | μίαν θεότητα
ἐν τρισὶ χαρακτῆρσιν | ἀσύγχυτον μένουσαν
καὶ πάντων κυριεύουσαν.

Θεοτοκίον.

Μαρία θεόνυμφε, μητροπαρθενε ἁγνή,
(σὺ γὰρ ἐκύησας, ἄχραντε, | τὸν Σωτῆρα τοῦ κόσμου)
τὸν ἐκ Πατρὸς πρὸ αἰώνων | ἀρρήτως ἐκλάμψαντα
ἱκέτευε σωθῆναι ἡμᾶς!

Ὠδὴ ϛ'. «Συνεχόμενον, δέξαι με».

Εὐφημήσωμεν ἅσμασιν σεπτὸν ἱερὸν
Θεόδωρον πάντες | τὸν λαμπρότατον
σὺν τῷ Ἠλίᾳ, | ὡς φαεινοὶ φωστῆρες | καὶ παγκόσμιοι!
Ἱερεῖς ἱερώτατοι | πανένδοξοι,
Γεώργιε, Θωμᾶ | καὶ Βασίλειε
θεῖοι φωστῆρες! | Ὡς ποιμενάρχας τούτους | καταστέψωμεν!
Ἀρετῶν ἐξηστράψατε, | θειότατοι,
Σέργιε τρισμάκαρ | σὺν Σολομῶντι
Θεοδοσίῳ, | ὡς ἀρχηγοὶ καὶ κήρυκες τῆς πίστεως.
Ἱερῶς εὐφημήσωμεν, | φιλέορτοι,
τὸν σοφὸν Ἠλίαν! | Σὺν τῷ Σεργίῳ
τῷ θεοφόρῳ | θεῖον Λεόντιον | ἅσμασι γεραίρωμεν!

Τριαδικόν.

Σὺ Τριὰς ὁμοούσιε, | ὁμότιμε,
ὁ Πατήρ, ὁ Λόγος | καὶ θεῖον Πνεῦμα,
σῶζε τὸν κόσμον | ὁ παντοκρατορία σου | συνέχων τὸ παν!

Θεοτοκίον.

Ἐκ γαστρός σου ἀνέτειλε, | Παρθενε σεμνή,
ὁ εἷς τῆς Τριάδος | Θεὸς ὑπάρχων
σεσαρκωμένος. | Τοῦτον, ἁγνή, ἱκέτευε | τοῦ σῶσαι ἡμᾶς!

Ὠδὴ ζ'. «Τῶν Χαλδαίων».

Ναός, θεῖοι, γεγόνατε | καὶ κήρυκες τοῦ Λόγου,
Ἀθανάσιε πάνσοφε | Κυρίου ἱεράρχα
σὺν τῷ σοφῷ Χριστοδούλῳ | καὶ Θεολήπτῳ ποιμένι
θείῳ τε Ἀγάθωνι.
Ὡς φωστῆρας πανθαυμάστους | καὶ θείους ἱεράρχας
Ἰωάννην Μακάριον | Χριστόδουλον ἀξίως
Θωμᾶν τε τὸν πάνσεπτον | ἀνευφημοῦμεν πιστῶς
καὶ μακαρίζομεν.
Τοὺς σεπτοὺς ἀντιλήπτορας | καὶ θείους ἱεράρχας
κατὰ χρέος τιμήσωμεν | αὐτῶν τὴν θείαν μνήμην,
Ἰωσὴφ Ὀρέστου τε | καὶ Θεοφίλου, πιστοί,
ὡς ποιμενάρχας Χριστοῦ.
Οἶκον θεῖον ἠγείρατε | Χριστοῦ τῇ Ἀναστάσει
καὶ καλῶς ἐποιμάνατε | τὴν πιστευθεῖσαν ποίμνην,
Νικηφόρε ἔνδοξε | καὶ σὺ θεράπων Χριστοῦ | Ἰωαννίκιε.

Τριαδικόν.

Τὸν Πατέρα δοξάσωμεν, | τὸν Υἱὸν καὶ τὸ Πνεῦμα
ὁμοφρόνως τιμήσωμεν, | συμφώνως ἀνυμνοῦντες
«Τριὰς ὁμοούσιε, | ἄκτιστε, ἄναρχε καὶ συναΐδιε».

Θεοτοκίον.

Μετὰ τόκον διέμεινας | παρθένος ὡς πρὸ τόκου,
καὶ ἐν τόκῳ ἐφύλαξας | τὰς κλεῖς τῆς παρθενίας.
Θεὸν ἡμῖν ἔτεκες σεσαρκωμένον, ἁγνή,
εἰς σωτηρίαν βροτῶν.

Ὠδὴ η'. «Τὸν ἐν ὄρει ἁγίῳ».

Ὑπὲρ πάντων | πρεσβεύσατε Κυρίῳ
τῶν τελούντων | ὑμῶν τὴν θείαν μνήμην,
ἀρχιεράρχαι ὅσιοι· αἰτήσασθε | σὺν τῷ θειοτάτῳ
πατρὶ τῷ Σωφρονίῳ | καὶ Συμεὼν τῷ θείῳ.
Σοφώτατος | ἐφάνης ἐν τῷ κόσμῳ,
ἱεράρχα | Χριστοῦ, καὶ διδάσκαλος

τῆς Ἐκκλησίας ὤφθης, ἁγιώτατε | πάτερ Ἰωάννη,
καὶ Σιὼν τῆς ἄνω | ἐδείχθης κληρονόμος.
Σὺν τοῖς πᾶσιν | αἰνέσωμεν συμφώνως
Νικολάῳ μεγίστῳ ἱεράρχῃ
Ἰωάννην | πρᾶόν τε καὶ ἐλεήμονα. Ὄντως ἐπαξίως
ἄσμασιν ἐνθέοις | στέφῃ κατακοσμοῦνται.
Ἐπαξίως | ἐπαινέσωμεν πάντες
τοῦ Κυρίου | τοὺς θείους ἱεράρχας,
Νικηφόρον | Λεόντιον καὶ Μᾶρκον τε ἅμα τῷ πανσέπτῳ
θείῳ Εὐθυμίῳ | εὐφήμοις ὑμνῳδίαις.
Τὸν ποιμένα | καὶ θεόσοφον πάντες
θαυμασίως | καὶ σεπτὸν ἱεράρχην
Ἀθανάσιον ὕμνοις καταστέψωμεν | ἅμα Σωφρονίῳ
καὶ τῷ σοφωτάτῳ ἱερῷ Γρηγορίῳ.
Ἀπὸ πάσης ὀργῆς τε καὶ ἀνάγκης
ῥῦσαι, Σῶτερ, | τὴν πόλιν καὶ λαόν σου
πρεσβείαις, Λόγε, τῶν ἀρχιερέων σου,
ὧν τελοῦντες μνήμην | σὲ ὑπερυψοῦμεν.
Θεῖος ὄντως | χορὸς ὁ τῶν ἁγίων
καὶ ὁσίων | Χριστοῦ ἀρχιερέων
ὑπὲρ ἡμῶν πρεσβεύει πρὸς τὸν Κύριον,
ὅπως ἡμᾶς ῥύσῃ | εἰς πάντας τοὺς αἰῶνας.

Τριαδικόν.

Ὡς μονάδα | τῇ οὐσίᾳ ὑμνῶ σε.
ὡς τριάδα τοῖς προσώποις σὲ σέβω,
Πάτερ, Υἱὲ καὶ Πνεῦμα τὸ πανάγιον.
Ἄναρχον τὸ κράτος | τῆς σῆς βασιλείας
δοξάζω εἰς αἰῶνας.

Θεοτοκίον.

Ἀνωτέρα | ἐδείχθης, Θεοτόκε,
τῶν Ἀγγέλων, | ὡς τὸν ἁπάντων Κύριον
βαστάσασα. | Τοῦτον ἐκδυσώπει,
ἄχραντε παθένε, | ὑπὲρ τῶν σὲ ὑμνούντων.

Ὠδὴ θ'. «Τὸν προδηλωθέντα».

Λύσιν τῶν πταισμάτων ἡμῶν | αἰτήσασθε, θεοφόροι
ἅγιοι πατέρες ἡμῶν | καὶ σοφοὶ ἱεράρχαι.
Δυσωπεῖτε, ὑπὲρ ἡμῶν τῷ Κυρίῳ,
ἵνα λυτρωθῶμεν | ἐκ παντοίων δεινῶν.

Ὅσιοι πατέρες ἡμῶν, | σοφοὶ ἱεράρχαι,
κήρυκες Χριστοῦ, | οἳ καλῶς, ὀρθοδόξως,
τὴν πίστιν ἐστηρίξατε | καὶ αἱρετὸν ταύτην
πᾶσι τοῖς ἀνθρώποις | ἐδιδάξατε.

Ὑπὲρ τῶν τελούντων πιστῶς | ὑμῶν τὴν θείαν μνήμην,
ὅσιοι πατέρες ἡμῶν, | σοφοὶ ἱερομύσται,
τῷ Κυρίῳ | ἐκδυσωπεῖτε ἀπαύστως
ὅπως λυτρωθῶμεν | πάσης θλίψεως!

Σήμερον εὐφραίνει χορὸς | Ἱεροσολύμων
ἀρχιεραρχῶν ἱερῶν | καὶ θείων διδασκάλων
σὺν ἁγίοις | καὶ γυναιξὶν μυροφόροις,
ὡς Σιὼν τῆς ἄνω | λειτουργοῦσιν ἀεί.

Τριαδικόν.

Ὁ εἷς ἐν Τριάδι Θεὸς | δόξα σοι ἀπαύστως·
εἰ γὰρ καὶ Θεὸς ἕκαστος, | ἀλλ' εἷς τῇ φύσει πέλεις
ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα | τοῖς τρισσοφαέσιν | ἰδιώμασιν.

Θεοτοκίον.

Βρέφος γαλουχεῖς, ἄχραντε, | σωτῆρα τοῦ κόσμου,
ἵνα ἀπαλλάττῃ βροτούς. | Λόγος Θεοῦ ὑπάρχων,
ἐκ Πατρὸς πρὸ τῶν αἰώνων ἐκλάμψας,
οἷός σαρκωθῆναι | ὡς ηὐδόκησεν.

Ἐξαποστειλάριον πρὸς τὸ «Ἐπεσκέψατο ἡμᾶς».

Τοὺς μεταστάντας εὐσεβῶς, | τοὺς ἱερεῖς σου, Κύριε,
ἀνάπαυσον ὡς ἀγαθὸς | σὺν διακόνοις τοῖς σεπτοῖς
τοῖς πίστει λειτουργοῦσί σοι | καὶ ἐν σκηναῖς τῶν ἐκλεκτῶν
κατάταξον, Δέσποτα.

(Μετά τινα φύλλα).

Εἶτα ἄρχονται τῆς θείας ἐκτενοῦς ἱκεσίας.

Ὁ ἱερεύς. Ἔτι ἐκτενῶς τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός. Κύριε ἐλέησον, ἅπαξ.

(Ὁ διάκονος). Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀειμνήστων ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἐν ταύτῃ τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ ἀρχιεπισκόπων καὶ πατριαρχῶν, Ἰακώβου, Συμεών, Ἰούδα, Ζακχαίου, Τωβίᾳ, Βενιαμίν, Ἰωάννου, Ματθίᾳ, Φιλίππου, Σενέκα, Ἰούστου, Λευΐ, Ἐφραίμ, Ἰωσήφ, Ἰούδα (οὗτοι εἶεν οἱ ἐκ περιτομῆς), Μάρκου, Κασσιανοῦ, Ποπλίου, Μαξιμιανοῦ, Ἰουλιανοῦ, Γαϊανοῦ, Συμμάχου, Καπίτωνος, Μαξίμου, Ἀντωνίου, Οὐάλεντος, Δηλιχιανοῦ, Ναρκίσσου, Δίου, Γερμανοῦ, Γορδίου, Ἀλεξάνδρου, Μαζαβανᾶ, Ἰεμεναίου, Ζαβδᾶ, Ἑρμᾶ, Μακαρίου, Μαξίμου (ἕως ὧδε ἐπίσκοποι καὶ ἀπὸ ὧδε πατριάρχαι), Κυριλλου, Ἰωάννου, Παυλίου, Ἰουβεναλίου, Ἀναστασίου, Μαρτυρίου, Σαλουστίου, Ἠλία, Ἰωάννου, Πέτρου, Μακαρίου, Εὐτυχίου, Ἰωάννου, Ζαχαρίου, Μοδέστου, Σωφρονίου, Ἰωάννου, Θεοδώρου, Ἠλία, Γεωργίου, Θωμᾶ, Βασιλείου, Σεργίου, Σολομῶντος, Θεοδοσίου, Ἠλία, Σεργίου, Λεοντίου, Ἀθανασίου, Χριστοδούλου, Ἀγάθωνος, Ἰωάννου, Χριστοδούλου, Θωμᾶ, Ἰωσήφ, Ὀρέστου, Θεοφίλου, Νικηφόρου, Ἰωαννικίου, Σωφρονίου, Εὐθυμίου, Συμεών, Ἰωάννου, Νικολάου, Ἰωάννου, Νικηφόρου, Λεοντίου, Μάρκου, Εὐθυμίου, Ἀθανασίου, Σωφρονίου, Γρηγορίου. [Ἕπεται ἄγραφος σελίς] [1].

Ἔτι δεόμεθα ὑπὲρ [τῶν ἀει]μνήστων ὁσιων πατέρων ἡμῶν καὶ οἰκουμενικῶν τῶν ἐν Κωνσταντινουπόλει πατριαρχῶν, ἀρχιεπισκόπων, ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ἀναγνωστῶν, ἑρμηνευτῶν καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ. [Ἕπεται σελὶς ἄγραφος].

Ἔτι δεόμεθα ὑπὲρ [τῶν ἀ]ειμνήστων ὁσίων πατέρων ἡμῶν τῶν

[1] Νεώτεραι χεῖρες προσέθηκαν «Δωροθέου, Γερμανοῦ» καὶ κατόπιν «Εἰς τοὺς ,ζπς' (1577—1578) Γερμανὸς πατριάρχης Ἱεροσολύμ. Εἰς τοὺς ,ζρς' (1607—1608) Σωφρόνιος πατριάρχης. Εἰς τοὺς ,ζρζ (16 8 -1609) Θεοφάνης Ἱεροσολύμων.—Εἰς τοὺς ,ζρν', ἀπὸ Χριστοῦ ,αχπ' (sic) Παΐσιος πατριάρχης Ἱεροσολυμίτης. - 1661 Νεκτάριος πατριάρχης. -1669 Δοσίθεος πατριάρχης ὁ νῦν μακαριωτος ἡμῶν δεσπότης.—1707 Χρύσανθος πατριάρχης ὁ νῦν μακαριωτατος ἡμῶν αὐθέντης καὶ δεσπότης».

ἐν τῇ παλαιᾷ Ῥώμῃ πατριαρχῶν, ἀρχιεπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων καὶ παντὸς ἱερατικοῦ τάγματος, καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ τοῦ ὀρθοδόξου: Πέτρου, Λίνου, Ἀνεγκλήτου, Κλήμεντος, Εὐαρέστου, Ἀλεξάνδρου, Ξύστου, Τελεσφόρου, Ὑγίνου, Πίου, Ἀνικήτου, Σωτηρίχου, Ἐλευθερίου, Βίκτορος, Ζεφυρίνου, Καλλίστου, Οὐρβανοῦ, [Ποντι]ανοῦ, Ἀντερρίου(sic). Φλαβιανοῦ, Μάρκου, Καρτερίου, Κορνηλίου, Λουκίου, Στεφάνου, Ξύστου, Διονυσίου, Φήλικος, Εὐτυχιανοῦ, Γαΐου, Μαρκελλίνου, Μελτιάδου, Σιλβέστρου, Ἰουλιανοῦ, (οἱ ἐν τῇ συνόδῳ Νικαίας) Λιβερίου, Δαμάσου, (οἱ ἐν τῇ συνόδῳ ρν΄) Συρίκου, Ἀναστασίου, Ζωσιμᾶ, Κελεστίνου, (οἱ ἐν τῇ πρώτῃ συνόδῳ Ἐφέσου) Ξύστου, Λεοντίου. . . .

[Λείπει ἡ συνέχεια ἐκ τοῦ κωδικος].

VIII.

ΑΛΕΞΙΟΥ ΜΑΚΡΕΜΒΟΛΙΤΟΥ

ΛΟΓΟΣ ΙΣΤΟΡΙΚΟΣ

περιέχων τὴν τῶν Γεννουϊτῶν ἀσθένειαν ὅτε εἰς τὴν τῶν Ῥωμαίων ἀσίκοντο καὶ τὰς εἰς αὐτοὺς τῶν κρατούντων εὐεργεσίας καὶ τὴν ἐντεῦθεν τούτων εὐδαιμονίαν καὶ τὸν πλατυσμὸν καὶ τὴν ὕστερον αὐτῶν περὶ τοὺς εὐεργέτας κακοτροπίαν καὶ ἐπιβουλήν.

(Cod. Sabb. 417, p. 257—284).

(Τμῆμα πρῶτον).

1. Τοῦ πρώτου Παλαιολόγου τῶν σκήπτρων τῆς βασιλείας ἐπειλημμένου καὶ τὰ Ῥωμαίων διέποντος πράγματα, ἐπεισέφρησεν εἰς τὴν ἡμετέραν ἐξ Ἰταλίας γένος ἰταμὸν καὶ ἀμείλικτον καὶ πρὸς τοὺς οἰκείους εὐεργέτας φονικὸν καὶ ἀχάριστον, ᾧ πατρὶς μὲν ἦν ἡ Γενούα, μᾶλλον δέ, ὡς ἄν τις εἰκότως ἐρῇ, ἡ τοῦ πυρὸς γέεννα, ἐκεῖθεν ἐκδιωχθὲν ὡς φιλοπόλεμον καὶ πειρατικόν. Δέχεται δὲ τοῦτο ὁ κρατῶν εὐμενῶς καὶ τὴν ἀπέναντι τῆς βασιλευούσης τῶν πόλεων δίδωσιν εἰς καταμονήν, καὶ ἀτέλειαν ἐπὶ πᾶσι καὶ ἐλευθερίαν χαρίζεται· ἐν ᾧ δῆτα τόπῳ σκηνὰς τὸ πρῶτον ξυλίνας καὶ χορτοσκεπεῖς πηξάμενον, πενιχρὸν ὂν καὶ εὐάριθμον, ἔμενε τὸν ἰὸν ἔχον λελη θότως ἐν ἑαυτῷ αὐξανόμενον κατ' ὀλίγον καὶ πλατυνόμενον· τὰ γὰρ παρ αὐτοῦ ὀφειλόμενα τέλη τῷ δημοσίῳ τοῖς Ῥωμαίοις ἐπιτιθέντα, τοῦτο μὲν ἀπ ὄνων εἰς

ἵππους. ὡς λόγος, Ῥωμαῖοι δὲ τοὐναντίον τοῦ χρόνου προϊόντος πεπόνθασιν.

2. Ὑφ' ἑτέρου δὲ γένους λατινικοῦ μετὰ χρόνους τινὰς πολεμούμενον — ὃ καὶ τὰς ἑαυτοῦ καλύβας ἄρδην ἐνέπρησε — δέχεται τοῦτο ὁ βασιλεὺς εἴσω τῆς πόλεως φιλοφρόνως, μᾶλλον δ' ἐντὸς τῶν κόλπων αὐτοῦ, καὶ τῆς ἑαυτοῦ περιποιεῖται ζωῆς καὶ ὧν ἔσχε σωτηρίας πραγμάτων, καὶ πολλὰς νομισμάτων χιλιάδας κατὰ τῶν ἀντιπάλων ἀποχαρίζεται· ἃ καὶ ὡς ὀφειλόμενον χρέος εἰς μακρὸν ἐλάμβανε χρόνον, εἰς τὴν τῶν ἐναντίων δῆθεν κατάλυσιν χρώμενον. Μαίνεται δὲ μετ' εὐεργεσίας τοσαύτας καὶ τοὺς τοῦ εὐεργέτου φονεύει θεράποντας, τοῦ πρώτου γένους καὶ τῆς συγκλήτου τυγχάνοντας, οἷά τις κύων λυττῶν δεσπότην τὸν ἴδιον· καὶ φιλανθρωπίας αὖθις τυχὸν κτείνει μετὰ ταῦτα καὶ τοὺς ὁμοπίστους Βενετικούς, τὴν οἴκησιν καὶ αὐτῶν ἐνταυθοῖ ποιουμένων, μηδενὸς τούτων φεισάμενον. Ἐξ οὗ δῆτα τῆς πόλεως ἐκβληθὲν εἰς τὴν δοθεῖσαν αὐτῷ χώραν καὶ αὖθις ἀποκαθίσταται, σκηναῖς ταῖς ἐξ ὑπαρχῆς καὶ αὖθις ἐκεῖσε πηξάμενον, καὶ διὰ τῆς εἰρημένης πρὸς αὐτὸ τοῦ κρατοῦντος εὐεργεσίας καὶ χάριτος μετὰ χρόνον οὐ πάνυ συχνὸν νῆας ἐξ ἀκατίων πολυχωρήτους καὶ τριήρεις ἐκτήσατο, ἐπὶ λιμένος ἀσφαλοῦς καὶ ἀκλύστου ταύτας περισωζόμενον. Καὶ ταῦτα μὴ ἦν ἐνδόσιμον αὐτῷ πλὴν τριήρεων ἑτερόν τι εἶδος πλοίου κατασκευάσαι, ὅπως κωπηλατοῦν τὸ Ἀρχεῖον καταλαμβάνῃ, τὰς εὐφημίας τῶν κρατούντων διατόρῳ φωνῇ ποιούμενον. Οἰκίας δ' ἀντὶ σκηνῶν ἐλαχίστων διωρόφους καὶ τριωρόφους καὶ ναοὺς περικαλλεῖς καὶ μοναχῶν καταγωγὰς ἐδομήσατο, τὴν δὲ χώραν ταῖς κατὰ μικρὸν βελτιώσεσι καὶ τείχεσιν ἐρύμνοις καὶ πύργων ὑψώμασι καλλωπίζει καὶ τάφροις ἐξασφαλίζεται, τοὺς παραδυναστεύοντας τηνικαῦτα δώροις ὑποφθεῖραν καὶ διαφόροις χαρίσμασι, τὴν τῶν ἀντιπάλων δῆθεν βλάβην ἐντεῦθεν ἀποκρουόμενον. Πλοῦτον δὲ συνάγει τὸν γῦρον τῆς γῆς διαποντίως διερχόμενον ἄφατον, καὶ πᾶν ἀγαθὸν ταμιεύεται εἰς τόδε τὸ καταγώγιον, ὅπερ εἰς ζωὴν καὶ ἀσφάλειαν τοῖς ἀνθρώποις πέφυκεν ἐπιτήδειον.

3. Πλατύνεται δὴ καὶ πληθύνεται, τοῦ χρόνου τριβομένου, καὶ μεγαλύνεται καὶ εἰς ὕψος αἴρεται καὶ ὑπερφρονεῖ. Καὶ ὁ τὸν πρῶτον ἀπατήσας ἄνθρωπον μείζονος δόξης ἐπιθυμῆσαι, ἵν' ἐκπέσῃ καὶ ἧς παρὰ τοῦ Δεσπότου τετύχηκε, πείθει καὶ τοῦτο κατὰ τοῦ εὐεργέτου τραχηλιᾶσαι — ὡς ἐκεῖνος κατὰ τοῦ πλάσαντος — ὡς ἂν καὶ τοῦ ἴσου τύχῃ πτώματος. Τὸν δόλον τοιγαροῦν ἔχον ἐν ἑαυτῷ πρὸ πολλοῦ, καὶ πρὸς μάχην παρασκευαζόμενον καὶ ὅπλα. ἐλάνθανε Ῥωμαίους δ' ἣν πρὸς αὐτοὺς ἐδείκνυε φιλίαν ἀνεπίπλαστον. Μᾶλλον δ' ἐγινώσκετο ἐξ ὧν ἐσφετερίσατο τῆς βασιλείας καιροῦ δραξάμενον νήσων καὶ πόλεων, οὐ μὴν ἀλλὰ καὶ ἐκ τῆς προφανοῦς αὐτῶν κατὰ καιροὺς ἀναιδείας καὶ καταφρονήσεως, καὶ μάλιστα ἐκ τῶν νῦν γενομένων πρός τε αὐτοὺς ἀνυποστόλως καὶ τὸν αὐτοκράτορα ἐξουθενισμῶν τε καὶ ὕβρεων· καὶ γὰρ ἐμνησικάκει τοῦτον καὶ σφόδρα κατ' αὐτοῦ ἐφλέγμαινε, τοῦτο μὲν καὶ δι' ἣν ἐχορήγησε πρὸ ὀλίγου Ῥωμαίοις εὐεργεσίαν διὰ χρυσοβούλλου, ὀλίγον ἀποδέουσαν τῆς πάλαι πρὸς αὐτὸ γενομένης, τοῦτο δὲ καὶ δι' ἃς ἐναυπήγει νῆας μακρὰς καὶ ὅτι τὸν ἀπεχθανόμενον αὐτοῖς ἄνθρωπον τοῦτον κατέστησε ναύαρχον εἰς τὸν κατ' αὐτῶν, ὡς ὤοντο, μελετώμενον πόλεμον, ὥσπερ εἰ ἦν συμπεφωνημένον μεταξὺ αὐτῶν καὶ Ῥωμαίων μὴ ἐξεῖναι τὸν αὐτάνακτα προβαλέσθαι τινὰ εἰς ἀρχὴν δίχα τῆς αὐτῶν προτροπῆς καὶ θελήσεως. Ὃν ἐπὶ πολὺ ἀποδημοῦντα αἰσθόμενον καὶ μηκέτ' ὄντα τοῦτον οἰόμενον τὴν ἀνομίαν, ἣν πρὸ πολλοῦ ἐγκυμόνησεν, ἔτεκε· τὸν γὰρ λαὸν τῆς βασιλευούσης τῶν πόλεων, μεθ' οὗ διὰ παντὸς συνεστιᾶτο καὶ συνευφραίνετο, ἐξ οὗ τὸν πλοῦτον πάντα σχεδὸν συνέλεξε, μεθ' οὗ τὰς δορυληψίας ἐς ἀεὶ ἐποιεῖτο, ἀφ' οὗ καὶ τὸ γάλα τὸ ὑποστῆσαν αὐτὸ βρεφικῶς ἐξεμύζησεν, οὗ καὶ ταμεῖον τῶν χρημάτων ἐτύγχανε καὶ ἐπὶ κήδει ἐμίγνυτο, φονεύειν ἀφειδῶς ὁσημέραι καὶ ἐμπαίζειν καὶ καταφρονεῖν οὐκ ἐπαύετο, ὥσπερ ἄλλοτε πολλάκις ἐπὶ τῶν καιρῶν ἐποιεῖτο καὶ συγγνώμης ἐτύγχανε διὰ τὴν ἔμφυτον Ῥωμαίων φιλανθρωπίαν καὶ ἡμερότητα· οὐ γὰρ οἶδε τίειν ἀνέρας, καθ' Ὅμηρον, τουτὶ τὸ γένος, οὐδὲ θεούς, κρατερὴ δὲ αὐτὸ λύσσα δέδυκε (Ἰλ. 9, 238, 239).

4. Διὸ καὶ πολυτελῶς ἀπερυθριᾶσαν, τῷ πυρι—ἐξ οὗ, ὡς εἴρηται, τὴν γένεσιν ἔσχε—συμμαχῳ χρησάμενον ἐξ οὐδεμιᾶς εὐπροσώπου αἰτίας ἐξαίφνης ἐναλάμενον τὸν κόσμον τῆς πόλεως πάντα κατέκαυσεν, ὡς μεμηνὸς καὶ τὰς πρὸς αὐτὸ εὐεργεσίας τῶν κρατούντων καθάπερ ἐπιλαθόμενον· τὰς γὰρ οἰκίας, αἳ παρὰ τὸ τεῖχος αὐτῆς ὡς περιδέραιον ἔκειντο καὶ ὡς ἱμάτιον λαμπρὸν ἐνεδέδυτο, ἀφειδῶς ἀπετέφρωσε καὶ ναοὺς καὶ τεμένη καὶ τὰς φορταγωγοὺς ὁλκάδας μετὰ τῶν ἀγωγίμων καὶ τὰς μακρὰς νῆας, ἃς καὶ τῶν ἄλλων μάλιστα ἐδεδοίκει καὶ ἔτρεμεν, εἰς τὴν ἑαυτοῦ τὰ τούτων μετακομίσαν ἐφόλκια. Ὁμοίως δ' ἀποτεφροῦσι καὶ τὰς ἀντικρὺ κειμένας οἰκίας τῆς πόλεως καὶ τὰς περὶ τὸν Ἀνάπλουν χώρας ἄχρι τοῦ ἱεροῦ Σωσθενίου. Οἶνον δὲ πάντα καὶ σῖτον καὶ εἴ τι τῶν ἀναγκαίων ἕτερον πρὸς τὴν βασιλεύουσαν συνήθως διακομιζόμενον ἔκ τε τῆς κάτω καὶ τῆς ἄνω θαλάσσης, πρὸς δὲ καὶ ἀπὸ κόλπου τοῦ Ἀστακικοῦ, ὁδοστατοῦν, μᾶλλον δὲ μετὰ τῶν τριήρεων διὸν διηρπαζεν αὐταῖς ὁλκάσι καὶ εἰς τὴν ἑαυτοῦ μετεκόμιζεν, οἰόμενον τῇ τῶν ἀναγκαίων ἐνδεία τάχα καὶ τὴν μητέρα ῥαδίως ἑλέσθαι τῶν πόλεων. Τοὺς δὲ κατασχεθέντας ἐν τοῖς πλοιαρίοις ἀνθρώπους τοὺς μὲν ἀγχόνῃ τοὺς δὲ μαχαίρᾳ τοῦ βίου βιαίως ἐξήγαγε, πολλοὺς δὲ καὶ τῷ τῆς θαλάσσης βυθῷ παρέπεμψεν, ἄλλους δ' ὡς πρόβατα πραθησομένους ἐξέπεμψεν οὐ ῥαδίως ἀριθμητούς, τῶν οὐσιῶν ἀπογυμνώσας πρότερον, ὧν τιμὴ ἀριθμὸν ὑπερβέβηκεν· ἐνίους δ' ἐν ἐρυμνοῖς φρουρίοις τυγχάνοντας ἐξαπατῆσαν ἐπωμοσάμενον καὶ εἰς χεῖρας οὕτω λαβόν, τοὺς μὲν ἐφόνευσε, τῶν δὲ τὰς περιουσίας ἁρπάσαν εἴασεν ἀπελθεῖν ὑπ' ἐνδείας τῶν ἀναγκαίων καὶ τοῦ ψύχους φθαρησομένων· ἄλλους δὲ μὴ θελήσαντας ὑπεῖξαι τῇ τούτων δουλείᾳ πυρὸς ἐποιήσαντο παρανάλωμα, πάντα βάρβαρον ὑπερβαλόντες καὶ ἄθεον εἰς ἀπανθρωπίαν καὶ ὠμότητα. Τοιαύτην ἀδικίαν εἰς τοὺς εὐεργέτας αὐτῶν οἱ μόνοι δίκαιοι διεπράξαντο, ἥτις καὶ Σκυθῶν καὶ Ἀγαρηνῶν ὑπερβέβηκεν ἀγριότητα! — καὶ ταῦτα, δικαιοσύνην ἄκραν ὑποκρινόμενοι καὶ φαρισαϊκῶς μεγαλαυχοῦντες ὡς ἐκ τῶν διδασκάλων αὐτῶν παράδοσιν ἔχοιεν μηδέν τι ἐς ἀλλοτρίων συμμῖξαι

τῷ βίῳ αὐτῶν· εἰ δέ που τοῦτο γενόμενον εὑρηται, μὴ παραδέχεσθαι ὅλως τὴν Ἐκκλησίαν αὐτὸν πρὶν ἂν ἀντιστρέψῃ τοῦτο τῷ ἔχοντι!

5. Τῶν δ' ἐν ταῖς μάχαις πεσόντων μνήμην ἐποιήσαντο θαυμασίαν καὶ περιβόητον, πανημέριοι μετὰ πλείστων φώτων καταυλοῦντές τε καὶ καταψάλλοντες, ὡς νέους μάρτυρας τούτους οἰκειωθῆναι τῷ Θεῷ ἰσχυριζόμενοι καὶ ταῖς τούτων σκηναῖς ἀναπαύεσθαι. Τὴν δὲ βασιλικὴν σημαίαν ἀπωσάμενοι ὄφεως σχῆμα σαφῶς ἐν τῷ ταύτης κοντῷ ἀπηώρησαν, ὡς ἂν δείξωσιν ἀριδήλως ἐντεῦθεν ὡς αὐτοί ἂν εἶεν ὁ ὄφις ἐκεῖνος ὃς τὸν γεωργὸν τὸν ἐν τῷ κόλπῳ αὐτὸν περιθάλψαντα τρώσας ἀπέκτεινεν· ὃ μὴ γένοιτο, Χριστὲ βασιλεῦ, ἀλλ' εἰς τὸν ὑπ' αὐτοῦ γενόμενον βόθρον κατενεχθείη καὶ ἐκ τῆς βίβλου τῶν ζώντων ἐξαλειφθείη αὐτοῦ τὸ ὄνομα! οὐ γὰρ ἐχρῆν τοὺς τοῦ Σταυροῦ προσκυνητὰς φανερῶς μαχομένους τὸν Σταυρὸν σέβεσθαι καὶ τιμᾶν, ἀλλὰ τὸ ὄργανον τῆς κακίας, τὸν ὄφιν! Ἄλλην δ' εἰληφότες ἐκ τῶν ρωμαϊκῶν πλοίων σημαίαν τῷ βυθῷ τῆς θαλάσσης θαμινῶς κατεβάπτιζον, ὡς εἴτινες ἐχθροὶ τοῦ Σταυροῦ καὶ ἀλάστορες· καὶ ταῦτ' ἐπ' ὄψεσι πάντων ἐποίουν. Οἱ δ' αὐτόμολοι διηγήσαντο ὡς καὶ τὰ λειτουργικὰ τοῦ Θεοῦ σκεύη ἀνυποστόλως ἐπ' ἐδάφους ῥίψαντες κατεπάτησαν καὶ τῶν ἁγίων εἰκόνων ἐνίας. Τὴν δ' ἱερατικὴν ἀμπεχόνην, ἣν ἐν τῇ τῶν μυστηρίων τελετῇ οἱ ἱερεῖς περιβέβληνται, οἱ τούτων μοχθηρότεροι ἀναιδῶς ἀναβαλλόμενοι καὶ μετ' αὐτῆς—φεῦ—ἐν τῷ Κοινείῳ ὀρχούμενοι, οἱ τούτων συμπόται τῷ πλατεῖ τοῦ ποδὸς ἐς τὰς πυγὰς τούτους ἀναθρώσκοντες ἔτυπτον, τὰ χριστιανῶν δῆθεν ἐξουθενοῦντες μυστήρια καὶ ἀντ' οὐδενὸς αὐτὰ λογιζόμενοι. Ἐῶ τὰ διὰ τῶν σημάντρων παίγνια καὶ τῶν ὕβρεων τὰς κραυγὰς καὶ τῶν ἀρρήτων βλασφημιῶν· εὐφόρησε γὰρ καὶ τουτουὶ τοῦ γένους ἡ χώρα κατὰ τὸν ἐν Εὐαγγελίῳ ἐκεῖνον πλούσιον, καὶ ἤθελε μείζονα τὴν ἑαυτοῦ κατοικίαν ποιῆσαι, καὶ μὴ ἔχον τόπον εἰς τὴν ταύτης ἐξάπλωσιν ἔλαβεν ἐξ ἁρπαγῆς ὁπωσδήποτε, ἀλλ' ἤκουσεν εὐθέως «μετ' ὀλίγον, ἄθλιε, τὴν ψυχήν σου ἀπαιτήσει ἀπὸ σοῦ ὁ τοῦ τόπου δεσπότης, καὶ

ὃ ἀδίκως ἐπωκοδόμησας εἰς τὴν τῶν οἰκετῶν αὐτοῦ διαρπαγὴν ἔσεται». Εἶεν.

6. Τὰ δὲ τείχη τῆς πόλεως ὁσημέραι διὰ τῶν τριήρεων περιιόντες ἐπειρῶντο καὶ ταύτης ἐντὸς γενέσθαι, πεπεισμένοι μηδένα εἶναι ἐν αὐτῇ ἄνδρα πολεμιστὴν καὶ γενναῖον τὸν ὅλως αὐτοὺς ἀντιστησόμενον, πλὴν πράγματα τῶν καὶ χειρεπιστημόνων ἀνθρώπων, οἳ οὐ μόνον ἄπειροι μάχης ἦσαν ἀλλὰ καὶ ὅπλων γυμνοὶ καὶ ἀμυντηρίων ὀργάνων καὶ τοῦ στρατηγήσοντος ἔρημοι. Ἦσαν δ' αὐτῆς καὶ τὰ τείχη σαθρὰ καὶ ἀνεπιμέλητα καὶ ἀνθρωπίνης κόπρου οἱ πύργοι ἀνάμεστοι, χρόνον ἐπὶ πλεῖστον εἰρήνην ἀγούσης· δι' ὧν παραστήσασθαι καὶ ταύτην ὡς ῥᾳδίόν τι εὐάλωτον καὶ πυρπολῆσαι ῥᾴδιον ἦν αὐτοῖς, ὡς ὤοντο, καὶ εἰ μὴ σπέρμα Ἀβραὰμ ἦν ἐν ἡμῖν, τάχα ἂν καὶ εἰς τέλος τὰ τῆς ἐλπίδος αὐτῶν ἐχώρησεν. Ἀλλ' ἀντιλαμβάνεται ταύτης συνήθως ἡ πανσθενὴς τοῦ Θεοῦ Λόγου μήτηρ, πρὸς ἣν καὶ ἀνετείθη ἀπὸ πρώτης αὐτῆς καταβολῆς καὶ συστάσεως, καὶ δίδωσι θάρσος τοῖς ἀόπλοις καὶ ἀπειροπολέμοις ἄμαχον, καὶ τρέπονται συμβαλόντες τὸ γαῦρον ἐκεῖνο καὶ ἀνυπόστατον στράτευμα, ὃ τῶν ἐκ σιδήρου ἀνδριάντων οὐδὲν ὑπελείπετο, καὶ ὑποστρέφει κατηῤῥυμένον οὐ μετρίους ἀποβαλὸν ὁσάκις μετὰ τῶν γυμνῶν οἱ σιδηροῖ ἠγωνίσαντο, μετὰ τῶν φοβερῶν ἐκείνων καὶ καταπλήκτων ὁλκάδων καὶ τῶν ἐπ' ἀέρος κρεμαμένων μηχανημάτων καὶ τῶν δίκην ὑετοῦ πανταχόθεν φερομένων βελῶν· οἱ γὰρ τὸν σοβαρὸν σατράπην, τὸν Οὐζουπέκ, καὶ τὰ μυριάνθρωπα τούτου στρατεύματα καταισχύναντες ὑπὸ εὐαριθμήτων καὶ γυμνῶν κατηῤῥύνθησαν, τὴν τῶν Ῥωμαίων εὐανδρίαν καταπλαγέντες καὶ πτήξαντες. Ἡ γὰρ βασιλὶς ἀνδρικωτάτου τυχοῦσα καὶ φρονήματος καὶ ὁρμήματος, ὡσεί τις ἄλλη τῶν ποτε, οὐ κατεπλάγη τὸ φρικαλέον τῆς τούτων ὁρμῆς καὶ αἰφνίδιον· ἀλλὰ τοὺς ὑπὸ χεῖρα πάντας αὐτίκα ἐκκλησιάσασα ἐπυνθάνετο πολλάκις εἰ ὅπλα κατ' αὐτῶν ἄρασθαι βούλοιντο, καὶ ὡς ἐξ ἑνὸς πάντες ἐβόων στόματος «μηδ' ἂν ποτε πρὸς τούτους φιλίως διατεθήσεσθαι κἂν εἴ τι καὶ γένοιτο, κἂν πάντας ὑπὸ τῆς αὐτῶν τεθνάναι συμβαίη χειρός». Εἰ δὲ καὶ ἦσάν τινες τοῦτο ἀπαρεσκόμενοι,

ὧν αὐτοὶ εἶχον ἀνὰ χεῖρας τὰ πράγματα, ἀλλὰ νικᾷ τῶν πλειόνων ἡ ψῆφος· τοσοῦτον γὰρ πάντες τὴν πρὸς αὐτοὺς φιλίαν ἀπείπαντο καὶ ἀπέστερξαν, ὥστε τὸν ἀγάπην ὅλως που ὑποτονθορίσαντα, κἂν ὁποῖον ἄρα καὶ ὄντα, αὐτίκα διαρρῆξαι καὶ τῆς ζωῆς ἀθλίως ἐξαγαγεῖν ἐλέους δίχα τινὸς καὶ φειδοῦς.

7. Τὸ ἀμετάθετον τοίνυν τῆς γνώμης αὐτῶν καὶ ἀμετάτρεπτον καταμαθοῦσα ἡ βασιλὶς συνευδόκει μὲν καὶ αὐτὴ ἐξ ἀνάγκης πρὸς τοῦτο, ἐκωλύετο δὲ ὑπ' ἐνδείας πάντων τῶν εἰς τὴν μάχην ἐπιτηδείων, ἐπεὶ ἀπαράσκευος ἦν. Καὶ τὴν μὲν εἰς πρόὐπτον μάχην ἀνεβάλλετο τεχνηέντως συνέσεως οὖσα πλήρης, τὸν βασιλέα δ' ἤθεν ἐκδεχομένη, ἠκριβολόγιζε δὲ ὅμως ἐπιτιθεμένους τοὺς ἀντιπάλους καὶ ἀνεχαίτιζε δι' ὧν κατεσκεύασε θᾶττον πετροβόλων μηχανημάτων καὶ ὧν ἐποιοῦντο ἐκδρομῶν κατὰ συνέχειαν οἱ παρ' αὐτῇ ἱππόται, οὓς ὁ ὑστερογενὴς παῖς αὐτῆς κῦρις Μανουὴλ ὁ Καντακουζηνὸς ἦγε, κορυφαῖος ὢν τοῦ ἐν τῇ πόλει λαοῦ, καὶ ὁ ἐπὶ θυγατρὶ γαμβρὸς αὐτῆς, ὁ Κόντος· οἳ πρεσβυτικὸν εὐτύχουν ἐπὶ νεανικῆς ἡλικίας τὸ φρόνημα. Ἦσαν δὲ καὶ στρατηγικῶν μεθόδων οὐκ ἀδαεῖς, οὐδὲ εὐβουλίας καὶ αλκῆς καὶ τῆς στρατηγῷ προσηκούσης ἀγχινοίας τε καὶ συνέσεως. Διὸ καὶ νύκτας πάσας ὡς ἡμέρας ἠγρύπνουν, τὰ τείχη τῆς πόλεως περιιόντες καὶ φυλάττοντες αὐτὴν ἄχρις ἂν ἐπανῆκεν ὁ βασιλεύς, ὃς καὶ τὴν ἑαυτοῦ ζωὴν ὑπὲρ τῆς τῶν δούλων σωτηρίας ἡδέως ἂν ἔδωκεν. Ἀλλ' οὐκ εἶχεν οὐδ' αὐτὸς δεῖξαι εὐθέως τὴν εἰς τὸ ὑπήκοον διάθεσιν αὐτοῦ καὶ τὴν σοφίαν καὶ εὐανδρίαν καὶ σύνεσιν, μὴ ὑπὸ τῶν πραγμάτων βοηθούμενος καὶ τῆς τοῦ σώματος εὐεξίας καὶ τῆς παρασκευῆς, ὧν ἁπάντων δεῖται ὁ πόλεμος.

8. Πρὸ δὲ τῆς τούτου ἐλεύσεως οἱ πυρίγονοι ἐπὶ τὰ πρόσοικα τῶν Ἰταλῶν διεμηνύσαντο γένη ἀξιοῦντες συμμαχῆσαι ταχέως αὐτοῖς, εἰ δὲ τῆς παρ' αὐτῶν ἐπικουρίας τούτους ἀπαξιώσαιεν, μετὰ τὴν αὐτῶν κατάλυσιν ἐκδέχεσθαι Ῥωμαίους αὐτίκα καὶ πρὸς αὐτοὺς τὰ ὅμοια δράσειν· πρὸς οὓς καὶ τὴν ἀγαθὴν διαβάλλουσι καὶ εὐσεβεστάτην Ῥωμαίων συνείδησιν, ὡς τὴν ἀληθῆ καὶ ἀμώμητον πίστιν αὐτῶν ἀρνησάμενοι προστεθῆναι τοῖς ἀθέοις Ἀγα-

ρηνοῖς καὶ πρὸς τὴν τούτων χωρῆσαι ὁμόσε κατάλυσιν. Ἡ γοῦν τοιαύτη διαβολὴ τὸν ἄρχοντα τῆς Ῥόδου παρεκίνησε πρεσβεύειν πρὸς τὸν βασιλέα, καὶ δὴ τοῦτον εἰρηνεῦσαι μετὰ τῶν πυριγόνων σπουδάζει πρὶν ἂν εἰς ἀνίατον τὰ τοῦ πράγματος περιστῇ· ὁ δὲ κατανεύει εὐθὺς ὡς τοῦ εἰρηνάρχου μαθητής, ἀμνηστείαν λαβὼν πάντων τῶν εἰς αὐτὸν πεπαρωνημένων, εἴ γε τῆς πλεονεξίας αὐτοὶ ἀποστήσωνται καὶ εἰς τὰ δοθέντα αὐτοῖς ἀνέκαθεν μείνωσι δίκαια. Τῶν δὲ ὧν βία καθήρπασαν ἀποστῆναι μηδόλως θελησάντων, οἱ πρέσβεις μηδὲν ἀνύσαντες ὑπέστρεψαν· ὧν καὶ παρόντων ἔτι καὶ ἀπελθόντων, τῶν πειρατικῶν οὗτοι ἐπιτηδευμάτων ἀνυποστόλως εἶχοντο, ἁρπαγὰς ὁσημέραι ποιούμενοι καὶ φόνους ἀνδρῶν, ὅτε καὶ τὰ εἰς τὸν λιμένα τῆς Ἡρακλείας κατάραντα πλοῖα ἀπελθόντες τὰ μὲν ἐνέπρησαν, τὰ δὲ μετὰ τῶν ἀγωγίμων εἰς τὴν ἑαυτῶν μετεκόμισαν, σκιρτῶντες ἅμα καὶ ἀγαλλόμενοι καὶ κεφαλὰς ἀρτιτμήτους τοῖς πολίταις ἐπιδεικνύντες. Ὅπερ τὸ ναυτικὸν διετάραξε μάλιστα, καὶ κατὰ τοῦ κρατοῦντος ἀνοηταίνοντες ἐπεγόγγυζον ὅτι μὴ οὐ συνεχωροῦντο ταχέως κατ' αὐτῶν ἐξελθεῖν· ὁ δὲ ἀγχίνους ὢν καὶ καρτερικώτατος τῆς τούτων εὐτραπελίας ἠνέσχετο μέχρις ἂν αὐτῷ παρασκευασθῶσι πάντα τὰ πρὸς τὸν πόλεμον ἐπιτήδεια.

9. Διὸ καὶ ἐν πολλοστῷ χρόνου μέρει καὶ τὰ τῆς πόλεως τείχη κατοχυροῦσι καὶ ὅπλα κατασκευάζουσι τῇ ἀμιμήτῳ σπουδῇ τοῦ κρατοῦντος, καὶ πετροβόλα ἕτερα σκεύη τεκταίνουσι, δι' ὧν τῶν οἰκημάτων αὐτῶν πολλὰ καταθραύουσι καὶ τῶν νηῶν οὐκ ὀλίγας τῷ βυθῷ καταδύουσι, τὰς δὲ λοιπὰς ἐκ τοῦ λιμένος ἀποδιώκουσιν, ἃς τὸ πρῶτον εἶπεν ἄν τις ἰδὼν ἱστοὺς οὐ νηῶν ἀλλ' ὄρος δασὺ καὶ κατάφυτον ἐπὶ τῶν τῆς θαλάσσης νώτων παραδόξως ἀναφυέν· ἐξ ὧν πέντε κατὰ συνέχειαν συντεθεῖσαι γεφύρας δίκην τὸν πορθμὸν ἅπαντα σχεδὸν ἐναπέκλεισαν, ἀγχοῦ τῶν τειχῶν τῆς τελευταίας ἐγγισάσης. Ἀλλὰ τὸ εἰρημένον μηχάνημα καὶ αὐτοὶ μιμησάμενοι καὶ ἐπὶ νηῶν κατασκευάσαντες καὶ στηρίξαντες ἐπ' ἀγκύρων ἔθραυσαν ἐνίας τῶν οἰκιῶν· ὕστερον δὲ καὶ τὸν ἐν Βλαχέρναις ναὸν τῆς Θεομήτορος, τὸν περίκλυτον καὶ περίδοξον, ἑλωβή-

σαντο λίθοις βαλόντες, οἳ καὶ μέχρι τοῦ Ἀρχείου ἐγένοντο. Ἀπεπειράσαντο δὲ τὰ ὅμοια δράσειν κἀπὶ τὴν σεβασμίαν τοῦ Σωτῆρος Χριστοῦ τοῦ Εὐεργέτου μονήν, ἐν ᾗ καὶ δέκα πρὸς τοῖς ὀκτὼ λίθους βαλόντες—ὦ τοῦ θαύματος!—οὐδεὶς αὐτῶν οὐδὲ τὸν ἐπικείμενον τῇ στέγῃ μόλυβδον διατρῆσαι ἴσχυσεν, ἀλλ' ἀπεστράφησαν πάντη ἄπρακτοι, ὡς καὶ οἱ τούτους βαλόντες. Ἐν δὲ τῷ νεωρίῳ τῶν Σοφιανῶν παραγενόμενοι ἐπειρῶντο καὶ τὰς ἐκεῖσε μακρὰς νῆας, ἃς ὁ αὐτοκράτωρ ἐν ὀλίγαις ἡμέραις περιουσίᾳ σπουδῆς ἐτεκτήνατο παρὰ πᾶσαν ἐλπίδα, καταθραῦσαι ἢ τὴν τούτων κωλῦσαι διέξοδον δι' ὧν ἐπετηδευσαν ἐκεῖσε πετροτρόμων καταδῦσαι ὁλκάδων. Πλὴν ὑπέστρεψαν κἀκεῖθεν μηδὲν ἀνύσαντες κατησχυμένοι καὶ καταγέλαστοι, οὐκ ὀλίγοι τραυματίαι γενόμενοι, πολλοὶ δὲ καὶ ἀποθανόντες· ἀπεκρούσθησαν γὰρ καὶ αὖθις τῇ ἀμάχῳ ἰσχύι τῆς ὑπερμάχου ἡμῶν στρατηγοῦ καὶ προστάτιδος, ἥτις ἀντιλαμβάνεται ἡμῶν ὅταν τὴν ἡμετέραν ἐλπίδα πόδας ἔχειν μὴ βλέπουσα.

10. Μεθ' ἱκανὰς δὲ καὶ αὖθις ἡμέρας τὸν τοιοῦτον λιμένα καταλαμβάνουσι μεθ' ὁρμίας ὁρμῆς καὶ δυναμεως καὶ τοῦ αὐτοῦ πετροβόλου σκεύους, τῶν βασιλικῶν τριήρεων ἐν τῇ λίμνῃ κατὰ συνέχειαν ἱσταμένων καὶ μηδεμιᾶς ἐλπίδος οὔσης ἄθραυστόν τινα ἐξ αὐτῶν διατηρηθῆναι. Πάσης οὖν καρδίας διὰ τοῦτο ὑπὸ ἀνηκέστου λύπης κατασχεθείσης, ἐν δυσὶν ἡμέραις ἑβδομήκοντα βάλλονται λίθοι, μηδενὸς τούτων μηδεμίαν λυμηναμένου τὸ σύνολον, ἄλλος ἄλλαχοῦ ἀπροσδόκητον διασκεδασθέντος τῇ τῆς Θεομήτορος εὐεργεσίᾳ καὶ ἀντιλήψει. Ἀνθυποστρέφουσι τοιγαροῦν ἐκεῖθεν κατηφεῖς καὶ ἄναυδοι, ὡσεί τις μετὰ τὴν ἧτταν ἀλεκτρυών. Ῥωμαῖοι δὲ ὥσπερ ἐνθουσιῶντες ἐσκίρτουν τε καὶ ἠλάλαζον καὶ τὴν Θεοτόκον ἀνύμνουν ἐπὶ τῷ παραδόξῳ τοῦ θαύματος. Τὰς δὲ διασωθείσας τῶν βασιλικῶν τριήρεων ἀπὸ τῆς τούτων πυρκαϊᾶς καὶ τῷ ποταμῷ εἰσαχθείσας, ὁμοίως ἀφανίσαι πολλάκις ἐπιχειρήσαντες τοῦ σκοπουμένου διήμαρτον. Τέλος δὲ τὰς ἐκβολὰς τούτων ἀπείργουσι, πετροτρόμα πλοιάρια ἐκεῖσε καταδύσαντες κἀπὶ τοῦ πέλματος καταχώσαντες καὶ παττάλοις ὀξέσι προσπήξαντες, ἅπερ

θᾶττον ἢ λόγος Ῥωμαῖοι ἐκεῖθεν ἀνέσπασαν καὶ ὑφ' ἑαυτοὺς ἐποιήσαντο. Πρὸ ὀλίγου δὲ καὶ τὰ ἐν Σωζοπόλει ἐλλιμενίσαντα πλοῖα κατέκαυσαν, μετ' ὀλίγων πλοιαρίων ἐκεῖσε παραγενόμενοι. Παρεστήσαντο δὲ καὶ τὸ φρούριον Ἀβορδοβιζύην, καὶ τὰ ἐν αὐτῷ καθαρπάσαντες καὶ διαμερισάμενοι ὕστερον καὶ τοὺς ἐποίκους αὐτοῦ εἰς δέκα χιλιάδας νομισμάτων διέπρασαν.

Τμῆμα δεύτερον.

11. Μέχρι μὲν τοῦδε εὔδρομος ἡμῖν ὁ λόγος καὶ μετ' ἐλπίδων χρηστῶν φερόμενος, τὰ ὁσημέραι πραττόμενα οὐκ ἀηδῶς ἐξηγούμενος· οὐ γὰρ ἤλγεινάν που Ῥωμαίους Λατῖνοι, αὐτοὶ ἀνάλγητοι μείναντες. Ἀλλὰ τοῖς μὲν εἰς σώματα ἡ ζημία, Ῥωμαίοις δὲ καὶ εἰς σώματα καὶ εἰς πράγματα. Ναρκᾶ δὲ ἤδη καὶ τῶν ἑξῆς προβῆναι ἀμηχανεῖ· τὸ γὰρ τέλος τῆς μάχης αἴσιον συνθέσθαι ἑτοιμαζόμενος πόρρωθεν τοῦ σκοπουμένου διήμαρτε. Νικῆσαι γὰρ Ῥωμαίους ἀναμφιβόλως πάντες ἐνόμιζον, καὶ τοῦτο τοῖς πάντων ἤρετο στόμασι, πλὴν οὐ συμμαχίᾳ τοῦ δικαίου καὶ ἀπὸ τρόπου χρηστοῦ ἀλλ' ἐκ τοῦ πλήθους τῶν ἁρμάτων καὶ τῶν τριήρεων καὶ τῶν ἐπ' αὐτοῖς ὁπλιτῶν καὶ τῆς ἐπὶ τῆς χέρσου ἱππικῆς τε καὶ πεζικῆς δυνάμεως καὶ τῆς τούτων ἀκαθέκτου καὶ ἀπαρηγορήτου ὁρμῆς, ἀγνοησάντων ὡς τὸ νικᾶν οὐκ ἐν πλήθει ἀλλ' ἐκ τοῦ τιμᾶν ἀρετὴν καὶ εὐσέβειαν. Ἀλλὰ—βαβαί—πῶς ἂν τὰ τῆς ἀποστρόφου τύχης Ῥωμαίων καὶ τῶν δυστυχῶν ἐλπίδων αὐτῶν ἐκτραγῳδήσαιμι τὴν ἀπόπτωσιν; ἢ πῶς ἀδακρυτὶ τὴν τοῦ γενομένου μνήμην ἐνέγκω;—Ὁ διαπορῶν—«Ὦ τῆς αἰφνιδίου μεταβολῆς! Οἷα τοῖς ὀφθαλμοῖς εἶδον οἱ θεασάμενοι καὶ αἱ καρδίαι αὐτῶν οὐκ ἐρράγησαν! Ὦ τῆς συμφορᾶς! Τίς ποτε ἄρα θνητῶν τοιαύτην ἐν ἀκαρεῖ εἶδεν ἀλλοίωσιν; Τίς ὑποχθόνιος δαίμων Ῥωμαίων ἐβάσκηνε τὴν ζωὴν καὶ τὴν δόξαν αὐτῶν ὡς λέων ἁφήρπασε; Τίς ἀποτρόπαιος ἄνεμος, βίαιόν τι πνεύσας καὶ φοβερόν, τὸν ἐπὶ κεφαλῆς αὐτῶν ἀνάπτοντα λύχνον εὐθέως ἀπέσβεσε καὶ τὰ πρόσωπα αὐτῶν ἀτιμίας καὶ αἰσχύνης καὶ κατηφείας ἐπλήρωσε; Τινες ἐκ πυρὸς αἰθερίου σπινθῆρες τὴν ὀπτικὴν τούτων ἀπέσβεσαν δύναμιν καὶ ὡς χέρσον τὴν ὑγρὰν ἐλογίζοντο, καὶ τὰς φερούσας αὐτοὺς μακρὰς νῆας ὡς

ὄφεις [ἰ]οβόλους ὑπώ[π]τευον; Τίς τελχὶν φθο[νερ]ὸς καὶ μι[κρό-θ]υμος τὰς [χρ]ηστὰς αὐτῶν ἐλπίδας ἐξάπινα προρρίζους ἀνέσπασε καὶ εἰς τοὐναντίον μετήμειψε; Ποῖον ἄρα ὑδραῖον δαιμόνιον τὰς σφῶν πανηγύρεις καὶ τὰς ἑορτὰς εἰς πένθος ἔστρεψε καὶ τὸν κοπετὸν τῶν Λατίνων εἰς εὐφροσύνην καὶ ἀγαλλίασιν»;

12. Θέμις. «Ἐγώ, φησὶν ἡ Θέμις, τοῦτ' τὸ παράδοξον ἀτιμασθεῖσα πεποίηκα· ἐμὲ γὰρ ἔθνος ἅπαν ὡς θεὸν καὶ σέβεται καὶ τιμᾷ, καὶ ὕψος ἐξ ἐμοῦ λαμβάνει καὶ πλατυσμόν. Ἐγὼ τοῖς ζῶσι πᾶσι παρέχω τὸ ζῆν καὶ τὴν ὑγείαν χαρίζομαι. Κόσμος εἰμὶ τῶν ἀρετῶν καὶ τῶν παθῶν κατευνάστρια, βασιλέων κράτος τῶν πανταχοῦ καὶ εὐνομία πασῶν τῶν πόλεων, καὶ ὁ ἐξ ἐμοῦ ἀποστὰς καὶ Θεοῦ ἠλλοτρίωται· Θεοῦ δὲ ἀλλοτριωθεὶς τῇ ἀπωλείᾳ ἐκδέδοται. Ἐγὼ τοὺς ἐξ ἐμοῦ καλουμένους τιμίους τίθεμαι καὶ λαμπροὺς καὶ αἰδεσίμους καὶ φοβεροὺς καὶ ἐρασμίους τῷ τῶν ὅλων Δημιουργῷ, ᾧ καὶ συνδικάζω ἀεὶ καὶ οὐδέποτ' ἐνέλειμμαι αὐτῷ συνεδρεύουσα. Μόνην δέ με Ῥωμαῖοι οἱ ἐμοὶ ἀνέκαθεν γνήσιοι ἐκ τῶν πρακτέων αὐτῶν καὶ τῶν ὁρίων καὶ πόλεων ὥςπέρ τι ἄγος ἐξ ἀβουλίας πόρρω ἀπήλασαν· διὸ καὶ τῆς ἐμῆς βοηθείας εἰκότως ἀπεγυμνώθησαν. Ἐγὼ τοὺς ἐμοὺς ὑβριστὰς ἀκρωτηριάζω καὶ τιμωρῶ καὶ κατὰ μικρὸν ὑπεξέρχομαι, καὶ τὸ παλαιὸν κῆδος προσαφαιροῦμαι καὶ εἰς οὐδὲν τίθεμαι τοὺς τιμῶντας τὴν ἐναντίαν μου»— Ὁ διαπορῶν— «Εὖγε τῆς ἰσότητος, Θεοῦ τέκος! Ἀλλὰ πολλῶν ἀπ' ἀρχῆς αἰῶνος δυστυχημάτων συμβάντων τῷ θνητῷ γένει, οὐδὲν ταχύτερον τούτου πώποτ' ἐποίησας, οὐδ' ὀλεθριώτερον καὶ πικρότερον, καὶ ταῦτα πλέον τῶν πολεμίων ἀδικησάντων τῶν τὴν νικῶσαν λαβόντων» — Θέμις — «Ναί· ἀλλ' ἐκεῖνοι δικαιοπραγοῦσι πρὸς ἑαυτούς, κἂν ἄδικοι πρὸς ὑμᾶς ὦσι. Πλὴν ἔστιν ὅτε ὁ ἐμὸς πατὴρ προτιμότερον τοῦ δικαίου τὸ φιλάνθρωπον ποιούμενος, ὅτε ἀναχαιτίσαι θέλει ἐπηρμένον καὶ ὀλέθριον φρόνημα· ὑμεῖς δ' οὐκ ἔστι τῶν ἀπηγορευμένων οὐδὲν καὶ μισητῶν τῷ πατρί μου ὃ μὴ μεθ' ὑπερβολῆς κατ' ἀλλήλων ἐργάζεσθε καὶ ἀλλήλους διὰ ταῦτα μισεῖτε καὶ ἐπαρᾶσθε καὶ ἀναθεματίζετε καὶ τὴν γῆν δακρύων καὶ ἁρπαγμάτων καὶ αἱμάτων πληροῦτε, καὶ τὸν ἀέρα βλασφημιῶν καὶ

στεναγμῶν καὶ ὕβρεων, καὶ πάντα νόμον καταφρονεῖτε δι' αἰσχροκέρδειαν. Διὸ καὶ τὴν νομιζομένην κακίαν, μὴ οὖσαν δέ, ὁ ἐμὸς πατήρ, ὡς γέγραπται, ἐν πάσῃ πόλει πεποίηκεν, ἵνα τὴν οὖσαν καὶ νομιζομένην ἐξαφανίσῃ. Οὐκοῦν Ῥωμαῖοι μὴ ἀθυμήτωσαν τὴν τῶν ἁμαρτημάτων εἴσπραξιν ἐν σώματι θνητῷ ἀλλ' οὐκ ἐν ψυχῇ ἀθανάτῳ ἀποτινύοντες· καὶ γὰρ πολλὰ διδαχθέντες οὗτοι ἐξ ἀκοῆς καὶ ἀσύνετοι μείναντες, ἐξ ὧν ἡ παναλκὴς γνωρίζεται δύναμις τοῦ Θεοῦ, ἔδει καὶ διὰ βασιλικωτέρας αἰσθήσεως, τῆς ὁράσεως, ἀκριβέστερον ταῦτα καταμαθεῖν, ἐπείπερ ὀφθαλμοὶ ὠτίων πιστότεροι. Ναὶ μὴν καὶ μεμαθήκασιν ἀκριβῶς καὶ πεπιστεύκασιν ἐξ ὧν οἴδασιν ἐν ταῖς ἡμέραις αὐτῶν ὅσα σποράδην κατὰ διαφόρους ἐγένετο γενεὰς διὰ τὴν ἐμὴν ὕβριν καὶ περιφρόνησιν—καὶ γὰρ ἤκουον ὡς οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, οὐδὲ γίγας ἐν πλήθει ἰσχύος αὐτοῦ—νυνὶ δὲ τοῦτο καὶ τοῖς σφῶν ἑωράκασιν ὀφθαλμοῖς. Ἐδιδάχθησαν πῶς ὅτε Θεὸς κελεύει ῥαδίως καὶ ὁ εἰς χιλίους διώξεται. Ἔμαθον ὅσας καιροῦ ροπὴ ποιεῖται μεταβολάς. Συνῆκαν μὴ ἐλπίζειν ἐπ' ἄνθρωπον, μηδ' ἐπὶ ἅρπαγμα ἐπιποθεῖν. Ἔγνωσαν ὁποῖον τοῖς ἀδικοῦσι τέλος ἐκδέχεται, ἐν πᾶσι τοῖς στοιχείοις ταμιευόμενον. Χάλαζαι καὶ σεισμοὶ γῆς καὶ θαλάσσης ἐκβρασμοὶ καὶ βίαια πνεύματα καὶ λιμοὶ καὶ λοιμοὶ καὶ ἐμφύλιοι πόλεμοι, ἃ διὰ τὴν ἐμὴν ὕβριν κατὰ διαφόρους καιροὺς ἀπὸ τοῦ αἰῶνος γενόμενα, νῦν ἐπ' αὐτοὺς ἀθρόον πάντα συνέρρευσεν· ὁ γὰρ Θεὸς ὅτε βούλεται ῥαδίως τὰ ὑψηλὰ ταπεινοῖ καὶ τὰ ταπεινὰ ἀνυψοῖ τοῦ δικαίου ἀντιποιούμενος, δίκαιος ὤν, ὡς ἐπὶ τοῦ βαβυλωνίου Σεναχηρεὶμ καὶ τοῦ Ἰωρὰμ βασιλέως [Ἀ]μοραίων, καὶ τοῦ Ἀχαὰβ καὶ τοῦ Ἀμὰν καὶ Μαρδοχαίου καὶ τῶν ἄλλων ὧν αἱ θεῖαι βίβλοι παραδεδώκασι, μεθ' ὧν καὶ ἡ ἥττα τῶν ἕνδεκα φυλῶν παρὰ τῆς μιᾶς ἀναγέγραπται γενέσθαι ἐπὶ Θεῷ δικαστῇ. Νῦν γὰρ μεμαθήκασι Ῥωμαῖοι ὡς ἀληθῶς ματαιάζοντα τὸν ἐπὶ τόξον καὶ ῥομφαίαν ἐλπίζοντα καὶ ὡς μὴ ἐν σοφίᾳ καὶ δυνάμει καὶ πλούτῳ τὸν καυχώμενον καυχᾶσθαι, εἰ μὴ ἐπ' ἀκριβείᾳ δογμάτων καὶ ἔργοις ἀνεπιλήπτοις. Ἔμαθον μὴ ἰσχύειν τὸν ἰσχύοντα ἐν τῇ ἰσχύι αὐτοῦ, εἰ μὴ Κύριος ἀσθενῆ τὸν ἀντίδικον αὐτοῦ ποιήσῃ· καὶ γὰρ Θεοῦ

στρατηγοῦντος μεγάλα καὶ γυναῖκες κατὰ μεγάλων ἀρχῶν εἰργάσαντο, ὡς Ἰουδὶθ καὶ Δεβώρρα καὶ Ἰαήλ. Ἀλλὰ καὶ σμήνη συνεστρατήγουν Ἑβραίοις σφηκῶν τοὺς ἐναντίους τρεπόμενα. οἵτινες ἀνθρωπίνης ἥττης ἀνάξιοι ἐκρίθησαν». Ὃ καὶ Λατίνοις νῦν ἡ τοῦ Θεοῦ ὁμοίως παρέσχετο δύναμις· ἀσπαίροντες γὰρ κατὰ πᾶσαν τὴν νύκτα ἐκείνην καὶ τὰς ἑαυτῶν ψυχὰς ἀπολεγόμενοι, Ῥωμαῖοι δ' εἰς οὐρανὸν τὸ φρόνημα ἔχοντες καὶ κόσμον πάντα σχεδὸν κατέχειν ἤδη νομίζοντες, οἳ μὲν ἡλίου ἀνίσχοντος - κατὰ τὸ γεγραμμένον—ἠγαλλιάσαντο, Ῥωμαῖοι δὲ μηδενὸς ὠθοῦντος μηδὲ διώκοντος ὡσεὶ λίθος τῷ βυθῷ κατεδύοντο· ὑπό τινος γὰρ κραταιοτέρας δυνάμεως οὐκ αἰσθήσει ληπτῆς διωκόμενοι καὶ πρὸς τὸ ταύτης φρικαλέον ἀντωπῆσαι μηδοπωσοῦν δυνάμενοι τῷ βυθῷ τῆς θαλάσσης ἀθρόοι ἐξέπιπτον, ἀντ' οὐδενὸς τὸν ἐξ αὐτῆς θάνατον πρὸς τὴν ἀφόρητον ἐκείνης βίαν ὑπολαμβάνοντες.

13. Ὁ διαπορῶν. «Ποίαν μὲν οὖν ἐκ τῶν πώποτε ἀδομένων συμφορῶν τῇ παρούσῃ παραλληλίσαιμεν· πᾶσαν γὰρ συμφορῶν ἀμετρίαν τὸ αἰφνίδιον αὐτῆς ὑπερβέβηκε, τοσοῦτον ἐν ὑστέροις λυπήσασα ὅσον κεναῖς ταῖς ἐλπίσιν ἔτερπε πρότερον. Πόσος ἄρα χρόνος τὸ τοσοῦτον κατακαλύψει δυστύχημα καὶ τὴν ἧτταν καὶ τὸ αἶσχος ἀνακαλέσεται»; Συνέπαθον Ῥωμαίοις καὶ οἱ τούτων ἐχθροὶ καὶ τῆς συμφορᾶς αὐτοὺς ἀπεκλαίοντο, καὶ τῷ τούτων οἴκτῳ τοὺς νεκροὺς αὐτῶν τῷ χοῒ κατεκάλυψαν, ἀποροῦντες τὴν τοσαύτην τοῦ Θεοῦ εἰς αὐτοὺς ἐγκατάλειψιν. Αὐτοὶ δ' ἐπ' αὐτοὺς καὶ πρηστῆρας οὐρανόθεν κατενεχθῆναι ἐπηύγοντο· μηδεμίαν καὶ γὰρ παρασχόντες λαβὴν τοῖς Λατίνοις ἐρεθισμοῦ ἤρξαντο μάχεσθαι αὐτοὺς εἰς πρόὐπτον -- πεντεκαιδεκάτην τοῦ αὐγούστου μηνὸς ἄγοντος τῆς α' ἰνδικτιῶνος τοῦ ,ς^{ου}ωνς^{ου} ἔτους (1348)· ὁ δὲ βασιλεὺς εἴσω τῆς πόλεως γέγονε τῇ πρώτῃ τοῦ ὀκτωβρίου—καὶ οὐκ επαύσαντο οὔτε οὗτοι Ῥωμαίους ὁσημέραι λεηλατοῦντες, οὔτε Ῥωμαῖοι παρασκευαζόμενοι ἄχρι τῆς τετάρτης τοῦ μαρτίου μηνός. Τῇ δὲ πέμπτῃ ἐξῆλθον θαρσαλέοι τε καὶ εὐέλπιδες, γαυριῶντες ἅμα καὶ χαίροντες, εὐχῆς πανδήμου πρότερον γενομένης. Ἦσαν γὰρ τούτων πλήρεις τριήρεις ἐννέα—ἐν τῷ νεωρίῳ αἱ τέσσαρες ναυ-

πηγηθεῖσαι τῶν Σοφιανῶν—ὧν ἑκαστη ὁπλίτας εἶχε τριακοσίους τοὐλάχιστον, τῶν ἀπὸ σιδήρου ἀνδριάντων μικρὸν ἀποδέοντας· μεθ' ὧν ἕτερα πλοῖα διάφορα ἐν σχήματι τούτων, τὸν ἑκατοστὸν ἀριθμὸν ὑπερβαίνοντα, ὁμοίως καὶ ταῦτα καθωπλισμένα. Τὸ δὲ ναυτικὸν καὶ οἱ ἐν τούτῳ πρωτεύοντες πρὸ πολλοῦ ἠγανάκτουν—ὅτι μὴ ἀπελύοντο ζῶντας τοὺς ἀντιπάλους καταπιεῖν—καὶ ἀναιδῶς κατὰ τοῦ κρατοῦντος ἐγόγγυζον, ὅτι καὶ ἀκμῆται τυγχάνοντες καὶ πλείους τῶν ἀντιθέτων ἐπὶ πολὺ τὴν πρὸς αὐτοὺς πάλην οὐκ ἐπιτρέπονται.

14. Ἐξέρχονται τοιγαροῦν μόλις τοῦ νεωρίου τὴν ῥηθεῖσαν ἡμέραν καὶ ὄπισθεν τοῦ Ἀρχείου τῇ νυκτὶ ἐκεῖνοι ἐνέδρευον, καθ' ἣν καὶ ὁλκὰς λατινικὴ τῶν πάνυ μεγίστων ἀπὸ τῆς κάτω θαλάσσης τὸν πλοῦν ποιουμένη ταῖς τούτων ἐμπίπτει παρ' ἐλπίδα χερσὶ καὶ πυρὸς γίνεται μετὰ πόλεμον παρανάλωμα· ἐν ᾗ καὶ Ῥωμαῖοί τινες κατεκάησαν, ὅσοι ἐπὶ τῇ ταύτης ἁλώσει θαρσαλέοι ἀνέρπυσαν. Τὸ δὲ σύνθημα ἦν, ὡς ἐλέγετο, καὶ ἡ τοῦ κρατοῦντος παραγγελία εἰς τε τοὺς ἄρχοντας τῶν πλωΐμων καὶ τοῦ στρατιωτικοῦ, ἵνα πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ὁμόσε κατὰ τῶν ἀντιπάλων χωρήσωσιν, οἵτινες τοῦ ἀριθμοῦ τῶν μυρίων τετρακισχιλίων ἦσαν ἐπέκεινα, καὶ πάντες ἐπίλεκτοι καὶ ἀκμάζοντες. Καὶ εἶχον ἂν εὐδαιμόνως Ῥωμαῖοι, εἰ οὕτω γέγονεν! Οἳ δὲ τοῦ συνθήματος ὥσπερ ἐπιλαθόμενοι, τοῦ ἡλίου ἤδη ἀνίσχοντος ἤρξαντο φαίνεσθαι καὶ ἄνευ ὀργάνου τινὸς σαλεύειν ἠρέμα παρὰ τὰ τείχη τῆς πόλεως, ὥσπέρ τινες ἤδη ψυχορραγοῦντες καὶ μηδὲ τοῖς ποσὶ χρῆσθαι δυνάμενοι· καὶ οὕτω χωλεύοντες, ὡς ἂν εἴποι τις, τὴν Ὡραίαν Πύλην πλαγίως καὶ ἀσυντάκτως καὶ πλήρεις δέους καὶ φρίκης κατέλαβον ἐκεῖσε κατάραντες, καὶ εὐθέως οἱ τούτων κατάρχοντες θᾶττον ἢ λόγος, μηδενὸς αὐτοὺς διώκοντος, μηδενὸς βάλλοντος, μηδενὸς ὠθοῦντος ἢ ἀπειλοῦντος, τῷ ὕδατι τῆς θαλάσσης ἀγεννῶς ἐκυβίστουν. Καὶ οἳ μὲν ἀπεπνίγησαν εὐθέως, οἳ δὲ ἡμίθνητοι διεσώθησαν, ὡς οὐκ ὤφελον· οὓς οἱ ὑπὸ χεῖρα θεασάμενοι καὶ αὐτοὶ ὡς εἰς ἀρχέτυπον βλέποντες κατὰ πόδας βατράχων δίκην τούτοις παρείποντο, πτωκῶν καὶ δορκάδων ἐπὶ δει-

λία κατ' οὐδὲν διαφέροντες. Καὶ γὰρ οὐδ' ὅσον πομφόλυξ ἐφ' ὕδατος ὁ τοσοῦτος καὶ τηλικοῦτος στόλος διήρκεσεν· ἀλλ' ὡς ἀστραπῆς τάχος, οὕτω καὶ οὗτος φανεὶς αὐτίκα ἐκρύβη.

15. Κενὰς δὲ τὰς τριήρεις παρὰ πᾶσαν ἐλπίδα οἱ Λατῖνοι ἐξαίφνης ἀθρήσαντες καὶ τῷ παραδόξῳ τοῦ πράγματος ἐκπλαγέντες σκηνὴν εἶναι τοῦτο ἐνόμιζον. Ὡς δὲ τὸ ἀληθὲς ἔμαθον, ἱσταντο ἐννοεῖ μὴ ἔχοντες ἐκ περιχαρείας ὅ τι καὶ γένοιντο, τοῦ Θεοῦ συμμαχοῦντος αὐτοῖς· καὶ οἱ χθὲς καὶ πρότριτα πρὸς φυγὴν ἢ προσκύνησιν παρασκευαζόμενοι, θάρσους ἤδη ὑποπλησθέντες ἐδόξαζον τὴν πρὸς αὐτοὺς γενομένην παραχρῆμα πρόνοιαν τοῦ Θεοῦ. Ἐδεδοίκεσαν δ' οὖν ὅμως τὰς ἔτι περιούσας τῶν Ῥωμαίων νῆας μακράς, ἃς ἐκ τοῦ χερσαίου μέρους τῆς πόλεως ἐξεδέχοντο—ὧν ἡ βραδυτὴς καὶ τῶν ἄλλων, ὡς ἤδετο, ἀπώλεια γέγονεν—αἳ καὶ μετ' ὀλίγον παραγενόμεναι, ὡς εἶδον οἱ ἐν αὐταῖς πόρρωθεν τὰς λοιπὰς ὑπό τινων—φεῦ—συρομένας εὐτελῶν ἀκατίων κενάς, καὶ αὐτοὶ ὁμοίως τῷ βυθῷ μηδενὸς διώκοντος κατεδύοντο, ὧν οἱ πλείους ἐναπεπνίγησαν. Ὁ δὲ τῆς χέρσου στρατὸς τὸ ξένον τοῦτο τεράστιον θεασάμενος, τοῦ θριγγίου σχεδὸν τῶν ἐναντίων αὐτὸς γενόμενος μετ' αἰσχύνης καὶ οὗτος ἡ τάχους εἶχεν εὐθὺς ἀνεχώρησε, μηδ' αὐτοῦ ὄντος οὐδενὸς τοῦ διώκοντος. Τὸ δ' εἰς θεωρίαν παραγενόμενον ἀναρίθμητον πλῆθος, ἐξ ὑψηλῶν ἀπόψεων καὶ χθαμαλῶν καὶ προσγαίων ὡς εἶδε τὴν ξένην ταύτην καὶ ταχίστην ἀλλοίωσιν καὶ μεταβολήν, τύπτοντες τὰ πρόσωπα καὶ ὀλοφυρόμενοι οἴκαδε ἀνεχώρουν, οὐ τοσοῦτον τοὺς διαφθαρέντας ὅσον τὴν ἑαυτῶν αἰσχύνην καὶ ἀπόγνωσιν ἀποκλαίοντες· πᾶσα γὰρ κεφαλὴ εἰς πόνον—κατὰ τὸ γεγραμμένον τηνικαῦτα—καὶ πᾶσα καρδία εἰς λύπην ἐγένετο. Καὶ ἐταράχθησαν τωόντι, ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη· διεσκεδάσθη γὰρ ἀθρόον τὸ σμῆνος ἐκεῖνο τὸ λεοντόθυμον καὶ—ὡς ψᾶρές τινες ἢ κολοιοὶ εἰδεχθεῖς, ἀετοῦ ποθεν ἐπ' αὐτοὺς καταπτάντος—ἄφανὲς ἐγένετο· τοιοῦτον γὰρ τὸ τέλος τῶν ποιούντων τὰ ἄνομα. Ὅταν ἐν τάχει ὁ θυμὸς ἐκκαυθῇ τοῦ ποιήσαντος, οὔτε εὐχῶν ἐπακούει· καὶ δάκρυα μισεῖ ἐξ ἀκολάστων καὶ βασκάνων ὀφθαλμῶν προχεόμενα,

καὶ ἀδίκων χειρῶν καὶ φονίων ἐκτάσεις καὶ στομάτων βλασφήμων καὶ ἐπιόρκων οὐδαμῶς ἐπιστρέφεται. Ἀλλ' ὅταν ταῦτα ἐπιπολάσῃ, καὶ αὐτὰ προδίδωσι Θεὸς τοῖς ἀσεβέσι τὰ ἅγια· ἐξεκόπημεν γὰρ εἰκότως τῆς τοῦ Θεοῦ εὐμενείας ὡς σκεύη ἄχρηστα, ἐπείπερ ἄνευ νόμων καὶ εὐβουλίας μόνοι τῶν ἐπὶ γῆς ζῆν διεγνώκαμεν καὶ ὅτι τῶν εἰς ἡμᾶς γενομένων ὁσημέραι μαστίγων οὐκ ἐπαισθανόμεθα, οὐδ' ἀπὸ τῆς ὁδοῦ τῆς κακίας ἐψέ ποτ' ἐπιστρέψαι βουλόμεθα. Τὰ αἴτια δ' οὖν ὅμως τῆς τοιαύτης ἥττης ἐλέγετο τοιαῦτ' εἶναι, δειλίαν, κακοβουλίαν, αἰσχροκέρδειαν, προδοσίαν τῶν ἀρχόντων τοῦ ναυτικοῦ, ἀπόνοιαν καὶ ἀδικίαν, ἣν καὶ αὐτὸς μᾶλλον τίθεμαι.

16. Ἀλλὰ τί τὸ ἐντεῦθεν; Μετακομίζουσι Λατῖνοι εὐθέως πᾶν ὅπερ ἦν αὐτοῖς πλοῖον ἀδεῶς ἐπὶ τοῦ λιμένος αὐτῶν, εἰς οὐδὲν θέμενοι τὸ ἀπὸ τῶν πετροβόλων μηχανημάτων δέος, ἐπείπερ ἄπρακτα ταῦτα εἰς τὸ ἑξῆς μεμενήκασι· μετ' ὀλίγον δὲ καὶ περὶ εἰρήνης τάχα πρεσβεύουσιν οἱ τὴν εἰρήνην μισήσαντες σκληροτράχηλοι καὶ τὰ ἀλλότρια ὡς οἰκεῖα ἔχειν ἐθέλοντες, οὐχ ἅπερ μαχόμενοι ἥρπασαν ἀλλὰ καὶ ὅσα πρὸ τῆς μάχης εὑρέθησαν ἀνὰ χεῖρας κατέχοντες· ἐξ ὧν ἀποδόντες μηδὲν τοῖς ἔχουσι φίλοι τῶν ἀδικηθέντων γενέσθαι ἠξίουν μετέπειτα, καὶ τῶν ἁρπαγέντων κυρωθῆναι τὴν δεσποτείαν ἠνάγκαζον καὶ διὰ γραφικῶν παραδόσεων· ὃ δὴ καὶ γέγονε. Καὶ τοῖς αὐτομολῆσαι πρὸς αὐτοὺς ἐθέλουσιν ἀπάθειαν μετὰ κηρύγματος ἐπαγγέλλονται, ἐπεὶ τούτων ἄνευ ἀργὸς αὐτοῖς ὁ πλοῦς ἦν καὶ ἡ ζωὴ ἀκυβέρνητος. Εἶτα καὶ ὃ πολλάκις ἠτήσαντο καὶ οὐκ ἐπέτυχον, πολλὰ διδόντες καὶ ὑπισχνούμενοι—ἦν δὲ ὁ τῷ καστελλίῳ αὐτῶν ἐπικείμενος βουνὸς—τοῦτο μετὰ πολλῆς τῆς ἐξουσίας λήμματός τινος δίχα λαμβάνουσι καὶ χρυσοβούλλῳ λόγῳ μετέπειτα τὴν τούτου ἐπικυροῦσιν ἀναφαίρετον κατάσχεσιν· οὐ τοῦτο δὲ μόνον ἀλλὰ καὶ ὅσον ἐξ ἑκατέρων τῶν μερῶν ἠθέλησαν ἕτερον. Τοιοῦτον κατὰ Ῥωμαίων Θεὸς τοῖς Λατίνοις τρόπαιον ἔστησεν, ἴλεων ἐπ' αὐτοὺς ἐπιβλέψας!

IX.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ

λόγος εἰς τὸν μεγαλομάρτυρα καὶ μυροβλύτην Δημήτριον.

(Cod. Patriarch. 40, fol. 104[b]—164[a]).

Ἐπιστολὴ πρὸς Θεσσαλονικεῖς.

Ἀκροπολίτης τοῖς σοφοῖς τε καὶ ἐλλογίμοις τῶν Θεσσαλονικέων χαίρειν, καὶ συνάμα πᾶσιν αὐτόχθοσί τε καὶ ἐγχωρίοις ἀνδράσιν εὖ πράττειν.

Ὅσον τὸν πόθον, ὅσον τὸ φίλτρον πρὸς τὸν μέγαν τρέφω Δημήτριον ὁ μάρτυς οἶδεν αὐτὸς καὶ ὑμεῖς τῷ πρὸς αὐτὸν καὶ περὶ αὐτοῦ λόγῳ ἀρκούντως γνωριεῖτε, ὡς οἶομαι. Οὐ γὰρ δὴ τὸ ἀπολειφθῆναι τῆς ἀξίας τοῦ μάρτυρος ἐμποδών μοι πρὸς ὑμᾶς ἐπὶ τουτωὶ γένοιτο· κοινὸν γὰρ ἴστε τὸ πάθος τῶν ἐπιχειρούντων τοῖς καθ' ὑπερβολὴν πρὸς τοῦ Θεοῦ δοξασθεῖσιν ἢ μεγαλυνθεῖσιν ἀποτυγχάνειν τῆς ἐγχειρήσεως. Οὐ γὰρ οὐρανοῦ οὔτε τοῦ περιαυγάζοντος τοῦτον ἡλίου οὐδείς οὐδέποτε πρὸς εὐφημίαν καθίκετο· καίτοι γε εἰ τίμια, τοῦτο μὲν τῷ μεγέθει τοῦτο δὲ τῇ ὥρᾳ ἅμα δὲ καὶ τῇ πρὸς τὸ πᾶν τόδε χρείᾳ, καὶ ἀξιολογώτατα πεφήνασι τῶν ἐν τῷ παντί, ἀλλὰ καὶ νοῦ καὶ ψυχῆς καὶ αἰσθήσεως τό γε δὴ χειριστον ἐν τοῖς οὖσιν ἄμοιρα. Ὁ δέ γε καὶ ψυχὴν ὑπὲρ αὐτὸν μεγεθύνας τὸν οὐρανόν, ἄκραν σχὼν ἔφεσιν τῆς θείας καὶ ὑπερα-

πείρου μεγαλειότητος καὶ τὸν νοῦν λαμπρύνας ὑπὲρ τὸν ἥλιον τῷ πρώτῳ καὶ ἀκραιφνεστάτῳ φωτὶ προσεγγίσας ἐκ τῆς προθέσεως, πῶς οὐχ ὑπὲρ πάντα λόγον ὑπὲρ πᾶσαν εὐφημίαν καθέστηκεν· Οὔκουν ἀποδοκιμασθείην παρ' εὐγνώμοσιν ὑμῖν ἐτασταῖς διὰ τοῦτό γε, ἀλλὰ μόνου ἂν δεχθείην τοῦ ζήλου καὶ ἀποδεχθείην τοῦ φίλτρου, καὶ οὐχ ὅπως γε συγγνώμης ὑπὲρ τῆς ἐγχειρήσεως τύχοιμι ἀλλὰ καὶ φίλτρον ὑπὲρ τοῦ φίλτρου ἀντικερδάναιμι καὶ πολιτογραφηθείην ἂν ἐκ τοῦ δέοντος καὶ τοῦ λοιποῦ τῷ καταλόγῳ συνταττόμην τοῦ μάρτυρος· καὶ γὰρ εἰ μήπω τῷ σώματι ἐπεδήμησα, ἀλλὰ πάλαι τῷ πνεύματι ἐπεφοίτησα καὶ ὅλος ἐγενόμην τοῦ μάρτυρος καὶ ὑμῖν ἐμαυτὸν εἰσεποίησα. Καὶ νῦν ταῦτα προσαγορεύων μόνον οὐ παρεγενόμην, μόνον οὐ τὸν περιώνυμον εἰσήειν νεών, μόνον οὐ γονυπετήσας τὴν κεφαλὴν ὑπέθηκα τῇ σορῷ καὶ τὴν θείαν περιεπτυξάμην εἰκόνα, κἄτα δὴ ἀναστὰς καὶ κύκλῳ περιβλεψάμενος προσεῖπον πάντας ὑμᾶς τιμίως καὶ ποθεινῶς ἄγαν κατησπασάμην τοὺς σεβασμίους ἄνδρας, τοὺς φιλομάρτυρας, ἀλλὰ "φιλοίητε οὕτω τὸν μάρτυρα, ἀλλὰ συνέχοισθε εἰς ἀεὶ πρὸς τοῦ μάρτυρος καὶ φιλοῦντες οὕτω τιμῴητε καὶ συντηρούμενοι ἐξάντεις διὰ παντὸς ἀντίσου διαφυλάττοισθε, κἀμοῦ παρὰ ταῖς ἐτησίοις τοῦ μάρτυρος τελεταῖς μεμνημένοι μὴ διαλίποιτε"!

Ἑτέρα.

Τῷ σεβασμίῳ ἀνδρὶ καὶ ἐρασμίῳ μοι διὰ τὸ τῆς συνέσεως περιόν, μήπω καὶ ταῦτ' εἰς ὄψιν ἐλθόντι μοι, καὶ οὐχ ἥκιστα δὴ διὰ τὸ τοῦ τρόπου καθαρόν τε καὶ χάριεν· τοιαῦτα καὶ γὰρ παρὰ συχνῶν τῶν αὐτόθεν περὶ σοῦ πέπυσμαι τιμήεντος τὰ φιλικά.

Ὅθεν μὲν ὁρμηθεὶς τὸν πρὸς τὸν μάρτυρα συνεθέμην λόγον, ὁ λόγος ἀκριβῶς παραστήσειεν· ἀλλὰ τὸν οὕτω καὶ διὰ τάδε συντεθέντα καὶ πόρρωθεν ἐγχειρίζω σοι καὶ σοῦ τῇ τιμιότητι τὰ περὶ αὐτοῦ ἀνατίθημι, αἰτούμενος ὡς ἔγωγε σὺν πόθῳ ἐξειργασάμην καὶ αὐτόν σε σὺν πόθῳ καὶ λαβεῖν καὶ διαδοῦναι καὶ τῷ ἱερῷ τοῦ μάρτυρος ἐγκαταθεῖναι σηκῷ, τάξαι τε κἂν ταῖς ἐτησίως περιαγομέναις τοῦ μάρτυρος ἑορταῖς εἰς ἐπήκοον ἀνελίττεσθαι, εἴ γε σοι δεκτὸν τοῦτο φανείη κοινωσαμένῳ καὶ τοῖς σὺν

σοὶ καὶ περὶ σὲ λογάσι τῆς πόλεως. Ἔρρωσο τὰ τοῦ πνεύματος· τὰ γὰρ τοῦ σώματος ὡς ἔχω πυνθάνεσθαι περὶ ἐλαχίστου ἐκ πρώτης, ὅ φασι, τριχὸς ποιούμενος εἰ.

Λόγος εἰς τὸν μεγαλομάρτυρα καὶ μυροβλύτην Δημήτριον.

1. Ἔχων ἐκ μακροῦ δι' ἐφέσεως καὶ περὶ πλείστου πάνυ τιθέμενος τὸν τῆς ὑπὲρ Χριστοῦ μαρτυρίας τῶν ἄλλων ἀναφανέντα θερμότερον ἐραστὴν καὶ ἀκμαιότερον πρὸς τὸν ὑπὲρ τῆς ἀληθείας ἆθλον ἀγωνιστὴν ὡς ἑνὸν ἀναδῆσαι τοῖς ἐγκωμίοις καὶ ἐπᾶσαι τούτῳ τὰ ἐπινίκια, περικροτῆσαί τε ἢ ἀποτῖσαι τὰ χαριστήρια—πάντας γὰρ συνάμα μάρτυρας οὐκ ἐξῆν δεξιώσασθαι λόγοις ἢ μᾶλλον ἀμείψασθαι, τυγχάνω δὲ ὢν εἰ καί τις φιλομάρτυς· οὐδὲν γὰρ ἀπεικὸς μετὰ τῆς ἀληθείας παρρησιάζεσθαι—μόλις ὀψὲ Δημητρίου τοῖς ἐπαίνοις ἐπιβαλέσθαι προήρημαι, Δημητρίου τοῦ μυροβλύτου μὲν τὴν κλῆσιν, θαυματοβρύτου δὲ τὴν ἐνέργειαν, ἢ ταῖς ἀληθείαις μᾶλλον καὶ ἄμφω ὁμοῦ τὴν κλῆσιν καὶ ἄμφω ὁμοῦ τὴν ἐνέργειαν. Ὁ μὲν γὰρ οἷς εὐθύμως ἄγαν πρὸς τὸ τῆς μαρτυρίας στάδιον ἀπεδύσατο καὶ τοὺς στεφάνους λαμπροὺς ἀνεδήσατο καὶ οἷς ἀντικατέστη τῷ ἀντιπάλῳ στερρότατα, μεγάλων πρὸς τοῦ ἀθλοθέτου Χριστοῦ καὶ τῶν ἀμοιβῶν ἔλαχε καὶ τροπαιοῦχος διάσημος ἀναδέδεικται καὶ τῷ κυρίῳ Σαβαὼθ στρατολογηθεὶς τοῖς ἄνω τάγμασι συγκατείλεκται· ἐγὼ δὲ κοινῇ τοὺς ὑπὲρ Χριστοῦ φιλῶν διαθλήσαντας φιλόχριστος καὶ εἴην ἂν καὶ ἀκούοιμι, κἀντεῦθεν πάντως γε καὶ φιλόθεος, τάχα δ' ἐκ τούτου καὶ θεοφιλὴς ἔσομαι καὶ φιλοθείας μισθὸν λήψομαι. Οὔκουν δὴ θαυμαστὸν εἰ οὕτω γνώμης ἄνωθεν ἔχων εἰς τοσοῦτον ἀγῶνα καθῆκα νῦν ἐμαυτὸν καὶ τὸν τῶν μαρτύρων περιφανέστατον λόγοις περιστέψαι προάγομαι· οὐ μὴν οὐδ' αἰτίας ἀφορμὴν τοῖς νουνεχεστέροις ἀκροατῶν ἢ μᾶλλον τοῖς εὐλαβεστέροις παρασχοίμην ἀνδρῶν, εἰ μεγάλῳ δήπουθεν ἐπεχείρησα καὶ κρείττονι ἢ κατ' ἐμὴν ἐπεβαλόμην ἰσχύν· πόθος γὰρ τὸ ἐρεθίζον καὶ ψυχῆς ἔρως τὸ παρορμῶν.

2. Οἶδα μὲν γὰρ καὶ αὐτός, οἶδα ὡς μέγας τε καὶ πολὺς ὁ ἀγὼν λόγους ἐξισῶσαι τοῖς τοῦ μάρτυρος ἆθλοις τε καὶ τροπαίοις καὶ

οὐχ ὅτι γε τῆς ἐμῆς περὶ τοὺς λόγους ἕξεως κρείττων ἀλλὰ καὶ τῶν ὑπὲρ ἐμὲ τῇ τέχνῃ καὶ τῇ τῆς τέχνης δυνάμει μείζων μακρῷ· ἀλλ' ὅπερ ἔφην ὁ πόθος παρακινεῖ καὶ τὸ περὶ τὸν μάρτυρα φίλτρον ἐπαίρει, ἔρως τε διάπυρος ἔμφυτος παρῳθεῖ καὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειρῆσαι παραβιάζεται. Δεινὸν δὲ εἴ πέρ τι ἔρως ἐπισκήψας ψυχῇ καὶ μᾶλλον εἰ τύχοι κατὰ Θεὸν ὢν καὶ τοῖς ἀτολμήτοις παραπείθων ἐπιχειρεῖν καὶ τῶν ἀνεφίκτων κατατολμᾶν, ὁποῖον δὴ καὶ περὶ ἐμὲ δέδρακε, μήτε πρὸς τὸ μέγεθος ἐάσας δειλιᾶσαι τῆς ὑποθέσεως, μήτε τὴν ἐμὴν ἐνδοὺς ἀσθένειαν ὅλως λογίσασθαι καὶ τὴν ἔφεσιν διακρούσασθαι. Ὅθεν οὐκ ἔχω τίς ἐντεῦθεν ἤδη καὶ γένωμαι, οὐδ' ὅπως ἂν τὴν νέμεσιν ἐκφύγω συνίημι, ἐγχειρῶν τοῖς ὑπὲρ ἐμὲ καὶ ὑπὲρ τὰ ἐσκαμμένα—τὸ τοῦ λόγου—πηδῶν, ἄλλως τε τοσούτων τε καὶ τοιούτων ἀνδρῶν ἐνίων μὲν ἐξ ὑπογυίου πρὸ συχνοῦ δ' ἑτέρων καὶ οὐ μικροῦ τινος ἀξίων ἱστορησάντων τε καὶ κοσμησάντων ὡς ἐξῆν τὰ τοῦ μάρτυρος κατὰ τόπον εὐφημίας, οὐδένα παρεικότων τοῖς μετ' αὐτούς, οὐδέν τε ὃ μὴ εὑρηκότων ἀλλὰ πᾶν καὶ νενοηκότων εὐχερῶς καὶ εἰρηκότων καλῶς. Ὅπερ τις ἂν τῶν κατ' ἐμὲ καὶ σὺν μόχθῳ εὑρεῖν τύχοι καὶ σὺν πόνῳ ἐρεῖν ἐξίκοιτο καὶ δεκτὸν ἧπερ ἐγὼ οὐχ ἧττον ἐκ τῆς τοῦ βίου περιφανείας ἢ τῆς τῶν λόγων ἕξεως, πῶς οὐκ ἐχρῆν ἀποκνῆσαι πρὸς τὴν ἐγχείρησιν ἢ καὶ ἐγχειρήσαντα τὴν ἧτταν εὐθὺς καὶ τὴν ἐκ τῆς ἥττης μέμψιν ἐν νῷ βαλεῖν καὶ μεθ' ὅτι πολλοῦ τοῦ δέους διὰ παντὸς τοῦ λόγου διεξελθεῖν; καὶ γὰρ οὐδὲ τοῦτό πως ἀγνοῶ, ὡς τοῖς μὲν εἰωθόσιν ἐπιτιμᾶν περιττός τις νομισθείην, ἐν ἀκαίροις δ' ἦθεν καὶ οἷς οὐ δέον ἐπιδεικνύμενος, τοῖς δὲ καὶ σκώπτειν φιλοῦσι τολμητίας τις καὶ μεγάλαυχος μήτε τιμᾶν ἀνδρῶν χρόνον εἰδείη μήθ' ὑπείκειν [θυ]σιῶν ἀρετῇ, ὡς ὑποχωρεῖν ἐφ' οἷς ἐπεχείρησαν, καὶ ἐπιχειρήσαντες εἰμὴ πρὸς ἀξίαν τοῦ μάρτυρος ἀλλ' οὐ πρὸς ἀξίαν ἑαυτῶν καὶ τῆς τέχνης καὶ ἠγωνίσαντο καὶ διήνυσαν.

3. Ἀλλ' ὁ αὐτός μοι καὶ αὖθις λόγος εἰρήσεται, προσθήσει δέ τι καὶ ἕτερον καὶ τὰ τῆς ἀληθείας φιλαλήθως παρρησιάσεται καὶ πάσης ἴσως αἰτίας ἐξελέσθαι δυνήσεται. Πόθος τὸ κινοῦν,

πόθος ἔνθεος, οὐ λογική τις ἐπίδειξις ἀλλὰ θειοτέρα τις ἐπίσκηψις· τοῦ γὰρ θείου μάρτυρος προσταγή, ὡς ἂν δή τι καὶ τῶν ἀπορρήτων ἐξειποιμι, ὅς με διά τινος τῶν ἐμῶν—οὐ γὰρ ἔγωγε τοιούτου δή τινος ποτε κατηξίωμαι, πάνυ γε ἐκ τοῦ βίου τυγχάνων ὁμφῶν τε καὶ ὀπτασιῶν τοιούτων ἀνάξιος—πρὸς τοὔργον μετεκαλέσατο, διαρρήδην ἐπισκήψας λόγον περὶ αὐτοῦ με συνθεῖναι, οὕτωσί πως εἰπὼν "γραψάτω μοι λόγον" καὶ δηλώσας σαφῶς ὡς καὶ ἐντέλλεταί μοι τοῦτοι ἐκτελέσαι, μηδέν τι πρὸς παραίτησιν ὅλως σκηψάμενον, καὶ τὴν τῆς ξυμπεσούσης βίας προσεπιδηλώσας ἀπαλλαγήν—αὕτη δὲ ἦν νόσος ὅτι βαρεῖα καὶ σφοδρῶς ἄγαν ἀπειλοῦσα τὸν θάνατον—ἔμοι γε δοκεῖν ὡς ἂν δή με τῆς περὶ τὴν ὕλην καὶ τὰ τῇδε τύρβης πρὸς μικρὸν μεταστήσειε καὶ τῆς συχνῆς περὶ τὰ γήινα προσπαθείας ἢ ἐμπαθείας ἀπασχολήσειε μνήμῃ τῶν αὐτοῦ θειοτέρων ἀγώνων, οὓς ἔρωτι τῶν κρειττόνων διηγωνίσατο, ἵν' οὕτω γε διὰ σοφῆς τινος τῆς μεθόδου ὁ τῆς ὄντως σοφίας ἀληθὴς ἐραστὴς πρὸς τὴν ἐκείνων ἔφεσιν τὴν περὶ τάδε τῆς ψυχῆς μου ροπὴν ἀντισπάσειε καὶ τὸ κατωφερὲς τοῦ φρονήματος ἀνελκύσειε. Διὰ δὴ ταῦτα, ὡς ἔγωγε οἶμαι — εἰ δέ τι πως καὶ δι' ἕτερον, μόνῳ ἂν αὐτῷ γνωστὸν εἴη τῷ μάρτυρι—διὰ τῶν αὐτοῦ με ἄθλων ἐλθεῖν προετρέψατο, τάχα γε κἀμὲ οὐ πρὸς μικρὸν ἐπαίρων τὸν ἄεθλον ἀποδύσασθαι· τὸ γὰρ οὕτω διὰ μεγάλων τῶν ἀγώνων ἐλθεῖν τῷ λόγῳ, μέγα πάντως καὶ συνάρσεως ὅτι πλείστης δεόμενον. Ὃ κἀγὼ δή πως συνεγνωκὼς πρῶτα μὲν τὴν ἐκ Θεοῦ μετακαλοῦμαι βοήθειαν — εἴπέρ τινι ἐπ' ἄλλο, ἔμοι γε ἐπὶ τόδε—θείας τῆς βοηθείας κρίνων δεῖν ἀληθῶς, πρὸς δὲ ταύτῃ καὶ μετ' αὐτὴν τὴν ἐκ τοῦ ἁγίου· πάντως δὲ πᾶσιν ἐπὶ χρηστοῖς ἔργοις συναίρεται—καὶ τοῦτο πᾶσι πανταχόθι διαβεβόηται—ἀντίληψιν ἀκραιφνῆ καὶ ὁλοσχερῆ τινα ἀρωγήν.

4. Τοίνυν δή μοι καὶ ἐκ τῆς νύσσης αὐτῆς ἄρηγε καὶ ἐπιρρώννυε πρὸς τὸν δρόμον ὁ μεγάλην ἄνωθεν ἰσχὺν εἰληφὼς καὶ εἰσαεὶ τοῖς δεομένοις ταύτην ἐπιδεικνύμενος, ὦ νικηφόρε καὶ τροπαιοῦχε καὶ πᾶν εἴ τι ἐκ νίκης εἴ τι ἐξ ἀριστείας ἐπώνυμον μόνος μαρτύρων ἐκ τῶν ἔργων πεῖθων ἀκούειν, ὡς καὶ μόνος διαφε-

ρόντως παντὶ τῷ ἐπὶ χρείας ἀεὶ γινομένῳ συνιστάμενος καὶ ὑπὲρ προσδοκίαν ἑκάστῳ βοηθῶν ἐφ' ἅπαντι! Ναὶ ναὶ καὶ εἰς τέλος ἐπάρηξόν μοι τῷ μεγάλῳ τουτῳὶ ἐγχειρήματι, μᾶλλον δὲ φάναι τολμήματι, ὡς μή με κατόπιν ἐλθεῖν τῶν τε πριν τῶν τ' εἰσαῦθις πρὸς τοὺς σοὺς ἀποδυσαμένων ἢ ἀποδυσομένων ἀγῶνας καὶ τὰ παλαίσματα! Τὸ γὰρ ἐμὸν ἅπαν οὐδὲν προσαγορεύει χρηστόν, οὐδὲν προφοιβάζεται δεξιόν· τὰ γὰρ τῆς ἥττης ἄντικρυς διαδείκνυσι σύμβολα δέος ὅτι πολύ, φρίκην ἐκ πρώτης τῆς εἰσόδου, τῆς ἐπαγγελίας μετάμελον, καὶ ὅλως ἐξ αὐτῆς φάναι γραμμῆς διελέγχει τὴν ἰσχύν, φαυλίζει τὴν ῥώμην καὶ οὐδὲν καθάπαξ οὖσαν παριστάνει τὴν δύναμιν. Ἀλλ' ἔμοιγε καὶ ἄλλοθεν ἐξ ἀπροσδοκήτου τὰ τῆς ἀπορίας ξυμπέπτωκε. Τοῖς μὲν γὰρ πλείστοις τῶν μαρτύρων πάντη πως τὰ τῆς γενέσεως τῇ παρὰ τῆς τύχης ἀφανεία συγκέκρυπται μήτε ὅθεν μήτ' ἐξ ὧν ὅλως γνωρίζοντα, ὧν δὲ καὶ γνωσθῆναι ξυμβέβηκε μικρὸν ἢ οὐδὲν πρὸς ἀφορμὰς ἐπαίνων τοῖς μεταχειρισαμένοις παρέσχοντο· πατρίδες τε γὰρ μηδὲν σεμνὸν ἔχουσαι καὶ πρόγονοι σὺν πατράσι μήθ' οἵτινες ἦσαν μήθ' οἵας ὅλως τῆς τύχης μὴ ὅτι τοῖς μετ' αὐτοὺς ἀλλ' οὐδ' αὐτοῖς γε τοῖς ἐπ' αὐτῶν μικροῦ γινωσκόμενοι. Ὅσοις δὲ καὶ ἔτυχέ τι προσὸν ἐντεῦθεν σεμνόν, τὸ ἐξ ἀσεβείας ἢ δυσσεβείας παραμιγνύμενον ὄνειδος οὐ μᾶλλον εὐκλήρους ἢ δυσκλήρους ἐκ προγόνων τούτους ἀπέφηνε. Διά τοι γε ταῦτα καὶ οἳ μὲν τῶν ὅσοι πρὸς τοὺς περὶ τούτων λόγους ἐχώρησαν προσχήματι παραλείψεως συνεσκίασαν, οἳ δ' αὖ ἐκ τῶν ὑπὲρ ἡμᾶς καὶ κρειττόνων ἄλλην καὶ οὗτοι τραπόμενοι ἀποσεμνῦναι σφίσι τὰ πρὸ τῶν ἀριστειῶν διεσκέψαντο. Ἀλλ' ἔγωγε κἀκ τῶν τῇδε καὶ ἡμετέρων πολλήν τινα τὴν εὐπορίαν ὁρῶν, ἐκ δ' αὖ γε τῶν ὑπὲρ ἡμᾶς καὶ θειοτέρων μακρῷ τινι τὴν εὐφημίαν δεῖν ἐπικρίνων τῷ μάρτυρι, ἐν ἀπόρῳ πόθεν ἄρξομαι γίνομαι καί πως ἐξ ὅτι γε συχνῆς εὐπορίας ἀπορία μοι περιγίνεται "τί θαυμάσιον"; ἐκ γάρ τοι τῆς ἱστορίας διάσημον αὐτῷ μανθάνω τὸ γένος, τοὺς προγόνους ἐπιφανεῖς, περιβλέπτους τοὺς πατέρας καὶ πᾶσιν ὡς ἀληθῶς τοῖς τῆς ἐκ τύχης εὐδαίμονας.

5. Περὶ γὰρ τῆς πατρίδος τί χρὴ καὶ λέγειν, ἄνωθεν καὶ νῦν εἰσέτι ταῖς πρωτίσταις συναριθμουμένης τῶν πόλεων, ἔστι δ' ἐφ' οἷς καὶ τῶν πρωτείων ἀμφισβητούσης αὐταῖς καὶ οὐχ ἧττον ἐκ τῆς ἀνέκαθεν ἱστορίας σεμνυνομένης ἢ τοῖς νῦν ὁρωμένοις βεβαιούσης τὰ παλαιά, ταύτης δὴ λέγω τῆς πάλαι μὲν προκαθημένης τῶν Θετταλῶν καὶ τὰς κύκλῳ νικώσης πάσας ἐν ἅπασι καὶ καθ' ὑπερβολὴν ὑπερεχούσης, ὡς καὶ τὴν κλῆσιν ἐνθένδε λαχεῖν καὶ οἷον ἀπὸ τροπαίου Θεσσαλονίκην ἀναγορευθῆναι, νῦν δὲ καὶ διὰ τὸ τοῦ μάρτυρος κλέος καὶ πάσης ἀληθῶς προκαθημένης Εὐρώπης καὶ πρὸς αὐτῆς Ἀσίας, τάχα δὲ καὶ τῶν ἔξω νήσων, καὶ τιμωμένης καὶ τὰ πρεσβεῖα συγχωρουμένης; Ὡς οὖν ἔφην ἀφθονία μοι ἐντεῦθεν ὅτι πολλὴ καὶ τόποι συχνοί τε καὶ δεξιοί, ἐγκωμίων εἰ κατακολουθῆσαι νόμοις ὅλως δυνήσομαι. Ἀλλ' ὅ γε δὴ εὐφημούμενος τὰ τῇδε περιιδὼν καὶ πᾶσαν μὲν κοσμικὴν ἀποστραφεὶς εὐπορίαν, πᾶσαν δὲ τὴν ἐντεῦθεν καταπτύσας χλιδὴν καὶ συνόλως τὴν ἐντεῦθεν περιφρονήσας ἀνάδειξιν, αὐτός τε πάντως τοὺς τοιούτους αἰνετηρίους οὐ προσήσεται καὶ οἱ τῶν ἀκροατῶν συνετώτεροι τὸν ἐξ οὐ προσφόρων ἀλλὰ καὶ πάντη πως ἀπαδόντων εὐφημητήριον χλεύης ἂν ἀφορμὴν οὐκ ἀπεικότως ποιήσαιντο. Τῷ τοι δὴ καὶ τἄλλα παραδραμὼν ἐν τοῦτο ἐρῶ καὶ μόνον, ὡς ἄνωθεν τὴν εὐσέβειαν ηὔξησε καὶ συνεστράφη ταύτῃ καὶ οἷόν τις εὐγενὴς κλάδος εὐθὺς ἐξ ἀρχῆς τοῖς θειοτέροις νάμασιν ἐποτίζετο, καὶ οὐχ ὅτι γε ἐρριζοῦτο καλῶς ἀλλὰ καὶ εἰς ὕψος ἀνέτρεχεν εὐφυῶς καὶ δαψιλεῖς ὁσημέραι καὶ εἰσαεὶ προΐσχετο τοὺς καρπούς, οὐχ ὅπως ἐν καιρῷ κατὰ τὸ δαυιτικὸν ἐκεῖνο φυτόν· καὶ γὰρ ὡς φοίνιξ ἀναδραμὼν καὶ αὐτόθεν εὐθὺς κατάκομος ἀνασχὼν ὁ τὸ δίκαιον, τὸ λατρεύειν δηλαδὴ τῷ ἀληθινῷ καὶ μόνῳ Δεσπότῃ, ἐκ γενετῆς ἐγνωκὼς κατὰ τὴν Λιβάνῳ κέδρον ἐπληθύνετο, ἄφθονόν τε καὶ πίονα προὐβάλλετο τὸν καρπόν, τὸν σεμνὸν αὐτοῦ δῆτα βίον καὶ τὴν τελείαν ἀρετήν, τὸ πρὸς Θεόν τε καθαρὸν σέβας καὶ τὴν πρὸς τοῦτο τῶν ἄλλων παράκλησιν ἢ παράθηξιν, φαίην δ' ἂν προσηκόντως ἴσως γε καὶ παράγευσιν. Ὅθεν καὶ προσιοῦσιν ἐκείνοις ὁ ἄφατος ἁπάντων ἐτύγχανε γλυ-

κασμὸς καὶ τῶν τῇδε ἡδέων ὑπερφρονεῖν εὐψύχως ἄγαν παρέπειθεν

6. Ἦν μὲν οὖν ἄνωθεν τῷ τῆς εὐσεβείας ἄλατι ἠρτυμένος· τοίνυν καὶ ὡς ἡδύ τι καὶ φίλον Θεῷ τὰς πρώτας τῶν ἡλικιῶν διημείβετο, τὸ δὲ δὴ μεῖζον καὶ πλείστους ἄλλους ἀρτύειν ἐσπούδαζε καὶ πρὸς ζωὴν τὴν κρείττω καὶ θειοτέραν κατήρτιζεν. Ἦν δὲ καὶ τοῖς κατὰ κόσμον τοιῶδε διαπρέπων ἐξόχως, ἐφ' ἑκάστῳ τῶν παραπιπτόντων εἰ καί τις ἄλλος εὐεπήβολος εὑρισκόμενος καὶ πρὸς ἅπαν γε ἀγχινούστατος. Πρὸς δ' ἐπὶ τούτοις καὶ τὸ ἐκ τοῦ γένους συνεπαῖρον ἔχων περιδοξον ἐπὶ μέγα τι κλέους διὰ βραχέος κατήντηκεν, ὡς καὶ βασιλέως μέχρι τὴν περὶ τοῦδε φήμην φθάσαι γενομένην καὶ χρῆμα βασιλείας παραστῆσαι τοῦτον ὡς ἀληθῶς ἀξιόχρεων. Καὶ δὴ λοιπὸν τὴν φήμην ἡ μετάκλησις διαδέχεται, ἢ μᾶλλον φθάνει τὴν ἀκοὴν ἡ μετάπεμψις. Ἀλλ' ἐπειδήπερ εἰς ὄψιν ἦλθεν αὐτῷ καὶ ἀκριβεστέραν ἐξέτασιν, τὴν τοῦ ἐντός φημι καὶ ἐκτὸς ἀνθρώπου διάπειραν, ψυχῆς δηλονότι ἐνεργειῶν καὶ δεξιοτήτων τοῦ σώματος — τί χρὴ καὶ λέγειν; — οὐ μόνον οὐκ ἀφῆκε πάμπαν ἀπολέσθαι τὴν φήμην, ἣν πολλοὶ λαοὶ φημίξαιεν, ἀλλὰ καὶ λαμπρῶς ταύτῃ συνέστη καὶ θαυμαστῶς ὅτι συνήρατο, καθ' ὑπερβολὴν νενικηκὼς τὰ ἐξ ἀκοῆς καὶ ἄλλος τις ἐξ ἀπροσδοκήτου ἀναφανείς — οὐκ ἐκεῖνός γε ὁ μεταβληθείς· τοῦ γὰρ προδιαφημισθέντος κρειττων οὐχὶ μικρῳ τινι ἔδοξεν — οἷς ὅτι καὶ τῶν πρωτίστων παραυτὰ τιμῶν κατηξίωται καὶ μεγάλης πρὸς τοῦ βασιλέως τῆς ἀξίας ἠμοίρηκεν. Ἴστε ἡλίκον τοῖς προταῦ χρόνοις ἐν ἀξιώμασιν ἦν ὑπατεία καὶ ὁποῖον τὸ ὑπατικὸν σύμβολον, περιδέραιον λίθοις μαργάροις διηνθισμένον, αἴγλῃ τε χρυσοῦ διαστράπτον καὶ τιθὲν τὸν αὐτὸ περικείμενον καὶ διάδηλον καὶ περίδοξον. Ταύτην γε τὴν ἀξίαν λαχὼν καὶ τὴν Ἑλλάδα πᾶσαν ὑπὸ χεῖρα λαβὼν — ἄρτι δὲ ἦν παραγγείλας εἰς μείρακας — ἐφρόντιζε μὲν τῶν κοινῶν καὶ νομίμως πάντα διίθυνε, διὰ δὲ μείζονος πολλῷ τῆς φροντίδος ἐτίθετο ὅπως ἂν μεταθείη πρὸς τὴν εἰς Χριστὸν πίστιν πάντας εἰς οἷόν τε, ἢ γοῦν τοὺς πλείστους τῶν ὑπ' αὐτῷ.

7. Ἐπεὶ δὲ φθαίην Ἑλλάδα φάμενος καὶ ὡς ἐν ἐκείνῃ τὴν

ἀρχὴν ἴσχει γνωρίσαιμι, οὐδείς ὅστις, οἶμαι, μὴ μέγα ἡγήσαιτο τὸ τοῦ μάρτυρος ὅπως τε ἐν τοῖς ἐξόχως εἰδωλομανέσι τῶν ἀνθρώπων τὴν τῶν εἰδώλων καταπαῦσαι προεθυμήθη λατρείαν καὶ τῆς εἰδωλομανίας μεταστῆσαι τοὺς δεισιδαιμονεστάτους τῶν ὑπὸ τὸν ἥλιον ἐπεχείρησεν, ἢ μᾶλλον εἰπεῖν ἀπετόλμησεν. Ὡς ἔμοι γε δοκεῖν οὐκ ἔλαττον εἰς ἀνδρίας τοῦτο ὑπόδειγμα καὶ θειοτέρου ζήλου παράστασιν ἢ ὅπερ οἱ τὴν πρώτην ἐκείνην χάριν εἰληφότες τοῦ Πνεύματος διὰ τῶν πυρίνων γλωσσῶν ἀπεθάρρησαν· οὐδὲ γὰρ ἧττον ὅτι μὴ καὶ μᾶλλον ἡ εἰδωλολατρία ἐπὶ τοῦδε κεκράτυνται, ἀναζωπυρηθεῖσά τε αὖθις λαμπρῶς καὶ πανταχόσε διαδοθεῖσα περιφανῶς, ἤδη δὲ καὶ τοὺς κρατοῦντας οὐ μικρῶς ζηλοῦντας ὑπὲρ αὐτῆς ἔχουσα, ὡς μηδὲ ἄρχειν ἐθέλοντας εἰ μὴ συνιστῶεν τὰ πάτρια, εἰ μὴ διασαλευθέντα στηρίσαιεν, ἢ μᾶλλον μηδὲ ζῆν ὅλως βουλομένους, μηδὲ τὸ παράπαν βλέπειν τὸν Ἥλιον τὸν γλυκὺν ἐκείνοις θεὸν καὶ φερέσβιον εἰ μὴ καὶ Ἥλιον καὶ Σελήνην, Ἀπόλλω δῆτα τὸν μουσικὸν καὶ τὴν Λοχίαν ἢ κυνηγετικὴν Ἄρτεμιν—πρὸς δὲ τὴν πληθὺν τῶν μεμυθολογημένων θεῶν τιμωμένους αὖθις ὁρῶεν καὶ ὡς τὸ πρωτοῦ λατρευομένους τε καὶ προσκυνουμένους, τὸ δὲ δεινότερον καὶ πάντα τρόπον τὴν προτέραν ἧτταν διαγωνιζομένους ἀναπαλαίσασθαι καὶ τὸ τοῦ λόγου πάντα λίθον ἐπὶ τῶδε κινοῦντας καὶ μηδὲν ὃ μὴ ἀνευρόντας πρὸς τὴν τῶν ἀντικαθισταμένων ἀντιπαλάμησιν· ἦν γαρ καὶ ὁ χρόνος οὐ βραχὺς τῆς παρασκευῆς.

8. Εὐθὺς γὰρ μετὰ τὸ ἐξ ἀνθρώπων τοὺς τῆς ἀληθείας κήρυκας γενέσθαι, τοὺς σοφοὺς μαθητάς, τοὺς ἀληθινοὺς φιλοσόφους—τῆς γὰρ ὄντως σοφίας διάπυροί τε ἐρασταὶ καὶ ἀκροαταὶ δεξιώτατοι—τοὺς ὀπαδοὺς τοῦ Χριστοῦ, τοὺς θείους ἀποστόλους φημὶ ἅμα τῶν τῆδε σφᾶς ἐκδημῆσαι καὶ πρὸς Θεὸν ἐπιδημῆσαι καὶ ἐν οὐρανοῖς προσληφθῆναι καὶ τῷ θρόνῳ τῆς μεγαλωσύνης αὐτοῦ παραστῆναι, ὧ καὶ τελευταίον συγκαθεδοῦνται, ὡς ἀκηκόαμεν τε καὶ πεπιστεύκαμεν, τὰς δώδεκα φυλὰς κρινοῦντες τοῦ Ἰσραήλ· μετὰ γοῦν τὸ ἐκείνους τῶν ἐνθένδε μεταστῆναι ἄχρι δὴ πρὸς τοῦργον ὁ μάρτυς ἐχώρησεν—εἰ καὶ μὴ τρόπον γε τὸν αὐτόν, προθυμία δὲ καὶ ζέσει πάντως γε οὐκ ἀπολιπόμενος—ἄλλα ἐπ' ἄλ-

λοις ἐφεύρισκον ἀμυνόμενοι οἱ τῆς ἐναντίας μοίρας. Οἱ τοῦ ἐχθροῦ τῆς ἀληθείας ὑπασπισταὶ καινά τε ἐπὶ καινοῖς ἐζήτουν ἀεί, ἢ μᾶλλον καινότερα ἐπὶ καινοτέροις ἀνηρεύνων καὶ ἀνερευνῶντες ἀνηύρισκον καὶ ἀνευρίσκοντες κατὰ τῶν πιστευόντων μετεχειρίζοντο. Ὁ γοῦν τηνικαῦτα χρόνου τὴν αὐτὴν τοῖς πρώτως ἐκείνοις πρὸς τὸν αὐτὸν ἀποδυσαμένοις ἀγῶνα προθυμίαν ἐπιδειξάμενος, πάντως παρ' αὐτοῖς ἂν ἐκείνοις διαιτηταῖς μέγας τὸν ὑπὲρ τοῦ Θεοῦ ζῆλον νενόμισται καὶ τὴν ἀνδρίαν ἐκείνων οὐ δεύτερος· πλὴν ἀλλὰ διέπων ἦν οὕτω τὰ τῆς ἀρχῆς καὶ οὑτωσί πως ἀμφοῖν ἐπιμεριζόμενος, εὐνομία δήπουθεν ἀρχομένων, εὐθυδικία λέγω τῇ περὶ τὰ ἀνθρώπινα τάδε καὶ γήινα, ἢ τά γε φθάσαντα τῶν πλημμελημάτων διορθοῦται καὶ ἀναστέλλει τὰ μέλλοντα καὶ τῇ πρὸς τὸ κρεῖττον μεταβολῇ τοῦ σεβάσματος, ἢ καὶ τὸ πλεῖον, ὡς ἔφην, μᾶλλον δὲ τὸ πᾶν ἔνεμεν. Ἦδει γὰρ ἀκριβῶς, ἤδει ὡς ἐκ τῆς περὶ θάτερον μὲν ἀμελείας μέτριον τὸ δυστύχημα—ὁποῖον γὰρ καὶ ὅσον ἂν εἴη ἐπὶ μετρίῳ διαρκέσει καὶ βραχὺς ὅτι χρόνος τῆς ἐντεῦθεν ἀπαλλάξει λύπης καὶ τὴν τῆς λύπης μνήμην συναφανίσει—ἐκ δὲ τῆς περὶ τὸ ἕτερον αὖ ἀργίας ἢ παροράσεως ὁ ἔσχατος ἁπάντα κίνδυνος, ἐπείπερ οὐ χρόνος τοῦτον διαλύει, οὐκ αἰὼν καταπαύει· ἀπέραντος γὰρ ὁ διαδεχόμενος ἐκεῖνος αἰὼν καὶ φύσιν ἔχων ἢ μᾶλλον ἐκ τοῦ πρώτου καὶ κυρίως ἀπείρου τῆς ἐκ μὴ ὄντων τὰ πάντα παραγαγούσης φύσεως τοῦτο λαχών, ὡς ἂν ἕκαστον προσλάβοι καὶ διαδέξαιτο, οὕτω γε καὶ εἰσαεὶ τηρεῖν ἀμετάβλητον καὶ εἰς τὸ ἑξῆς συνέχειν ἀμεταποίητον.

9. Ἀλλ εἶχε μὲν οὕτω τὰ τῆς τοῦ μεγάλου Δημητρίου κατὰ κόσμον ἀρχῆς, καὶ τὴν ἀρχὴν κατὰ Θεὸν ἐπὶ μᾶλλον αὐτὸς ἠύξανεν· ἔδει δὲ ἄρα καὶ παρ' αὐτὰ τὰ βασίλεια τὴν ὑπὲρ τῆς ἀληθείας τοῦδε παρρησίαν ἀναφανῆναι καὶ τὴν ἅφατον τοῦ Χριστοῦ δύναμιν συναναδειχθῆναι. Τοίνυν καὶ πρὸς ἀκοὰς ἥκει τῷ κατ' ἐκεῖνο καιρῷ τῆς ἀρχῆς ἐπειλημμένῳ. Μαξιμιανὸς οὗτος ὁ τὴν κακίαν περιβόητος ἦν, περὶ οὗ τί περ ἂν καὶ εἴποιμεν ἄξιον; βίβλοι τὰ περὶ αὐτοῦ πλουτοῦσι καὶ τιθέασι πᾶσι πανταχόθι διάδηλα, μαρτύρων τε πλήθη κηρύττουσι, γραφαί τε καὶ τύποι βοῶσιν οὐχ

ἧττον ἢπερ δεικνύουσι. Βραχύ τι γοῦν φαίην καὶ σύντομον, ὡς τῶν ἀπ' αἰῶνος δεισιδαιμόνων δεισιδαιμονέστατος οὗτος ἀναπέφανται ἄνθρωπος, θεοῖς τοῖς ἐκ μύθων καὶ χειροτεύκτοις σεβάσμασιν ἐκ ψυχῆς ὅλης προσανακείμενος, οὐχ ὅπως γε κατακολουθῶν συνηθείᾳ, οὐ παραδόσει ἑπόμενος παλαιᾷ, ἀλλ' ὡς ἂν τις εὑρετὴς αὐτὸς ὢν καὶ συστάτης ὑπὲρ τῆς προτέρας καὶ σφαλερᾶς ἐκείνης θρησκείας ὡς ἐνὸν ἐνιστάμενος. Ἦν δὲ καὶ τὸν τρόπον ἄλλως σκαιότατος, ὀξὺς εἰς χόλον, πρὸς ὀργὴν εὐμετάβολος, τὸν κότον βαρύς, τὴν μῆνιν ἀμεταμέλητος, ραδιουργῆσαι δεινός, κακοποιῆσαι λίαν εὐμήχανος ἢ μᾶλλον φάναι δυσμήχανος. Τούτῳ γοῦν ἀνηγγέλη ὡς τὰ τοῦ Χριστοῦ πρεσβεύει Δημήτριος. Ἀλλὰ πῶς ἂν παραστήσαιμι λόγῳ ὁποῖόν τι ἀκούσας πεπόνθοι καὶ ὅπως πρὸς τὸν λόγον διατεθείη; Οὐ μικρὸν μὲν γὰρ ἐκ τῆς φήμης ἔρων ὑφ' αὑτῷ τοῦτον ἔσχε ποιήσασθαι καὶ διὰ πολλῆς, ὡς ἔφθην εἰπών, εἴθετο τοῦτο σπουδῆς· οὐχ ἧττον δ' ἐπὶ τῇ δευτέρᾳ ταύτῃ γε ἀγγελίᾳ κατήπειξε τὴν μετάπεμψιν, ὡς ἂν εἰ οἷόν τε παραυτὰ τῆς ἀγγελίας ὑπὸ χεῖρα λάβοι καὶ πρὸς ἀκρίβειαν τὰ περὶ αὐτοῦ πύθοιτο.

10. Ἀλλ' ἵνα μὴ τηνάλλως τῇ μακρηγορίᾳ κατατριβώμεθα, ἄγε δὴ ἐντεῦθεν ὡς ἐνὸν τῷ λόγῳ καὶ αὐτοὶ συναποδυσώμεθα τῷ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ πρὸς τὰ σκάμματα. Ἦκεν ὁ στρατιώτης Χριστοῦ, παρέστη τῷ βασιλεῖ ἐκ νίκης καὶ ταῦτα ἐπαναζεύξαντι καὶ τὰ μεγάλα ἐνθένδε γαυριῶντι καὶ συχνὰ ἐκ τῶν ἐξ ὑπογύου τροπαίων ἀλαζονείας τε καὶ τοῦ ταύτης ἐκγόνου θυμοῦ πλουτοῦντι τὰ ὑπερθάρση. Ἀλλ' εὖγέ σοι, μάρτυς Χριστοῦ! Εὖγε σοι! Εὖγε τοῦ θάρσους! Εὖγε τοῦ γενναίου λήμματος, τῆς ὑπὲρ τῆς ἀληθείας καρτερίας ὑπέρευγε! Ὡ οἵαν εἰσιὼν ἐνεδείξω μεγαλοπρέπειαν! Ὄντως πρὸς αὐτοῦ ταύτην ἐνεδύσω τοῦ τὴν εὐπρέπειαν ἐνδυσαμένου Θεοῦ, τοῦ προαιωνίως μὲν βασιλεύοντος μετὰ δὲ σαρκὸς ὑστάτως βεβασιλευκότος Χριστοῦ, ὃς τὴν ἀνθρωπίνην ἀναλαβὼν ταπεινότητα καὶ τὸ ἀπρεπὲς τε καὶ δυσειδὲς τῆς χθονίου περιθεὶς ἑαυτῷ φύσεως, περιβαλλόμενος τε τὴν ἡμετέραν παχύτητα καὶ συγκρύψας ὃ προαιωνίως ἀναβάλλεται φῶς, ἔν γε δὴ τῇ εἰς οὐρανοὺς ἀναλήψει —τότε καὶ γὰρ τὰ καθ' ἡμᾶς

καὶ ὑπὲρ ἡμῶν ἐξετέλεσε, τὸν καθ' ἡμῶν τυραννοῦντα Σατὰν κατατροπωσάμενος τέλεον—ἐπὶ τοῖς ἡμετέροις ἀληθῶς ἐβασίλευσε καὶ μόνος ὅλου τε καὶ παντὸς ἐπέγνωσται Κύριος! Ὡς ἀληθῶς οὖν πρὸς ἐκείνου τὸ εὐσταθὲς καὶ ἀνδρεῖον πρὸς ἀπόκρισιν ἔσχηκας, ὦ τὸ πρὸς ἐκεῖνον φίλτρον διάπυρε καὶ τὸν ὑπὲρ ἐκείνου ζῆλον τῶν κατὰ διαφόρους καιροὺς ἀναφανέντων θερμότατε!

11. Τί φής, ὦ βασιλεῦ" θαρραλέα λέγει φωνῇ "καὶ ὑπὲρ τίνος με μετεπέμψω; Ζητεῖς εἰ Χριστῷ μόνῳ λατρεύω μαθεῖν, εἰ προσκυνῶ τριάδα καὶ μονάδα σεβάζομαι καὶ τὴν πολυθείαν βδελύττομαι; Αὐτὸς ἐγώ σοι τὰ ἐμαυτοῦ καταγγέλλω. Αὐτὸς ἑαυτὸν εἰσάγω καὶ σοι δεχθείην μάρτυς ἂν ἀξιόχρεως, εἰ δὲ βούλει καὶ ἔλεγχος εὐπαράδεκτος· οὐδεὶς γάρ, οἶμαι, μάρτυς οὕτως ἱκανὸς οὐκ ἔλεγχος ἰσχυρός, ὡς αὐτός τις ἑαυτὸν καταγγέλλων καὶ τῇ ὁμολογίᾳ φθάνων τὸν διώκοντα. Εἰ γοῦν προὐκαθέσθης ὡς δικαστής, τὸ ζητούμενον ἔγνωκας· τοῦ γὰρ φεύγοντος ὁμολογοῦντος ἀκήκοας. Εἰ δ' ὡς βασιλεύς, εἰς ἀκρίβειαν ἔχεις μεμαθηκώς· ὡς γὰρ ἔχω γνώμης δεδήλωκα. Εἰ δὲ καὶ τύραννος εἶ καὶ αἰτίας ἀνερευνᾷς, ἐπ' αὐτοφώρῳ με ἔσχηκας. Χρῶ γοῦν ὅ τι ἂν γε καὶ βούλοιο. Ἰδού σοι καὶ χρήματα, ἰδού σοι καὶ κτήματα ὄλβος τε παντοῖος, ὁ μὲν ἐκ προγόνων καὶ πατέρων καθήκων μοι, ὁ δέ μοι καὶ αὐτῷ προσκτηθείς. Ἐκ τῆς σῆς τε φιλοδωρίας οὐκ ἀποκρύψομαι καὶ τοῦ ἐμοῦ—οὐ γὰρ ἀπεικότως παρρησιάσομαι, πρὸς εἰδότα καὶ γὰρ—πρὸς τὴν σὴν ὑπηρεσίαν εὐηκόου, καὶ τῆς πρὸς ἅπαν γε τὸ προσταττόμενον ἑτοιμότητος, ἐῶ γὰρ εἰπεῖν δεξιότητος, ποίησον οὖν ἐπὶ τούτοις ἅπασι τὸ πρὸς βούλησιν. Ἴσθι γὰρ ἴσθι ὡς περὶ οὐδενὸς ποιοῦμαι τὰ ἐνθαδὶ ξύμπαντα· τὰ γὰρ ἐν οὐρανοῖς ἀποκείμενα καθ' ὑπερβολὴν διενηνοχότα καὶ δεδίδαγμαι καὶ κατείληφα. Εἰ δέ σοι τὸ ἐπὶ τούτοις μικρόν, παρέστηκά σοι σῶς εἰσέτι τὴν ὁλομέλειαν, τὴν διαρτίαν ἀδιαλώβητος, τὴν ὥραν—ὡς καὶ αὐτὸς ἂν φαίης—οὐκ ἀτερπής. Ὅ τι γοῦν σοι καὶ εἴη βουλομένῳ εἰς πέρας ἄγαγε τάχιον, σπουδῇ πάσῃ τὸ πρὸς θέλησιν διαπέρανον· πῦρ γάρ μοι καὶ ξίφος, τροχοί τε καὶ βάσανοι παντοῖαι, διὰ πόθου τυγχάνουσι· θᾶττον γάρ με πρὸς τὸν ἐκ πολλοῦ πο-

θούμενον παραπέμψουσι καὶ λαμπρῶς αὐτῷ παραστήσουσιν. Οὐχ οὕτως—εὖ ἴσθι—τὴν σὴν αὐτὸς ποθεῖς βασιλείαν, ὡς τὸν ὑπὲρ Χριστοῦ φιλῶ θάνατον ἔγωγε· οὐ τοσοῦτον σὺ τῆς ἐντεῦθεν περιέχῃ τερπνότητος, τῆς δοκούσης σοι ταύτης λαμπρότητος, ὅσον αὐτὸς τῆς ἐπηγγελμένης πρὸς τοῦ ἐμοῦ Δεσπότου φαιδρότητος, τῆς διαμενούσης καὶ μὴ μεταπιπτούσης ἀλλ' εἰς τὸ κρεῖττον ἀπεράντως προκοπτούσης, ἐφίεμαι".

12. Καὶ ὁ βασιλεὺς ἠπίῳ τῷ λόγῳ—τὸ γὰρ αἰδέσιμον τοῦ ἀνδρὸς ἐπεῖχεν ἔτι καὶ βασιλικῶς τε καὶ πράως ὁμιλεῖν κατηνάγκαζεν—"ἐγὼ μέν, ὦ χρηστὲ τὰ πάντα Δημήτριε, ἐπ' ἀγαθοῖς ἀρχῆθεν μεταπεμψάμενος καλῶς σοι καὶ διὰ τέλους χρῆσθαι προεθυμήθην καὶ—ὡς οἶσθα δὴ καὶ αὐτὸς—τῶν πρὸς εὐεργεσίαν οὐδὲν οὐδ' ὅπως ἐνέλιπον, οὐδ' ὡς ἀληθῶς τῶν πώποτε μνημονευομένων ἀγνωμονέστατος καὶ περὶ τὸν εὐεργέτην ἀχάριστος". Καὶ ὃς "ἐπὶ τίνι με κρίνεις, ὦ βασιλεῦ, καὶ τοῦ χάριν ἀγνώμων ἐγὼ περὶ σὲ προειλόμην τῶν ἐπὶ γῆς ἕτερον εἰς ἀρχήν; Προσετέθην ἄλλῳ; πρός τινα τῶν πέριξ ἐθνῶν ἠτομόλησα; εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἐγνώσθην ἔκ τινος συγκατατιθέμενος; ταῦτ' ἄττα καὶ γάρ, ὡς οἶσθα, τῶν ἀχαρίστων καὶ ἀγνωμόνων πεφήνασι τὰ γνωρίσματα. Ἀλλὰ μὴν σφετεριζόμενος ὤφθην τὰ τῆς ἀρχῆς καί πως ἐφωράθην μελετῶν ἐπανάστασιν; Ἐν οὐδ' ὅπως τούτων καταγγελθείη μου πρὸς ἀλήθειαν. Οἶδα ἐμαυτόν, ἀκριβῶς οἶδα καὶ ὁ ἀδέκαστος δικαστὴς τὸ συνειδὸς οὐ καταδικάζει με. Εἰ δὲ διὰ Χριστὸν καὶ τὸ πρὸς Χριστὸν σέβας, ὡς ἔφησθα, μετεπέμψω με καὶ τῶν περιεστώτων εἰς ἐπήκοον τὰ κατ' ἐμὲ πυθέσθαι ζητεῖς, εὐχαριστῶ σοι τῷ χθονίῳ δεσπότῃ ὑπὲρ τοῦ ἐν οὐρανοῖς με καὶ ἀληθινοῦ Δεσπότου παρρησιάζοντι καὶ πρὸς ἀγῶνας μετακαλουμένῳ, στεφάνων ἀηράτων προξένους καὶ κλέους διαμενοῦντος εἰς αἰῶνα τὸν ἀτελεύτητον".

13. Καὶ ὁ Μαξιμιανὸς "ἀφραίνεις ὄντως, Δημήτριε, καὶ τὴν ἀρχὴν ἀλλοῖος δόξας ἑταιροῖος νῶν ἀναπέφηνας. Ἀλλ' ἡ νεότης τάχα παρακεκίνηκε καὶ τὰ τῆς ἡλικίας νεωτερίσαι παρώρμηκεν· ὡς ἀληθῶς γὰρ κατὰ τὸν εἰπόντα σοφὸν

αἰεί πως ὁπλοτέρων φρένες ἠερέθονται (Il. 3, 108).

Κἀγὼ τῆς σῆς ἀβελτηρίας ἢ προπετείας αἴτιος γενόμενος οἶδα, τοιοῦτον πρὸ δοκιμασίας ἐγκαταστήσας καὶ εἰς τοσοῦτον προβιβάσας ἀξίωμα, ὑπὲρ τοὺς πρεσβυτέρους τῶν ἐν τέλει τάξας καὶ τὴν μείζω τε καὶ κρείττω τῆς ἐμῆς καταπιστεύσας ἀρχῆς, εἴπερ κρεῖττον λόγοι τε καὶ σοφία καὶ σέβας θεῶν ἀκραιφνέστατον καὶ μυστήρια παλαιὰ καὶ σεμνὰ παρὰ τῶν μέχρις αὐτῶν διαβόητα, οἷς ἀρχῆθεν κεκόσμησεν ἡ Ἑλλάς". Καὶ ὁ μάρτυς· «Ὅτι μὲν μεγάλων με κατηξίωσας, βασιλεῦ, φθάσας καὶ αὐτὸς ὡμολόγηκα· ὅτι δὲ καθ' ὑπερβολὴν μειζόνων σπεύδεις ἀποστερῆσαι μετατιθεὶς τοῦ σεβάσματος, ἀνυποστόλως φαίην καὶ ὡς ἀληθῶς διὰ συχνῶν παραστήσαιμι· ἐπίκηρα γὰρ καὶ εἰ δοκοῦσιν ἐπίσημα ὅσοις με δεδώρησαι, ἐπειδὴ βραχὺς ὅτι χρόνος καὶ ἡμᾶς παραλείψουσιν, ἢ μᾶλλον ἡμεῖς ταῦτα παραδραμούμεθα. Ὧν δ' ἀφελέσθαι σπεύδεις, ἄφθαρτά τε καὶ ἀμετάπτωτα, στεφάνων δόξης πρόξενα, ἀδιεχοῦς εὐκλείας παραίτια, τρυφῆς διαιωνιζούσης παρεκτικὰ καὶ ἀτελευτήτου μακαριότητος. Καὶ ὡς ἀληθῆ σοι λέγω, ἐνθένδε εἰ βούλει κατάμαθε, πρὸς τοῦ ἀληθινοῦ Δεσπότου τοῦ ἑνὸς καὶ μόνου τρισυποστάτου Θεοῦ τοῦ τὸ πᾶν τόδε παραγαγόντος σοφίᾳ καὶ ἀγαθότητι καὶ τὸν ἄνθρωπον ἀφράστῳ χρηστότητι πλαστουργήσαντος. Τούτου βουληθέντος καὶ αὐτὸς ἐκ τοῦ μὴ ὄντος δεδημιούργημαι καὶ εἰς τόδε ἡλικίας προῆγμαι καὶ εἰς τηλικοῦτον περιωπῆς κατήντηκα· οὐδὲν γὰρ ἂν, ἐκείνου μὴ βουλομένου. Πέπεισο βασιλεῦ, αὐτός μοι τῶν μετριωτάτων μὴ ὅτι τῶν τοσούτων καὶ τοιούτων ἠξίωσεν. Πρὸς οὖν ἐκείνου παραχθεὶς δι' ἐκείνου καὶ τῶν μεγίστων—ἅττα δὴ φθάσας καὶ αὐτὸς ἀπηριθμήσω—τετύχηκα· αὐτῷ γὰρ ἐκ γενέσεως λατρεύειν μόνῳ μεμάθηκα, αὐτὸν εἰδέναι τῶν ὅλων προνοητὴν καὶ δεσπότην ἐπέγνωκα, αὐτὸν τό γε δὴ μεῖζον δι' ἐμὲ κατ' ἐμὲ γεγονέναι καὶ δεδίδαγμαι καὶ πεπίστευκα καὶ πόσον εἴη πεφηνέναι τοῦτο, ὅσον εἰς εὐεργεσίαν κρίνεις. Εἰ γοῦν παρ' οὐδὲν ταῦτα θήσομαι καὶ περὶ πλείονος ἃ γε μοι προτείνεις ποιήσομαι, οὐχ ὅπως φαῦλα τῶν χρηστῶν προτιμήσομαι; τί γὰρ καὶ χρὴ λέγειν ὡς χάλκεα χρυσέων καὶ ἀργυρῶν ἀμείψομαι κατ-

τιτερινα, τὰ δὲ τοῦ μηδενὸς ἄξια τῶν τοῦ παντὸς ἰσοστασίων ἢ τὰ μὴ ὄντα μᾶλλον τῶν ὄντων ἀλλάξομαι; καὶ τίνος οὐκ ἀφρονέστερον ἢ ἀβέλτερον διατεθεὶς νομισθήσομαι";

14. Τούτοις τὰ ἔσχατα χολωθεὶς ἀνυποίστῳ τιμωρίᾳ παραδοῦναι παραυτὰ ἐξενήνεκται. Ἀλλ' ἐπεσχέθη πως τῆς ὁρμῆς· προσεδόκα γὰρ τὴν μεταβολήν, ἐπείπερ ἀνδρὸς τοιούτου τὴν ζημίαν οὐκ ἔφερε. Μᾶλλον δ' ἄνωθεν ἐκωλύθη καὶ πρὸς τοῦ "λογισμοὺς ἀρχόντων" δυναμένου γε ἀθετεῖν ὡς ἀληθῶς διεσκέδασται τὴν βουλήν, ὅπως ἂν φυλαχθεὶς ὁ τό γε ἧκον εἰς αὐτὸν μάρτυς πολύαθλος καὶ ἀληθῶς μεγαλομάρτυς — παρασκευῆς γὰρ οὕτως εἶχε καὶ γνώμης, ὡς πᾶσαν βάσανον ὑποίσειν ὑπὲρ Χριστοῦ πᾶσαν τιμωρίαν ὑποστησόμενος—ὡς ἂν οὖν διατηρηθεὶς μάρτυράς τε καὶ ἄλλους παρασκευάσειε καὶ πρὸς ἀγῶνα τὸν ὅμοιον ὑπαλείψειε καί πω δὴ τῷ καθ' ἑαυτὸν ὑποδείγματι πρὸς τὰ αὐτὰ σκάμματα παραθαρρύνας διαναστήσειε· διὰ δὴ ταῦτα πρὸς τοῦ ἀθλοθέτου καὶ δεσπότου Χριστοῦ τῷ τότε διαπεφύλακται. Τοίνυν καὶ φρουρὰ τοῦτον διαδέχεται, φρουρὰ τῶν ὅτι δεινῶν καμίνων, βαλανείου στοαὶ ζόφου πλέαι, σκότους μεσταί· εἰπέ τις αἴφνης ἐμπαρακύψας ὡς εἰς ᾅδην καὶ τάρταρον παρακύψειεν. Ἀλλ' ὦ ψυχῆς ἐκείνου γενναίας καὶ ὡς ἀληθῶς θείου φρονήματος! Λειμῶνα τὴν εἱρκτὴν ἐλογίζετο! θάλαμον ἐνόμιζεν εὐπρεπέστατον! παράδεισον ἡγεῖτο διακαλλέστατον! Ἀμέλει τοι καὶ τῶν δαυιτικῶν ψαλμῶν ἐκλεγόμενος πρόσφορα τοῦτο μὲν ηὐλόγει Θεόν, τοῦτο δ' ἱκέτευε, τοῦτο δὲ ηὐχαρίστει καὶ τῆς εἰς αὐτὸν εὐεργεσίας ἀνθωμολογεῖτο καὶ ἐμεγάλυνεν!

15. Ἀλλ' οὐκ ἠνείχετο ταῦθ' ὁρῶν ὁ ἀρχέκακος. Ὅθεν ὡς οὐδοπωσοῦν τρέψαι διὰ τῶν τοῦ τυράννου φρικαλέων ἴσχυσεν ἀπειλῶν, ἄλλον τινὰ τρόπον ἐκδειματῶσαι καί πως δὲ περικλονῆσαι ἐμηχανήσατο. Σκορπίον γοῦν ὑπενδὺς κατὰ τοῦ ἁγίου παρώθησε καὶ εὐθὺ τῆς πτέρνης παρώρμησεν· οὐδὲ γὰρ ἐνῆν ἐπὶ τῆς εἱρκτῆς δι' ἄλλου του τῶν φοβερωτέρων ἢ εὐμεγεθεστέρων φαντάσαντι θροῆσαι. Ἀλλὰ πῶς ἂν διηγησαίμην ὅπως τε τὸ κέντρον διῆρε τούτου καὶ ὅπως κατὰ θῆρας ἄγριον ἔθηκε καὶ ἀκάθεκτον ὑπέ-

δειξε τὴν ὁρμήν; μᾶλλον δὲ πῶς ἂν παραστήσαιμι λόγῳ τὴν τοῦ μάρτυρος εἰς Θεὸν πεποίθησιν, τὸ ἄτρεστον τοῦ φρονήματος, τὸ γενναῖον τῆς ψυχῆς καὶ ἀπτόητον; Εἰς νοῦν εὐθὺς τὸν κυριακὸν ἄγει λόγον, ὃς τὴν κατά τε σκορπίων καὶ ὄφεων ἐξουσίαν ἅπασι τοῖς εἰς αὐτὸν πιστεύουσι δεδωκὼς καθεξῆς ἀεὶ τὴν κατ' αὐτῶν χαρίζεται δύναμιν. Καὶ δὴ τυποῖ κατ' αὐτοῦ τὴν σφραγῖδα σταυροῦ καὶ—ὢ τῆς ἀφάτου τοῦ σταυροῦ διὰ τὸν σταυρωθέντα δυνάμεως—νεκρὸν εὐθὺς τίθησι καὶ τῶν ἀψύχων καὶ ἀνενεργήτων ποιεῖ καὶ συννεκροῖ—τὸ μεῖζον— τὸν νοητὸν σκορπίον, τὸν ἰοβόλον Σατάν, τὸν ἀεὶ τὸ κέντρον καθ' ἡμῶν αἴροντα καὶ τὸν τῆς αὐτοῦ κακίας ἰὸν τῆς ἡμετέρας φύσεως καταχέοντα. Δανιὴλ μὲν λάκκῳ πάλαι κατακλεισθεὶς λεόντων μύτας ἐπέδησε καὶ διεφυλάχθη γε σῶς, ὁ δὲ καὶ νεκροὶ καὶ διαφυλάττεται καὶ τὸ δὴ μεῖζον τὸν ἀόρατον ἐχθρὸν καταβάλλει, τὸν προσβαλόντα πάλαι διὰ τοῦ ὄφεως καὶ τοὺς προπάτορας θανατώσαντα καὶ νῦν εἰσέτι τοῖς ἡμετέροις ἐπηρεάζοντα.

16. Τί δ' ἐπὶ τούτοις Θεὸς καὶ πῶς τὸν ἀγωνιστὴν ὁ ἀθλοθέτης ἀμείβεται; Ἄγγελος ἄνωθεν ἐπικαταπτὰς καὶ στέφος ἐπιφερόμενος—τίς ἐκφράσαι λόγος ἐκεῖνο δυνηθείη; τίς τὴν ἐκείνου λαμπρότητα παραστήσειε;—τῇ σεβασμίᾳ τοῦ μάρτυρος σεβασμίως ἐπιτίθησι κεφαλῇ. Ὁποῖοι δὲ καὶ οἱ πρὸς αὐτὸν λόγοι; Εὖγε σοι, μάρτυς, τοῦ θάρσους! Εὖγε τῆς καρτερίας! Ὑπέρευγε τῆς ἀπεριklονήτου προθέσεως! Ἠγάσθημέν σε γενναῖε. Ἠγάσθημεν ναὶ οὐράνιαι ξύμπασαι στρατιαὶ τῆς πρὸς τὸν νοητόν τε καὶ ὁρατὸν τύραννον θαρραλέας ἐνστάσεως. Τῶν εὐστόχων λόγων, τῶν δεξιῶν ἀποκρίσεων, τοῦ βεβαίου καὶ ἀπεριτρίπτου φρονήματος ὑπερηγασάμεθα". Ταῦτ' εἰπὼν καὶ πλείω ἐπευφημήσας, εἰρήνην ἀφεὶς ἀνδρίζεσθαί τε καὶ εἰς τὸ ἑξῆς παρεγγυησάμενος ἀποπτὰς ὤχετο, τῷ μὲν φαινομένῳ καταλιπών, τῇ δ' ἀληθείᾳ συνὼν καὶ κατὰ τῶν ἐχθρῶν συνιστάμενος. Οὕτω γε Δημήτριος ὑπὲρ τοῦ Χριστοῦ καὶ τῶν βασάνων καταπεφρόνηκε τὰ τῶν τυράννων περιδῶν φόβητρα, καὶ τῶν δειγμάτων ὑπερεώρακε τῶν τοῦ ἐχθροῦ παγίδων ὑπεραλάμενος· καὶ οὕτω γε Χριστὸς τὸν Δημήτριον περισχεθέντα τοῖς ἀνιαροῖς παρεκάλεσε καὶ πρὸς τὸ μέλλον ἐθάρρυνε καὶ τὴν ἐπ'

ἐσχάτων ἀπόλαυσιν κατηγγύησε· πάλαι μὲν διὰ προφήτου καθειργμένον προφήτην ἐπισκέψαιτό τε καὶ θρέψειε καὶ ἀναστήσαιτο τὰ εἰκότα, νυνὶ δὲ δι' ἑνὸς τῶν περὶ αὐτὸν θειοτέρων δυνάμεων τῷ μάρτυρι προσωμίλησε καὶ οὐ τροφῇ φθειρομένῃ συνέστησε, θειοτέρα δέ τινι καὶ ὑψηλοτέρᾳ, τῷ ἱστορουμένῳ δὴ τῶν ἀγγέλων ἄρτῳ, τῇ θαυμασίᾳ τοῦ Πνεύματος χάριτι.

17. Ἀλλ' οὐ μικρὸν καὶ τὸ κατὰ τοῦ αἰσθητοῦ τυράννου τοῦ μάρτυρος τρόπαιον. Ἔφθην εἰπὼν ὡς ἐκ νίκης ὁ Μαξιμιανὸς τῷ τότε βαρβαρικῇ τῇ λαμπρᾷ Θεσσαλονίκῃ τύχοι παραγενόμενος· Ταύρους γὰρ καὶ Σκύθας καὶ οὓς δὴ Σαυρομάτας ἡ ἄνωθεν ἱστορία κατονομάζει νικήσειε καὶ τροπώσαιτο. Κἀντεῦθεν τὰ μεγάλα φυσῶν ἦν καὶ ὑπὲρ τοὺς πάλαι βασιλεῖς τε καὶ τυράννους ἐκόμπαζε καὶ νῦν μὲν τοῖς αὐτοῦ θεοῖς τὰ χαριστήρια πολυτελῶς ἔθυε, νῦν δὲ θεάτροις ἐνεδίδου καὶ κρότοις καὶ πανηγύρεσιν. Ἦν οὖν ἐν τούτοις ἔχων, καινοτέροις σχολάζων θεάμασι καὶ τρόπους ἀγωνίας ἀναζητῶν. Τοίνυν γε καὶ πάλης ἀγῶνα ξένον προτίθησι· μονομαχία γὰρ ἡ πάλη καὶ θάνατος ἡ ἥττα καὶ μιαιφόνημα τὸ ἐκνίκημα καὶ ὁ παλαιστὴς πρὸς ταῦτα ὡς ἀξιόχρεως, μέγας τὸ σῶμα, τὴν ῥώμην πολύς, τὸ θράσος ἀλόγιστος, οὐχ ἥκιστα αἱμοχαρής, οὐχ ἥκιστα ἀπηνής. Οὐδὲν ὁ Κροτωνιάτης πρὸς τοῦτον Μίλων παραβαλλόμενος, οὐδὲν οἱ τῆς ραψῳδίας μονομάχοι τῆς ποιητικῆς μυθοπλαστίας γυμνωθέντες καὶ καθ' αὑτοὺς τούτῳ παρατεθέντες. Λυαῖος τούτῳ γε ὄνομα, γένος βαρβαρικὸν καὶ ἀλλόφυλον, παλαμναῖος ὡς ἀληθῶς φρίκην ὑπὸ θέας ὃ φασιν ἐμποιῶν. Τιτᾶνά τις τῶν τῆς ἑλληνικῆς πλάνης αἰφνης ἰδὼν ὑπετόπασεν, ἢ ταρτάριον ἄντικρυς δαίμονα τάχ' ἂν καὶ εἰς παροιμίαν παρελαμβάνετο. Καί που τις ἄλλον ἐπὶ ῥώμῃ μεγαλαυχοῦντα θεώμενος, "Λυαίῳ εἰ ξυνεπλάκης οὐ τόσα ἂν ἐφρόνεις" ὑπέκρουε. Τοιοῦτος ἐξεύρηται Μαξιμιανῷ φιλοθεατροῦντι τῷ τότε ὁ παλαιστής, οὕτω φρικαλέος, οὕτω τεράστιος· ὃς δὴ καὶ πλεῖστα τοῦτον ἐπῃύφρανεν, αἱμοχαρῆ τε ὄντα καὶ μιαιφόνον οὐχ ἧττον ἢπερ φιλοθεάμονα.

18. Ἀλλ' οὐκ εἰς τέλος ὁ ἀλιτήριος εὐφρανεῖν ἤμελλε τὸν

ἀλάστορα, οὐ δέ γε διὰ παντὸς χαιρήσειν ὁ πολλῶν λύπαις ἐπιγαννύμενος τῶν προσηκόντων δῆτα τοῖς ἐπὶ τῇ μονομαχίᾳ ἀνηλεῶς θνήσκουσι. Τῶν γάρ τις ἐπιτηδείων τῷ μάρτυρι Νέστωρ τὴν κλῆσιν, τὴν ἡλικίαν νεάζων – ἄρτι γὰρ εἰς μείρακας παραγγείλας ἦν— χαρίεις τὸ εἶδος, χαριέστερος τὸ ἦθος—τί δεῖ πλείω μακρηγορεῖν;—τῆς τοῦ μεγάλου Δημητρίου ὡς ἀληθῶς ἄξιος καὶ τὰ πρῶτα τούτῳ τῶν φίλων καὶ γνωρίμων αὐχῶν οὗτος, ὁρᾷ τὸν ἀλαζόνα καὶ ἀγέρωχον παλαιστὴν καὶ τῆς μεγαλαυχίας κακίζει καὶ τοῦ θράσους μυσάττεται καὶ ἔκδικος ὥσπερ τῆς τὴν ἀρετὴν ἀληθευούσης ἀνδρίας χρηματίσαι ζηλοτυπεῖ· ἐπῆρε δ' ἐπὶ μᾶλλον αὐτὸν καὶ τὸ τοῦ τυράννου ἀγωνοθέτου φιλόκομπον, μεγάλα ἐπιβρενθυομένου ταῖς τοῦ ἀγωνιστοῦ νίκαις καὶ ἀριστεύμασιν, ἢ μᾶλλον ζηλῶσαι κατ' ἀμφοτέρων ὁμοῦ τὸ αἱμοχαρὲς καὶ μισάνθρωπον ἑκατέρου παρώρμησεν. Ὅθεν καὶ εἰς νοῦν βαλὼν τὸν μέγαν Δημήτριον καὶ ὅσα γε οὗτος ἐπικλήσει Χριστοῦ πεποιήκει τεράστια εἰς μνήμην ἀγαγὼν ὁρμαῖος παρὰ τὴν εἱρκτὴν γίνεται καὶ τοῖς αὐτοῦ προσπίπτει ποσὶν καὶ ἀπαγγέλλει τὸ θράσος τοῦ ἀπηνοῦς παλαιστοῦ, καὶ πρός τι τὸ τοῦ τυράννου μεγάλαυχον καὶ χάριν πρὸς τοῦ μόνου δυνάστου Θεοῦ διὰ τῆς αὐτοῦ πρὸς ἐκεῖνον ἐντεύξεως ἐξαιτεῖται κατὰ τοῦ μεγαλαύχου Λυαίου, κατὰ τοῦ ἀνηλεοῦς Μαξιμιανοῦ· μιᾷ γὰρ ἐθάρρει νίκῃ τὸ ἑκατέρου καθαιρήσων ἀγέρωχον.

19. Τί γοῦν ἐπὶ τούτοις ὁ μέγας Δημήτριος; Ὦ πίστεως ἐκείνου! Ὦ τῆς πρὸς Θεὸν ὑπὲρ οὗ διαθλῶν ἦν πεποιθήσεως! Σφραγίζει τοῦτον τῷ τύπῳ σταυροῦ καὶ σφραγίζει ἐφ' ὅλου τοῦ σώματος, ἰδίᾳ δὲ σφραγῖδα τὴν ἱερὰν ἐπιτίθησι καρδίᾳ τε καὶ μετώπῳ, τοῖς καιριωτάτοις τοῦ σώματος μέρεσιν. Ἔμοι γε δοκεῖν ὡς ἀτρέστως ἂν τοῖς ἀνταγωνισταῖς ἀντωπήσειε καὶ εὐθύμως ἐπαγωνίσαιτο, εἰ δὲ δὴ καὶ εἴποι τις ὡς ὁ τῆς σοφίας ἐραστὴς οὗτος! καὶ ἐρώμενος τῷ τῆς καρδίας μέρει τὸ λογιστικὸν ἀφορίζων, ὡς καὶ ὁ τῶν ὅλων δημιουργός, ἡ ἀληθινὴ σοφία καὶ ἐνυπόστατος, ὑπὸ φύσιν γεγονὼς διετράνωσε τῷ εἰπεῖν «τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν», εἰ γοῦν διὰ τοῦτο ἰδίᾳ τὴν καρδίαν σφραγῖσαι φαίη, οὐ πόρρω ἂν, οἶμαι, βάλοι τοῦ ἀλη-

θοῦς, τὸ δέ γε μέτωπον ὡς τοῦ φανταστικοῦ πνεύματος ὀχεῖον ὁ δὴ δεξαμενή τις αἰσθήσεων πέφηνεν ἢ μᾶλλον φάναι πηγή. κρεῖττον δὲ μηδέτερον μᾶλλον ἐρεῖν· ἐπίσης γὰρ ἔμοι γε δοκεῖν καὶ ἄμφω τυγχάνει· τά τε γὰρ διὰ τῶν αἰσθητηρίων ὡς διὰ θυρίδων ἀναλαμβάνει καὶ τὰς ἔνδοθεν δυνάμεις ὡς ἐκ κέντρου γραμμὰς διατείνον ἢ ὡς ἐκ φωτοβόλου δίσκου ἀκτῖνάς τινας προχέον τὰς προσαγωγοὺς τῶν ὑπ' αἴσθησιν ἀντανακλάσεις εἰσδέγεται καὶ τὰ δι' αὐτῶν ἀναμάττεται. Πλὴν ἀλλὰ τὸν θαυμάσιον εὐλογεῖ Νέστορα καὶ τὴν νίκην τῷδε προαγορεύει. Χρὴ δὲ ἴσως καὶ λέξεσιν αὐταῖς μνησθῆναι τῶν θείων τε λόγων καὶ τῆς ἱερᾶς ἐκείνης προρρήσεως· "ἄπιθι καὶ τὸν Λυαῖον νικήσεις καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις". Διπλῆν τὴν ἀριστείαν, διπλοῦν προαγγέλλει τὸν στέφανον, τὴν καθ' ὁρατῶν δηλαδὴ καὶ ἀοράτων νίκην ἐχθρῶν, τὴν τῇδε παρ' εὐσεβέσιν ἀνάδειξιν καὶ τὴν ἐκεῖσε παρ' ἀγγέλοις ἢ σὺν ἀγγέλοις ἀπόλαυσιν.

20. Καὶ ὃς εὐθὺς ἐπὶ τὸ θέατρον ἅπαντα, ἑαυτόν τε τῷ ἀγωνοθέτῃ γνωρίζει καὶ τῷ παλαιστῇ δείκνυσι καὶ δῆλον ἐφ' ὅτῳ παραγέγονε τίθησι. Καὶ ὁ Μαξιμιανὸς εὐθὺς παρ' ἑαυτὸν ἀγαγὼν "τί περ οὕτως ἀφραίνεις ὦ οὗτος" φησίν; "τίς ὤν; πρὸς τίνα βούλει ἀνταγωνίσασθαι; οὐκ οἶσθα Λυαῖον καὶ τὴν ῥώμην Λυαίου; οὐκ οἶσθα τὴν ἧτταν ὡς οὐ κατάγελως ἀλλὰ θάνατος; γνῶθι σαυτόν, μὴ θρασύνου ἀλόγιστα, μὴ παράβολα τολμᾶν ἔθελε, μὴ ἀνδρίζου—τὸ τοῦ λόγου φάναι—κατὰ σαυτοῦ". Καὶ ὁ Νέστωρ· "καὶ οἶδα ἐμαυτόν, ἴσθι, καὶ ἐφ' ὅτῳ πέποιθα σύνοιδα". Κἀκεῖνος αὖθις "πενίαν ἴσως ἀποφυγγάνων θανατᾶς, ἄνθρωπε. Φοβῇ τοὺς χρήστας, δειλιᾷς τὰ δανείσματα. Ἀλλ' ἀπαλλάξω σε τῆς βίας, εἰ βούλει, καὶ τῆς δυστυχίας ἔγωγε ῥύσομαι, χρήματα καταβαλών σοι τὰ ἐπαρκέσοντα". Καὶ ὃς "οὐ πενίᾳ συνίσχομαι, βασιλεῦ, οὐ χρήσταις καθέλκομαι καὶ ἀπόνοια τὸ ὁρώμενον, γενναιότης δὲ ψυχῆς γίνωσκε καὶ θάρσος θράσους ἐκ διαμέτρου διεστηκός, καὶ τὸ πέρας ξυμμαρτυρήσει μοι· θαρρῶν γὰρ λέγω καὶ τῆς ἐλπίδος οὐκ ἐκπεσοῦμαι ὡς καὶ τὸν ἀγερωχον καταβαλὼν παλαιστὴν καὶ νικητὴς ὀλυμπιονίκου λαμπρότερος ἀνακηρυχθή-

σομαι". Τούτοις τὸν Μαξιμιανὸν ἐκμήνας τὴν πάλην τῆς τόλμης εἰς κατάλυσιν ἐνδέδοται, ἢ μᾶλλον τὸν ἑαυτοῦ θάνατον ὡς ἐνδιδοὺς ὤετο ἐπιτέτραπται. Ἀλλὰ τί δεῖ πολλὰ λέγειν; "Ξυνίσασό μοι" λέγει "Δημήτριε! Ξυμπάρεσό μοι Χριστέ!". Συχνά τε ὑποφωνεῖ τῶν ψαλμῶν τῷ καιρῷ πρόσφορα — "ἀνάστηθι" λέγων "Κύριε! ὑψωθήτω ἡ χείρ σου! Μὴ κραταιούσθω ἄνθρωπος!" — καὶ θαρραλέος τὸ στάδιον εἴσεισι. Καὶ δὴ γυμνοῖ τὸ ξίφος, ξυμπλέκεται Λυαίῳ καὶ βάλλει καιρίαν ἐκεῖνον — κατὰ γὰρ καρδίας — τὸν ἀλιτήριον καὶ — ὦ θαυμασίας βολῆς τε καὶ νίκης — ἀναιρεῖ τὸν ἀντίπαλον καὶ νικητὴς περίοπτος ἀναδείκνυται.

21. Ἄπνους δ' εὐθὺς Μαξιμιανὸς καὶ νεκρὸς ἄντικρυς ἀναπέπτωκε. Μόλις δ' ἀναλαβὼν ἑαυτὸν "ὦ γοητείας" φησὶν "ἀνθρωπίου δυστήνου! ὦ δεινῆς φαρμακείας! ὦ μαγγανείας τερατωδεστέρας τῶν πώποτε!" Ἀλλ' οὐκ ὄναιτο, ἴστω, τῆς κακοτεχνίας ὁ μάταιος. "Ἁρίτωσαν δήμιοι! Κατασχέτωσαν τὸν ἀλάστορα! Δίκας ἀξίας τῶν σκαιωρημάτων ὁ κακοῦργος ἀποτισάτω!" Κἂν αὐτίκα τούτῳ τὰ τῆς ὀργῆς ἐκτετέλεστο καὶ ὁ γεννάδας ἀνηλεῶς διεσπάρακτο, ἀλλὰ — τὸ τῆς ποιήσεως — αὐτῆμαρ μὲν τὸν χόλον κατέπεψεν, εἰς νέωτα δὲ μετεπέψατο (Ἰλ. 1,81). Καὶ δὴ λόγοις ἠπίοις τὰ πρῶτα μετέρχεται "ἄγαμαί σε" λέγων "τῆς τέχνης, θαυμάσιον κρίνω τῆς τερατοποιίας. Ἔξειπε γοῦν μοι τὰ τοῦ δράματος, πρὸς ἀλήθειαν ἔξειπε πῶς τὸν τοσοῦτον τὸν τοιοῦτον τηλικός δε κατατετρόπωσαι"; Καὶ ὁ Νέστωρ "οὐ σύνοιδα γόησι ξυγγεγονὼς πώποτε. Τερατοποιίαν οὐκ ἤσκημαι, βασιλεῦ. Τίνι δὲ πυθέσθαι ζητεῖς Λυαῖον κατέβαλον; Χριστοῦ συνάρσει, Χριστοῦ τοῦ ἀληθινοῦ καὶ μόνου Θεοῦ καὶ Δημητρίου πρὸς τοῦτον ἐντεύξει, Δημητρίου τοῦ διαπύρου Χριστοῦ θεράποντος καὶ μυρίους ἔτι οἷόν τε θανάτους ἑτοίμου ὄντος ὑπεραποθανεῖν τοῦ Χριστοῦ". Τούτοις τὰ ἔσχατα Μαξιμιανὸς ἐκμανεὶς τὸ τάχος τοῦτον ἀφελέσθαι προστάττει τῆς κεφαλῆς, καὶ οὐ διὰ ξίφους ἑτέρου ἀλλ' ὅτῳ δὴ Λυαῖον φθάσας ἀνήρηκε, τοῦτο μὲν πικρότερον παρασκευάζων τῷδε τὸν θάνατον, τοῦτο δ' ἀμύνων τῷ προσφιλεῖ Λυαίῳ καὶ τειθηνήσοντι, ἢ ὥπερ ὁ ἐχθρὸς τοῦτον ἀνεῖλε, δειροτομηθείη κἀκεῖνος ἀσυμπαθῶς.

22. Δημήτριον δὲ τὸν τῆς Χριστοῦ διδασκαλίας προστάτην διάπυρον καὶ τῆς ὑπὲρ αὐτοῦ μαρτυρίας ἀλείπτην ἀπτόητον λόγχαις ἐπὶ φρουρᾶς ἀνελεῖν ἵνα γε καὶ ἐτύγχανεν ὧν ἐγκελεύεται, εἰς ἐπήκοον ἐκφωνήσας "ὁ φιλῶν με ἀπελθὼν βαλέτω Δημήτριον". Καὶ οἱ περὶ αὐτὸν εὐθὺς ἀπιόντες πλῆθος ὅτι δορυφόρων πολύ, ἅμα μὲν τῷ βασιλεῖ χαριζόμενοι, ἅμα δὲ καὶ τῆς ἑαυτῶν θρησκείας ὑπεραγωνιζόμενοι, πάνυ γε συχνὰς κατὰ παντὸς τοῦ σώματος βάλλουσι, συχνὰς κατὰ πλευρᾶς, συχνὰς κατὰ λαγόνων, ἀπειρους εἰπεῖν κατὰ πεπερασμένου τοῦ σώματος. Ὦ μακαρίων ἐκείνων ξιφῶν, ὅσα γε φοινισθῆναι ἢ καθαγιασθῆναι τῷ τοῦ μάρτυρος ἐφθάκασιν αἵματι! Ὦ μιαρῶν ἐκείνων χειρῶν, αἳ τοῦ ἱερωτάτου κατατετολμήκασι σώματος, μᾶλλον δ' ὦ μακαρίας τελευτῆς ἐκείνης! Ἐκεῖ γὰρ ὡς ἀληθῶς καὶ στίφη μαρτύρων ἐπεχωρίασαν καὶ οὐράνιαι στρατιαὶ τῆς προθέσεως ἐκπλαγεῖσαι κατεπεφοίτησαν. τάχα γὰρ ἂν καὶ θαυμάζοιεν τοὺς καθ' ἡμᾶς ὑπὲρ ἡμᾶς, εἰ προθυμοῖντο τὰ ὑπὲρ ἡμᾶς· εἰ δὲ καὶ προθυμούμενοι κατορθοῖεν, πάντως ἂν καὶ ὑπερεκπλήττοιντο. Ἀλλ' ἔκειτο μὲν νεκρὸς ἐπὶ γῆς ὁ ζῶν ἐν οὐρανοῖς καὶ τοῖς ἀθανάτοις συγκαταταχθεὶς καὶ συναγαλλόμενος, καὶ ἔκειτο οὐκ ἐπὶ μετρίαις ταῖς ἡμέραις ἕως τῶν τισιν εὐσεβεστέρων ἐπίσκηψις ἄνωθεν γέγονε καὶ οἳ παρευθὺς τὰ τῆς ὁσίας ἐκτελοῦσι λαμπρῶς καὶ σεπτῶς πάνυ γε καταθάπτουσιν.

23. Ἀλλ' οὐκ ἦν ἄρα πρὸς τοῦ ἀγαθοῦ μισθαποδότου Θεοῦ μὴ ἀναδεῖξαι τὸν αὐτοῦ μάρτυρα, δοξάσαι τε καὶ ἐπὶ γῆς τὸν μεγάλως ἐπίπροσθεν ἀγγέλων τε καὶ ἀνθρώπων δοξάσαντα καὶ τὸν πρὸς μυρίας βασάνους προθύμως ἀποδυσάμενον, μὴ ἀφθόνῳ κατακοσμῆσαι τῇ τοῦ Πνεύματος χάριτι καὶ πλουσίαν χορηγῆσαι κατὰ παντὸς ἀντίξου τὴν δύναμιν. Τῷ τοι δὴ καὶ δι' ἑνός του τῶν προσπόλων τοῦ μάρτυρος — Λοῦπος τοὔτῳ γε ὄνομα, διὰ γοῦν τοῦτου μᾶλλον δὲ διὰ τοῦ αἵματος αὐτοῦ γε τοῦ μάρτυρος, ὃ λαθὼν σὺν τῷ ἐπιθανατίῳ εἴληφεν ἱματίῳ λύθρου πρὸς τῶν τρώσεων γέμοντι, τοῦ λαμπροῦ τε δακτυλίου· ἐκεκλόφει γὰρ κἀκεῖνον ὁ ἐπαινετὸς οὗτος ἱερόσυλος Λοῦπος — πολλὰς δυνάμεις διατετέλεκε· νόσους γὰρ καὶ τῶν πάνυ δεινῶν ἐθεράπευσε, στίφη δαι-

μόνων ἀπήλασε, μεγάλα καθάπαξ εἰπεῖν διεπράξατο. Ἀλλὰ φθάνει ἐνθένδε παρρησιασθεὶς καὶ Λοῦπος ὡς τὰ τοῦ Δημητρίου πρεσβεύει, καὶ δι' ἐκείνου μᾶλλον δὲ δι' ὃν ἐκεῖνος πρεσβεύων ἦν Θεοῦ τὰ μεγάλα τερατουργεῖ. Ταὐτοπαθεῖ γοῦν καὶ οὗτος συντόμως ἐρεῖν τῷ θαυμαστῷ Νέστορι· ἐχρῆν γὰρ ἐχρῆν τοῦ θεοφιλοῦς τε καὶ φιλοθέου Δημητρίου τῷ Δεσπότῃ ταὐτοπαθήσαντος καὶ διὰ τῆς κατὰ τὴν πλευρὰν τρώσεως τὴν ζωὴν μεθέντος καὶ τὸν χρηστὸν τοῦδε θεράποντα, τὸν θαυμάσιον Λοῦπον, τῷ τῶ Δημητρίῳ ταὐτοπαθῆσαι προσφιλεῖ Νέστορι.

24. Ἀλλ' οὕτω μὲν ὁ μέγας Δημήτριος ὑπὲρ Χριστοῦ τὸ ζῆν μεταθέμενος, προπέμψας τε φίλους καὶ θεράποντας μετακαλεσάμενος, τῆς ἐν οὐρανῷ βασιλείας κληρονόμος γεγένηται. Ὁπόσα δ' ἐν γῇ τεράστια ἔκτοτε καὶ εἰς δεῦρο διατετέλεκε τὸ τίμιον ἀγγέλοις τε καὶ ἀνθρώποις αὐτοῦ λείψανον, θαλάσσης ἂν τις ἄμμον μετρήσειεν, ἀστέρας ἀριθμήσειεν οὐρανοῦ, ὑετοῦ σταγόνας λογίσαιτο, εἰ λόγῳ δυνηθείη ταῦτα περιλαβεῖν. Τί γοῦν ἀπείποιμι διὰ τοῦτο καὶ ζημιώσαιμι τοὺς ἐντευξομένους τῷ λόγῳ τῶν μεγάλων καὶ θαυμασίων καὶ οὐχ ἥκιστα ὠφελίμων—ὠφέλιμα γὰρ τὰ οὕτωσὶ πρὸς ἀλήθειαν θαυμαστὰ τῶν ἔργων πρὸς ζῆλον παρακαλοῦντα καὶ πρὸς Θεὸν ἀναφέροντα τὸ ἔσχατον τῶν ὀρεκτῶν καὶ μακάριον— καὶ ποίας ἂν τύχοιμι συγγνώμης τὰ τοσάδε τὰ τοιάδε παραδραμών; Συγγνώμης μέντοι γε τεύξομαι, εἰ καὶ μὴ πάντα διεξιέναι δυνήσομαι· τὰ γὰρ μικροῦ τοῖς ἀπείροις ἐξισούμενα, πῶς ἂν τις λόγῳ διαλαβεῖν ἐξίκοιτος καὶ εἴ τινα δέπως ἀπολεξάμενος μὴ πρὸς ἀξίαν ἀπαγγελῶ, καὶ τοῦτό γε οὐκ ἀσύγγνωστον· τὰ γὰρ μεγάλα μεγάλων ἴσως καὶ δεῖται. Το δ' ἡμέτερον οποῖον, ἡλίκον, φθάσας ἀνωμολόγησα· οὐ μικρὸν γάρ μοι ἐμποδὼν καὶ ὁ πλημμελὴς βίος, ἥ τε περὶ τὰ ὑλώδη τύρβη καὶ καθάπαξ ἡ τῶν γεηρῶν ἀντιποίησις. Ἀλλ' ἀρκτέον ἐκ τῶν μετὰ τὴν τελείωσιν εὐθὺς τοῦ μάρτυρος τελεσθέντων, κἀκ τῶν ἐγγυτέρω τῇ ἐνθένδε μεταστάσει ποιητέον τὴν ἀπαρχήν.

25. Ἦν τις κατ' ἐκεῖνο καιροῦ ἀνὴρ τὰ πάντα διάσημος τὸ πρῶτον καὶ κορυφαῖον τῶν ἀγαθῶν, τὴν εἰς Χριστὸν πίστιν,

πλουτῶν, τοῖς ἐκτος ἅπασιν εὐτυχῶν, πλούτῳ περιαντλούμενος, δόξῃ περιβοώμενος, Λεόντιος τὴν κλῆσιν, τὴν ἀξίαν Ἰλλυρίδος γῆς ἔπαρχος. Τούτῳ συμπεσὸν οὕτω νόσος ἐπ' ἀλλοδαπῆς ἐνσκήπτει καὶ νόσος ὅτι βαρεῖα, ὡς καὶ ποτοῦ γε καὶ σιτίων ἀποκλεισθῆναι τούτῳ τὴν φάρυγγα. Ἦν οὖν Λεόντιος οὐτοσὶ τὰ εἰκότα δυσφορῶν καὶ τὰ ἀφόρητα παθαινόμενος, ὡς καὶ τὴν ζωὴν αὐτὴν ἀπολέγεσθαι καὶ τὸ δὲ πᾶσιν ἀπευκταιότατον εὐκταιότατον ἡγεῖσθαι τὸν θάνατον· ἰατροί τε γὰρ ἀπειρήκεσαν, τέχνη τε καὶ πεῖρα παντοία ἐξηπορήκει καὶ πάνθ' ὁμοῦ ἀνόνητά τε καὶ ἀλυσιτελῆ ἀνεφάνησαν. Ἀλλ' εἰς νοῦν ὀψέποτε βάλλει τὸν νεὼν Δημητρίου· ἐδείματο γὰρ καὶ σηκὸν ὁ εὐσεβὴς λεώς, ὡς ὁ τότε καιρὸς ἐνεδίδου, ἐπ' ὀνόματι τοῦ μάρτυρος, ἤδη χώραν τῆς εὐσεβείας λαμβανούσης καὶ τῆς ἀληθείας πάντοσε διαδιδομένης ἢ διαυγάζειν ἀρχομένης τὰ πέρατα καὶ τὴν τῆς πλάνης διασκεδάζειν συννέφειαν· Τὴν οὖν ἐκεῖσε καταφυγὴν ἐσχάτην ἄγκυραν ἐννενόηκεν. Ἀλλ' ὦ θαυμασίων Θεοῦ! ὦ δόξης ἧς παρ' αὐτοῦ πεπλουτήκασιν οἱ τοῖς ἑαυτῶν ἐνδοξάσαντες αὐτὸν μέλεσιν! Ὑγιὴς τῷ προσελθεῖν ἅμα καθίσταται οὕτως ἀθρόον, ὥστε ὅναρ ἂν ὑπετόπασεν ἀσθενῆσαι, ὅναρ ἔδοξε δυσφορῆσαι, ὅναρ ἐκεῖνα νοσῆσαι τὰ ἀθεράπευτα. Ἀλλὰ τῳόντι τῆς εὐεργεσίας ἄξιος ἦν ὁ Λεόντιος, καὶ τὰ μετὰ τὴν θεραπείαν τὰ πρὸ τῆς θεραπείας ὕλα ποιήσειε· δαψιλῶς γὰρ τὸν εὐεργέτην ἀμείβεται, τὸν ναὸν ὄντα βραχὺν πάνυ καὶ ἀκαλλῆ, ὡς ὁ τότε καιρὸς ἐσχεδίασεν, εἰς μέγαν ἐκ βάθρων ἀνεγείρας καὶ διοροφώσας περικαλλέστατα. Τοῦτο μὲν δὴ τοιοῦτον. Ἐφ' ὅσοις δὲ καὶ ἄλλοις ἐς αὖθις τὸν μάρτυρα Λεόντιος οὗτος ἐπικαλέσαιτο καὶ ὅσα γε ὁ μάρτυς ἐπὶ τῷδε θαυματουργήσειε, συχνοῦ τις καὶ χρόνου καὶ λόγου κατὰ μέρος διεξιέναι δεήσεται· συνεπεφέρετο γάρ τι τῆς ἱερᾶς χλαμύδος. Ἐπινώτιον τοῦτό γε ἦν αἵματι πεφοινιγμένον τοῦ μάρτυρος· μηδὲν γὰρ τῶν μελῶν ἀποτεμεῖν πολλὰ καὶ ταῦτα προθυμουμένῳ αὐτός γε ὁ μάρτυς καθ' ὕπνους ἐπέσκηψεν ἐπιστάς. Ὅσων δ' οὖν διὰ τούτου ρυσθείη δεινῶν καὶ ὅσα τερατουργήσειε παραδραμεῖται ὁ λόγος ἐπισπεύδων τοῖς ἐμπροσθεν.

26. Καὶ γὰρ δὴ διαδέχεται τὸν ἔπαρχον ἔπαρχος οὐχ ὡς τὰ

τοῦ ἔθνους κεκράτηκε καὶ τὰ τῆς πολιτείας θεσμοθετεῖν ἄνωθεν εἴωθεν, ἱκετεία δὲ καὶ πάθει καὶ δεήσει λιπαρᾷ πρὸς τὸν μάρτυρα· φθάνει γὰρ καὶ Μαρινιανὸν νόσος κατασχοῦσα δεινή. Ἔπαρχος καὶ οὗτος Ἰλλυριῶν ἦν, τὴν εὐσέβειαν τῷ ῥηθέντι παράμιλλος, τὸν τρόπον χρηστός, τὴν πίστιν θερμός. Ἡ νόσος εἰ μὴ ταὐτὴ ἀλλ' ἄντικρυς ὁμοία, ὁμοία τὴν προσβολήν, ὁμοία τὴν τοῦ σώματος τάξιν, τὴν πρὸς θάνατον παραπλησία πάντη κατέπειξιν· ἐπίσης γὰρ καὶ ἐπὶ τουτωὶ Ἀσκληπιάδαι ἐξηπορήθησαν καὶ φαρμάκων χρῆσις ὑπερεώρατο, τέχνη τε πᾶσα καὶ μέθοδος τοῦ μηδενὸς ἐκέκριτο ἀξία. Ὡς δὲ τῶν τις ἐκθύμως φιλούντων ὑπηρετῶν ἐξεῦρέ τι μόγις ὡς ὠετο ἀνυστικώτατον ἐν ἀπόροις, σωστικώτατον ἐν κινδύνοις, ἀρρητοποιίας ἑλληνικῆς προσηκόντως εἴποιμι ἀρρητούργημα, παρά του τῶν τὰ ἄρρητα τελούντων ἢ φάναι κρεῖττον ἀπόρρητα καὶ ἀπόφημα συντεθέν τε καὶ ἐκδοθέν, σχηματισμοὺς ἀστέρων καὶ πλανητῶν συνόδους ἀστρολαβήσαντος, περίγειά τε καὶ ἐναέρια προσεπικαλεσαμένου δαιμόνια, καὶ προσιὼν "ὦ φίλτατέ" φησι "δέσποτα, εὕρηκα μόλις ἀνεύρηκα ὅπερ ἀναμφρίστως τῶν ἐκ τῆς νόσου ἀνιαρῶν ἀπαλλάξει σε καὶ τοῦ προσδοκίμου ῥύσεται θανάτου καὶ ἐπαναξει πρὸς τὴν πρότεραν ὑγιειαν· δεικνυσι τε τὸν χάρτην καὶ τῷ τραχήλῳ περιελίττειν ἠβούλετο. Κἀκεῖνος ὅλῃ πως ἀποστρέφεται τῇ ψυχῇ μέγα ἀναβοήσας, ἅπασαν τερθρείαν ἑλληνικὴν ἀποτροπιαζόμενος, Χριστόν τε ἀνακαλεῖται καὶ τὸ τοῦ σταυροῦ σημεῖον κατὰ παντὸς σφραγίζει τοῦ σώματος. Ἐπιφαίνεται τούτῳ πρὸς ὕπνον τραπέντι ὁ μέγας οὗτος μάρτυς Δημήτριος, ἐφ' οἷς τε πέπονθεν ἀνιαροῖς πλεῖστα· πάνυ παρακαλῶν καὶ νεύματι δεικνύων τὴν ἐς αὐτοῦ φέρουσαν, οἰχομένῳ τε τῇ χειρὶ σημαίνων ἐφέπεσθαι. Καὶ ὃς ἄφυπνος εὐθὺς γεγονὼς καὶ τὰ τῆς ὄψεως διεγνωκὼς κελεύει τὸ τάχος πρὸς τὸν νεὼν αὐτὸν ἀγαγεῖν· οἱ δὴ καὶ γενομένῳ ὁ μάρτυς αὖθις ἐφίσταται. Καὶ ἵνα τὰ πολλὰ συντέμω, διαλέξεις καὶ ἐπισκήψεις καὶ πρὸς τὸ μέλλον παρεγγυήσεις, Χριστὸν ἐπικαλεσάμενος καὶ τὸ μέγα καὶ μέγιστον ὄνομα τὸ "Ἰησοῦ" ἐπειπὼν "ὑγιαίνων ἔσο" φησὶ καὶ παρευθὺς ὑγιὴς εὑρηται. Ἀλλ' ὡς τὴν αὐτὴν οὗτος ἀξίαν τῷ προτέρῳ ηὔχησε

καὶ παρομοίαν τὴν νόσον ἐδυστύχησε, παραπλησίας δὲ καὶ τῆς θεραπείας ἠρμοίρησεν, οὕτω πως ἐξισώθη καὶ τὴν προαίρεσιν καὶ τὴν δαψιλῆ πρὸς τὸν εὐεργέτην ἀπότισιν· χρυσόν τε γὰρ καὶ ἄργυρον ἐπίσημόν τε καὶ ἄσημον φέρων τοῖς τοῦ ναοῦ φροντισταῖς δίδωσιν, ἐφ' ὅτι ἂν γε καὶ ἐπικρίνειαν ἐπιτετραφὼς ἐπὶ τῷ ναῷ χρήσασθαι.

27. Οὐκ ἀπεικὸς δὲ ἴσως καὶ τῶν ἀστειοτέρων, εἴ ποι παρείκοι, παρενθεῖναί τινα θαυμάτων τοῦ μάρτυρος, οἷον δὴ κἀκεῖνο τὸ περὶ τὸν Ὀνησιφόρον, ὃς νεωκόρος μὲν ἐκ τῆς τάξεως ἔτυχεν ὢν καὶ τῆς θείας σοροῦ φύλαξ, ὀλίγα δὲ τούτῳ καὶ ναοῦ καὶ σοροῦ ἔμελεν. Ὡς γὰρ οὐδὲν ἦν ἐφ' ὅτῳ τῶν προσφερομένων οὐκ ἐλιχνεύετο, οὐδὲν ὁ μὴ αὐτίκα τῷ προσενεχθῆναι ὑφῄρει ἑκάστης ἡμέρας τε καὶ νυκτὸς ἱεροσυλῶν· συνέρρεον γὰρ οἱ προσάγοντες, κατὰ πᾶσαν ἡμέραν τε καὶ νύκτα τῶν θαυμάτων ἀδιεχῶς ἐκτελουμένων καὶ τῶν ἰάσεων εἰσαεὶ διενεργουμένων. Ἀλλὰ πῶς ὁ γλυκὺς τοῦτο φέρει Δημήτριος; Ὄναρ ἐπιφανεὶς πράως ἐπισκήπτει καὶ ἱλαρῶς "μὴ οὕτω ποιῶν, Ὀνησιφόρε, ἀφαίρει τὰ τῷ ναῷ προσφερόμενα, μηδὲ τῆς ἐμῆς κατατόλμα σοροῦ τὰ ἀνατιθέμενά μοι συλῶν". Ὁ δὲ καὶ αὖθις τὰ ὅμοια ὁρῶν ἦν, κηροὺς ὑφαιρούμενος καὶ παντοῖα ὑποσυλῶν ἀναθήματα. Πάλιν οὖν ὄναρ ὁ μάρτυς ἀπειλῶν καὶ πάλιν ὕπαρ Ὀνησιφόρος τὰ αὐτὰ τοῖς προτέροις διαπραττόμενος. Τέλος κηρούς τις προσάγει ἀδρούς ὅτι τὸν ὄγκον καὶ εὐστάθμους γε τὴν ροπήν, καὶ ὃς εὐθὺς τὰ εἰωθότα ποιεῖ· συλλαβὼν γὰρ ὁμοῦ πάντας ἀπῄει τὴν ἐς αὐτοῦ. Φωνὴ γοῦν ἐκ τῆς σοροῦ καὶ ἡ φωνὴ ἐξαισία τις, σάλπιγγος, βροντῆς δὲ μᾶλλον δίκην ἐξηχηθεῖσα, οὕτω πως ἔναρθρα ἐκβοήσασα· "τὰ αὐτὰ καὶ πάλιν, Ὀνησιφόρε; οὐ παύσῃ τὰ προσφερόμενά μοι στερίσκων"; Τρόμος τὸν Ὀνησιφόρον ἔνθεν καὶ φρίκη κατέσχε καὶ ἅπερ ὡς εἶχε κατέθετο, καὶ τὸ ἔτι μᾶλλον θαυμάσιον καὶ παραυτὰ τοῦ τρόμου ἀπήλλακται καὶ εἰς ἑαυτὸν ἀνελήλυθε καὶ τὸ ἀπ' ἐκείνου τήν τε περὶ τὰ ἀναθήματα λιχνείαν ἀπείπατο καὶ τὴν τῶν προσφερομένων ὑφαίρεσιν ψυχῆς ζημίαν ἡγήσατο.

28. Ἐπεὶ δ' ὁ χρόνος κατὰ τὸ εἰωθὸς αὐτῷ προὔβαινε καὶ

ὁ τῶν θαυμάτων θρύλλος πανταχῇ διεδίδοτο, καὶ ἡ τοῦ μάρτυρος δύναμις τοῖς ἐν τέλει τε καὶ βασιλεῦσιν αὐτοῖς τρανότερον ἐγνωρίζετο. Φθάνει δὲ τὰ τῆς βασιλείας σκῆπτρα λαχὼν καὶ Ἰουστινιανὸς ὁ πάνυ, Ἰουστινιανὸς ὁ μέγας ἐκ τῆς βουλῆς, ὁ μέγας ἐκ τῶν ἔργων καὶ τῶν πώποτε βεβασιλευκότων μεγαλουργότατος, τάχα μὲν μᾶλλον ἤπερ οἱ πρὸ αὐτοῦ τὸν μάρτυρα ἐπιγνούς, τοῦτο μὲν συνεὶς εὐεπηβολώτερον, τοῦτο δὲ καὶ ἐκ θαυμάτων συνεχεστέρων καταλαβὼν ἀκριβέστερον, τάχα δὲ κἀπὶ τῷδε τῶν πρὸ αὐτοῦ φανῆναι φιλονεικήσας φιλοτιμότερος καί πως δὴ τιμιώτερος, βούλεταί τι τῶν τοῦ μάρτυρος μελῶν κτήσασθαι καὶ τῆς βασιλείας προσλαβεῖν ἐγκαλλώπισμα, καὶ πέμπει δὴ πρὸς τὴν ἱερὰν πόλιν Θεσσαλονίκην, — καὶ γὰρ ἱερὰ τὸ ἱερὸν αὐχήσασα Δημητρίου σῶμα καὶ τῷ ἁγίῳ καταρδομένη μύρῳ καὶ τῶν θαυμάτων συνεχῶς ἀπολαύουσα—πέμπει γοῦν ἐφ' ᾧ γέ τι τῶν τοῦ ἱεροῦ τωόντι καὶ θαυματουργοῦ κομίσασθαι σώματος. Καὶ δὴ ἀπίασιν οἱ ληψόμενοι καὶ τῇ διορύξει ἐπιχειροῦσι, παραιτηθέντες μὲν τὴν ἄνωθεν πρὸς τὰ κάτω — ἡ γὰρ τῶν μύρων οὐ ξυνεχώρει πλημμύρα—πόρρωθεν δὲ καὶ ἐγκαρσίως διορύττειν ἐπιβαλόμενοι. Ἐπεὶ δὲ καὶ φθαῖεν ἐγγύς που γενόμενοι τῆς σοροῦ καὶ τοῦ ἁγίου ἐν χρῷ γένοιντο σώματος, πῦρ ἐκεῖθεν ἀποπαλλόμενον πάντες ὁμοῦ βλέπουσι καὶ πάντες ὁμοῦ τὴν εἰς τοὔπισθεν τρέπονται, ἐντεῦθεν καὶ κενοὶ τὴν εἰς βασιλέα πορεύονται, μᾶλλον δ' οὐ κενοί· τοῦ γὰρ θαύματος πλήρεις ἐπανεληλύθασιν, ἀξιόχρεών τε ἀγώγιμον τὴν λαμπροτάτην διήγησιν τοῦ τεραστίου προσενηνόχασιν.

29. Ἀλλ' ὁ μὲν τοῖς μεγάλοις ἐπευτυχεῖν εἰωθὼς Ἰουστινιανὸς οὕτω πως τῷ μείστῳ ἐπεδυστύχησεν, ἀποτυχὼν τοῦ πρὸς ἔφεσιν καὶ τῆς θαυμασίας ἀστοχήσας προθέσεως. Μαυρίκιος δ' ἐς ὕστερον αὖθις — ὃς δὴ πολλοστὸς μὲν ἀπ' αὐτοῦ οὐχ ἧττον τὴν βασιλείαν ἢ τὴν τῆς βασιλείας ἰσχύν, τὸν δὲ πρὸς τὸν μάρτυρα πόθον καὶ τὴν πρὸς τὸ λαβεῖν τι τῶν ἐκείνου μελῶν ἐπιμέλειαν μετ' ἐκεῖνον εὐθὺς καὶ ἰσότιμος — πῶς τοῦ κατὰ σκοπὸν εὐστοχεῖ; Προθυμεῖται καὶ οὗτος τὰ ὅμοια. μανθάνει δὲ τὰ κατ' ἐκεῖνο καιροῦ συμβάντα καὶ τῆς ὁρμῆς ἐγκόπτεται καὶ τῆς τόλμης ἀνα-

χαιτίζεται καὶ μόνῃ ἐπαρκεῖται κόνει τῇ ἐκ τῆς προτέρας ἐκείνης καὶ πρὸ χρόνων διορυγῆς. Ἀλλα τί γοῦν διηγεῖσθαι στρατηγῶν ἐπιφανῶν θεραπείας, δαιμονιζομένων ἰάσεις, πόλεως ὅλης δεινοτάτων παθῶν, λιμοῦ τε καὶ λοιμοῦ θαυμασίας ἀπαλλαγὰς δι' ἑαυτοῦ γε ἀμέσως τῷ μάρτυρι ἀνυσθείσας; τὰς μὲν γὰρ ὅναρ τὰς δ' ὕπαρ ἐπιστὰς ἴαται Ἱστορίας τόδ' ἔργον, οὐκ ἐγκωμίου, χρόνου τε συχνοῦ καὶ σχολῆς ὅτι πλείστης δεόμενον. Τοίνυν δὴ καὶ τὰ πλείω παραλειπτέον καὶ ἄλλως, ὡς ἔφημεν, ἀδύνατον ὂν πάντα διεξελθεῖν τὰ τοῦ μάρτυρος.

30. Ἀλλὰ τὸ περὶ τὸν τοῦ Ἰλλυρικοῦ θαυμασίως τελεσθὲν ἔπαρχον οὔμενουν, οὐ παραλιπεῖν ἄξιον. Ἔφθην εἰπὼν ὡς ἐπεγνώκεσαν ἔπαρχοι ἐκ νόσων βαρυτάτων τὴν πρὸς Θεοῦ δοθεῖσαν χάριν τῷ μάρτυρι, νῦν δ' ἐκ νόσου καὶ νόσου χαλεπωτάτης· ψυχῆς γὰρ οὐ σώματος ἦν, σαφὴς τυγχάνουσά τις ἀπόνοια καὶ φρενῶν ὡς ἀληθῶς ἔκστασις. Καὶ πόθεν γάρ ἂν ἀπόφημον οὕτω λόγον προαγαγεῖν ἀπετόλμησεν, "ἀλλὰ πῶς ἂν ἀνασχοίμην" προενεγκὼν ὡς "οἱ τῆς τῶν Θετταλῶν προκαθημένης οἰκήτορες οὐ παύσονται τῷ Δημητρίῳ συμπαίζοντές τε καὶ συμπαιζόμενοι"; Ταῦτ' ἐξεῖπεν ἡ τολμηρὰ καὶ θρασεῖα γλῶττα, καὶ ἡ Δίκη οὐ τὸ τῆς ποιήσεως "ὀπισθόπους" ἀπήντηκε, "παρὰ δὲ πόδας" εὐθύς· ἔτη γὰρ ὅλα ἡμιπληξία συνείχετο καὶ δεινῶς ἐπιέζετο, ἕως καθ' αὑτὸν αὐτὸς ἐπιγνοίη πρὸς ὃν δυσφημήσειε, κἀκείνῳ προσέλθοι καὶ ὑπὲρ τῆς τοῦ πάθους ἀπαλλαγῆς δυσωπήσειε. Πλὴν ἀλλ' ὁμοῦ τε προσῆλθε καὶ τῆς θεραπείας ἐπέτυχε καὶ μὴ τοιάδε τοῦ λοιποῦ δυσφημεῖν ἔμαθε, διπλῆν ἀληθῶς τὴν θεραπείαν δεξάμενος, ψυχῆς ὁμοῦ τε καὶ σώματος. Ἀλλ' εντεῦθεν οὐκ ἔχω δυοῖν ὅπως μᾶλλον δὲ τρισὶν ἐπιμερισθείην τῷ λόγῳ θαυματουργήμασι καὶ πρὸς ἀξίαν διηγησαίμην σφῶν ἕκαστον, ἢ μᾶλλον εὐκρινῶς ἀπαγγείλαιμι, καθαρῶς τε ὡς ξυμβεβήκεσαν παραστήσαιμι.

31. Γένος ἀπηνὲς καὶ ἀνήμερον, Τριβαλλῶν ὅμορον, ἐν γειτόνων ὂν Παίοσι—Σθλαβῖνοι τὴν κλῆσιν, θηριώδεις τὴν δίαιταν, τὴν βιοτὴν ἔκφυλοι, τὴν ὁρμὴν ἀκατάσχετοι—τῆς τοῦ μάρτυρος κατεστράτευσαν πόλεως, τῆς περιφήμου λέγω Θεσσαλονίκης. Πάσαις

μὲν γὰρ ἐφ' ὅσαις ὁ Χριστὸς γινώσκεται καὶ λατρεύεται, καὶ ὁ μέγας οὗτοσὶ μάρτυς καὶ τιμᾶται καὶ ἔγνωσται· ἰδιαίτερον δέ πως οἰκείαν ἑαυτῷ ἦγηται—ὅτι καὶ οἰκειότερον αὐτῇ τουτονὶ σέβεται—τὴν καὶ προενεγκοῦσαν καὶ καθαγιασθεῖσαν τοῖς αὐτοῦ αἵμασι καὶ τὸ ἱερὸν αὐτοῦ σῶμα πλοῦτον ἄσυλον ἔχουσαν. Παρὰ γοῦν τῇ περικλύτῳ τῇδε τῶν πόλεων τὸ κάκιστον ἔθνος τουτοὶ ἐστρατοπεδεύκασι καὶ τὸ τοῦ λόγου "Μυσῶν λείαν" τὰ περὶ αὐτὴν θέμενοι αὐτῆς ἐκείνης παρασκευαῖς παντοίαις κατεπεχείρησαν. Καὶ δὴ χρόνῳ πολιορκοῦντες συχνῷ, δαιμονίαις τε μηχαναῖς ἀποπειρασάμενοι καὶ τὸ τῆς παροιμίας "πάντα κάλων" κινήσαντες, ὡς οὐδὲν ἀνῦσαι δυνηθεῖεν, ὁ δ' ἐνιαυτὸς ἤδη περιήκων τὴν ἐτήσιον τοῦ μάρτυρος τελετὴν ὅσον οὐδέπω παρεισκυκλῆσαι καὶ τὰ εἰωθότα ἀπασχολῆσαι τοὺς φιλομάρτυρας οἰκήτορας ἤμελλε, σφᾶς δὲ οὐκ ἔλαθε κάκ τῶν ἔξωθεν τὸ περὶ τὸν μάρτυρα φίλτρον ὁπόσον οἱ πολιορκούμενοι τρέφουσι καὶ ὡς μετὰ Χριστὸν τιμῶσι καὶ τῶν λοιπῶν ἁγίων διαφερόντως αὐτοῦ περιέχονται—ὡς οὖν ἦκεν ἡ κυρία. οἱ δὲ τοῖς ὕμνοις ἐπαννύχιζον, ὀργῶσι κατὰ τῶν τειχῶν, προσβάλλουσι ταῖς πύλαις, αὐταῖς ἐπιχειροῦσιν ἐπάλξεσι, "σοῦ τάχα, μάρτυς", ὑπεριδόντες, "τῆς σῆς περὶ αὐτοὺς κηδεμονίας ἀλογήσαντες". Ἀλλ' οὐκ εἰς μακρὰν αὐτῆς ἤσθοντο· "ἐπιφαίνῃ γὰρ ὡραῖος ἔνοπλος ὁποῖος ὁ ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ φανεὶς ἐκεῖνος τὸ παλαιόν, ὁ τῶν ἄνω δυνάμεων ἀρχιστράτηγος, ἄλλοθεν ἀλλαχόθι μεταπηδῶν ὡς τις ἂν ὑπόπτερος ὢν ἐν ἀκαρεῖ πανταχόθι περιφοιτῶν καὶ πάντοθεν γενναίως ἀποσοβῶν, μόνῃ ἀποδιοπομπῶν ἀτενίσει, μόνης ἀπὸ θέας νεκρῶν". Ὁ μὲν οὖν τῶν αὐλῶν δυνάμεων στρατηγός, ὁ παραστάτης τοῦ Θεοῦ Μιχαήλ, τὴν τοῦ Σεναχηρεὶμ πολυπληθῆ στρατιὰν ἐκείνην ἐν μιᾷ κατασφάττει νυκτὶ τάχα λεγεῶνας ἀγγέλων αὐτῷ συμπαραλαβών, ὁ δέ γε μάρτυς μόνος μονώτατος τροποῦται τὴν οὐχ ἥκιστα μεγάλαυχον καὶ θρασεῖαν ἢ πολλὴν κατ' ἐκείνην καὶ δυσαρίθμητον.

32. Ἀλλὰ θαυματουργεῖταί τι καὶ ἕτερον, τοῦ προρρηθέντος οὐκ ἔλαττον. Πῦρ οὐκ ἔγνω τις ὅθεν περὶ τὴν τοῦ μάρτυρος ἐνε-

πεπτωκει σορον· ὕλη δ ενσκῆψαν τὸ πῦρ χρόνον οὐκ ἀναμένον ἐξαιρεται και εν οφθαλμοῦ, ὡς ἴστε, ριπῇ τὰ προστυχόντα περιλαμβάνον ἐκδαπανᾶ· εἰ δὲ και τύχῃ πως τῶν εὐπρήστων ἡ ὕλη τακερά τις οὖσα καὶ ὑγροτέρα, ὅσον ἂν ἰσχύσειεν, ὅσον ἐργάσαιτο, ὥςπερ δὴ καὶ τῷ τότε τὰ τῆς ἱερᾶς ἅπαντα λάρνακος ἐξηφάνικεν, ἄργυρον διατῆξαν τὸν ἐν αὐτῇ, χρυσὸν τὸν ἐπ' ἐκείνῳ ἐξαφανίσαν, κατά τε τοῦ ἐδάφους ὕδατος δίκην διασκεδασαν καὶ τὴν ἱερὰν τὸ παντελὲς ἀποκοσμῆσαν σορόν! Ἀλλὰ θαυμάσιον οἷον ἐπισυμβέβηκε· προσπελάζει γὰρ τῷ μύρῳ διὰ πλείστων ὅσων ἐρπύσαν εὐπρόσκοπα καὶ παρευθὺς τῆς ἰδίας ὥςπερ ἐπιλαθόμενον φύσεως, ἐμψύχου δίκην ὀπισθόπουν ὑποχωρεῖ καὶ τοῖς πρόσω προσεγγίσαι τὸ παράπαν οὐχὶ τολμᾷ, τάχα γε ὃν ἡ κτίσις ἠγάσατο σύμπασα καὶ τῶν ὑπὲρ τοῦ παραγαγόντος ἀγώνων ἐθαύμασε δεδιὸς ὅλως καὶ κειμένῳ προσψαῦσαι, ἴσως δὲ καὶ τὰς ὡς ἐκ πιδάκων τῶν αὐτοῦ λαγόνων ἀναβλύσεις καθάπερ εἴτινας ἱδρῶτας ὑποστελλόμενον καὶ τῇ δυνάμει τούτων σβεννύμενον. Ὅτου δὲ χάριν αἱ τοιάδε πηγαὶ δαψιλῶς ἐντεῦθεν ἀνεστομώθησαν ἄλλοις μὲν ἄλλ' ἄττα δόξαιεν ἴσως καὶ εὐστοχώτερα, ἐμοὶ δὲ δοκεῖν οὐκ ἄλλου του ἀλλ' ἢ ἐπειδὴ πρὸς τοὺς τῆς ἀληθείας ἐχθροὺς ἀντισταίη στερρότατα, ὧν ὑπὲρ ἔλαιον ἠπαλύνθησαν οἱ λόγοι· αὐτοὶ δὲ ἦσαν βολίδες, γέρας θαυμαστόν οἷον ἀπείληφεν ἔλαιον ἀνθ' αἵματος ἐκ τῶν ὠτειλῶν ἔλαιον ἀναβλύζειν ἀγαλλιάσεως καὶ τὸ δὴ μεῖζον ὑπὲρ τῶν λιπαρούντων δεόμενος τῷ δικαίῳ μισθαποδότῃ Χριστῷ ἠπίως ἄγαν προσδέχεσθαι.

33. Πλὴν ἀλλ' ὁ θροῦς καὶ ἡ περὶ τοῦδε βοὴ ἄλλον ἄλλοθεν τοὺς τῆς πόλεως διυπνίζει· περὶ ὄρθρον γὰρ ἦν καὶ τῇ πανυχω ὑμνωδίᾳ τῷ τε ἐκ πολέμου ἔωθεν εἰς ἑσπέραν μόχθῳ καταβληθέντες πρὸς ὕπνον γε διελύθησαν. Ὡς οὖν τὸ ξυμβὰν ἔγνωσαν, πάντες ἐφ' ᾧ τὸ πῦρ κατασβέσαι ξυνθέουσι καὶ τὴν τοῦ προμάχου σορὸν—οὐδὲ γὰρ ἄλλοθεν ὤοντο—ἐκ τῆς τοσαύτης τε καὶ τοιαύτης προσβολῆς τῶν πολεμίων ἐς τοσόνδε φυλάττεσθαι τοῦ πυρὸς ὕλῃ σπουδῇ διασῶσαι ξυντρέχουσιν. Ἀλλ' ὁρᾷ τὴν ἀκάθεκτον ἐκείνων ὁρμὴν ὁ τοῦ ναοῦ καὶ τῆς σοροῦ τὴν φροντίδα

λαχών, καὶ ὑπὲρ τῆς σκεδασθείσης ὕλης ὡς μὴ διαρπαγῇ δειλιᾷ· καὶ οὕτω γε ἐπελθὼν "πολέμιοι ἀνὰ τὰ τείχη" βοᾷ "πρὸς τὸ κατεπεῖγον πορεύεσθε!" Τοῦτ' ἀκουσθὲν ἐπὶ τὰ τείχη πάντες βαδίζουσι καὶ τὸ τεράστιον βλέπουσι καὶ ἰδόντες χαρᾶς ὁμοῦ καὶ δέους ἐμπίπλανται. Ὡς δὲ δὴ αὖθις τὰ τῆς πόλεως κατασταῖεν καὶ οἱ οἰκήτορες εἰς ἑαυτοὺς ἐπανέλθοιεν, οὐκ ἀνεκτὸν ἡγοῦνται— καὶ γάρ πως ὡς φιλομάρτυρες οὕτω πως ἄνωθεν καὶ φιλότιμοι καὶ μάλιστα δὴ περὶ τὰ τοῦ μάρτυρος — μὴ καὶ τὰ τῆς ἱερᾶς ἀνακαλλῦναι σοροῦ καὶ τὸν πρὶν ἀποδοῦναι κόσμον τῇ λάρνακι. Ἀλλ' ἐνδεῖ τούτοις ἡ ὕλη, καὶ οὐ παρὰ μικρὸν ἐλλιπής. Ἀνασκοποῦσι τὰ πρὸς ἀπαρτισμὸν ἢ καλλωπισμόν· ἀνευρίσκεται. Ἔτυχε δὲ θῶκος ἀνέκαθεν τῷ ναῷ ἀνακείμενος, φιλοτεχνηθεὶς ἐξ ἀργύρου καὶ χρυσῷ τὰ εἰς ἐπιφάνειαν λαμπρυνθείς. Ἀνάθημα τοῦτον ἔφασκον ἔνιοι, πλείους δ' οἳ προσήκειν ἐκ προγόνων τῷ μάρτυρι. Τοῦτον πρὸς ἀναπλήρωσιν τοῦ ἔργου προσλαβεῖν συνεφώνησαν· ἀλλ' ἐφίσταται ὄναρ ὁ μάρτυς τῶν τινι πολιτῶν, μὴ ἐνδιδοὺς ὅλως χεῖρα τῷ θρόνῳ ἐπιβαλεῖν, μὴ παραθραῦσαι τὸ παράπαν τὸ κειμήλιον ἐφιείς. Ὡς δὲ τὰ τῆς χρείας ἠνάγκαζε καὶ ἡ αὐτὴ πάλιν ἐπεκράτει περὶ τοῦ θώκου βουλή, ἐπιφαίνεται καὶ αὖθις, ἐπισκήπτει, καὶ αὖθις αὐ τὰ αὐτά, "αὐτὸς ἐγὼ" λέγων "τὰ εἰς ἐκπλήρωσιν εἰσενέγκω. Ἔμοι γε τὰ περὶ αὐτοῦ μελήσει". Οὐ παρερρύη καιρός, ἡμέραι οὐκ ἠριθμήθησαν καὶ ποθεν ἔμπορος τῷ νεωρίῳ προσχὼν οὐ μικρὸν τάχα γε οὗτος τῆς περὶ τὰ κρείττονα πραγματείας λόγον ἐτίθετο. Οὗτος οὖν ἄργυρον ὅτι συχνὸν φέρων τῷ νεῲ τοῦ μάρτυρος ἀνατίθησι, μετ' οὐ πολὺ δὲ καὶ ἄλλος καὶ μετ' ἐκεῖνον ἕτερος, ἐπίσης πάντες φιλόχριστοι, ἐπίσης γε φιλομάρτυρες, ἐκ τῆς ἀγαθῆς προαιρέσεως δαψιλῶς συνεισφέροντες. Ἔνθεν τοι καὶ πλέον ἢ ἐνέδει τὰ πρὸς τὴν χρείαν ἐν βραχυτάτῳ καιροῦ ὑπερέβαλε τὰ ὑπὲρ τὴν χρείαν.

34. Ἀλλ' οὕτω μὲν ὁ μέγας Δημήτριος ὁ ἔτι γε περιὼν ἀγωνιστὴς γενναῖος ἀναφανεὶς καὶ νικηφόρος λαμπρὸς ἀναγορευθείς, καθ' ὁρατῶν τε φημὶ καὶ ἀοράτων ἐχθρῶν, τοὺς ὁρατοὺς ἐκείνους καὶ μεταστὰς κατετροπώσατο δυσμενεῖς. Ὁ δὲ τοῦ προρρη-

θέντος ἀρχων ἔθνους τὴν ἐκ τῆς ἥττης ἀτιμίαν οὐ φορητὴν ἡγησάμενος πρὸς ἀγῶνα καὶ αὖθις αὖ ὑπαλείφεται καὶ κραταιότερον διανίσταται· συλλέγει γὰρ ἐπικουρικὸν πάνυ ὄγκα καὶ κατὰ τῆς πόλεως αὖθις ταὐτὸν δ' εἰπεῖν κατ' αὐτοῦ στρατοπεδεύει τοῦ μάρτυρος. Πάλαι μὲν οὖν Ἀγαμέμνων—Ἀγαμέμνων ἐκεῖνος ὁ τὸ πανελλήνιον ἠθροικὼς—τῆς περιωνύμου Τροίας κατεστρατήγησε, τῆς προκαθημένης μὲν τῶν Φρυγῶν, τῆς δ' Ἀσίας ἁπάσης βασιλευούσης ὡς ἀληθῶς καὶ πολλὴν περιβεβλημένης πανταχόθεν ἰσχύν· ὁ δέ γε Χάτζων—τοῦτο γὰρ κλῆσις τῷ βασιλεῖ—μετὰ μυρίων ὅσων Σθλαβίνων καὶ σχεδὸν παντὸς τοῦ βαρβαρικοῦ τῆς εὐτυχῶς προκαθημένης τῶν Θετταλῶν δυστυχῶς κατεστρατοπέδευσε, χέρσον μὲν ὁπλιτῶν τε καὶ ἱππέων πλήσας, ὁλκάσι δὲ καὶ τριήρεσι συγκαλύψας τὴν θάλασσαν. Καὶ ὃ δ' ἐκεῖνος κατὰ τῶν πολιορκουμένων ἠπείλησεν ἢ μὴν μηδ' ἐμβρύου κατασχὼν φείσασθαι, τοῦτο καὶ αὐτὸς ἄντικρυς.

35. Ἀλλ' ἵνα δὴ παραδράμω τὰ μεταξύ, τὴν θρασύτητα τῶν πολεμίων, τὴν πτοίαν τῶν πολιτῶν, τὰς ἐκ τῶν νηῶν κλίμακας, τὰς ἐπὶ τὰς πυργοβάρεις ἀνόδους ἢ καὶ κατασχέσεις αὐτῶν, τὰ ἐκ τῆς χέρσου πετροβόλα διάφορα μηχανήματα, τοὺς ραγδαίως ὁρμένους λίθους, τοὺς νιφετῶν δίκην ἐπιπίπτοντας ὀϊστούς, τὴν τῶν ἔνδον παντελῆ νάρκωσιν ἢ ἀληθέστερον εἰπεῖν νέκρωσιν, ἐπιφαίνεται τοῖς τείχεσιν ὁ πρόμαχος ἐν πολέμοις, ὁ κυβερνήτης ἐν κινδύνοις, ὁ πολιοῦχος μάρτυς Δημήτριος. Διατρέχει τὰς βάρεις, διαθέτει τὰς ἀνόδους τῶν πολεμίων, ταῖς διαπύροις ἱκεσίαις ἐπικαμφθείς· τοῦτο γὰρ οὐ παραδραμοῦμαι, ὡς ἐπείπερ ἀπείπαντο, τὸ εἰωθὸς σφίσι ξυνθέμενοι διεπράξαντο καὶ κοινὴν ἱκετηρίαν ἐστήσαντο πρὸς τὸν μάρτυρα πρεσβύται καὶ πρέσβειραι, νεανίσκοι νεάνιδες παιδάρια βρέφη, ἡλικία καθάπας καὶ τύχη διάφορος· καὶ ὃς εὐθὺς εὐμενῶς ὑπακούσας καὶ ἐπιστὰς παραυτά,—εἰσὶ γὰρ οἳ καὶ τεθέαντο τοῦτον, τὸν τῆς ψυχῆς ὀφθαλμὸν ἐκ τῆς βιοτῆς καθηράμενοι καὶ τὰ τοῖς πολλοῖς ἀθέατα κατοπτεύειν δυνάμενοι—ἐπιστὰς οὖν τοὺς ἐκ θαλάττης ἐπιχειροῦντας πρώτους τρέπει τε καὶ διόλλυσι, μετὰ δέ γε τοὺς ἐπὶ χέρσου· τοῖς γὰρ τέως περιδεέσι

μένος ἔνθεν ἐνέπνευσεν, ἥπερ δὴ Γεδεὼν τοῖς τριακοσίοις οἰκογενέσι τὸ παλαιὸν καὶ Ἰησοῦς ἐν ἐξόδῳ τοῖς μετ' αὐτοῦ κατὰ τῶν ἀλλοφύλων τὸ πρότερον.

36. Ἦν οὖν θαῦμα ἰδέσθαι τοὺς λαγωῶν πεφοβημένων δειλοτέρους τὸ πρὶν ὑπὲρ παρδάλεις ὁρμητικούς, τοὺς εὐπτοήτους ὑπὲρ ἐλάφους φυζακινοὺς εὐθαρσεῖς ὑπὲρ λέοντας. Τότε δὴ καὶ τὸ τῷ προφήτῃ ἐπ' ἄλλοις ῥηθέν τε καὶ τελεσθὲν μυστηριωδεστέροις καὶ κρείττοσιν ἀληθῆ πως ἔσχηκεν ἔκβασιν, τὸ "ἁλεῖται" δήπουθεν "ὡς ἔλαφος ὁ χωλὸς καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων" (Ἡσ. 35, 6)· συχνοὶ γὰρ τραυματίαι καὶ τὰ σκέλη ἀνάπηροι τοῦ πάθους ἐπιλαθόμενοι ἕκαστος κατὰ τῶν τρωσάντων ἐξωρμησαν, καὶ τῶν τέως ἀφωνων ἐκ δειλίας πολλοὶ μέγα τοῖς λοιποῖς ἐβόων κατὰ τῶν ἐναντίων θαρρύνοντες. Καὶ δὴ κατὰ φάλαγγας τραπέντες ἐχώρουν οἱ δυσμενεῖς, ὅλας στρατιὰς τῶν πυλῶν ἐξιέναι ὑποτοπάσαντες· οἱ δ' ἄλλοθεν ἄλλος ἀνὰ μέρος ἐδίωκον. Ὁ μὲν ἐζώγρει, ὁ δ' ἔσφαττεν ὁ δὲ παρεδίδου, ἄλλος κατασχὼν περιέδυεν, ἕτερος ἀπῆγε λαβών. Χιλιοστύες ὑφ' ἑνὸς ἐδιώκοντο, δυσὶ — τὸ τῆς Γραφῆς — μυριοστύες μετακεκίνηντο, ζωγρεῖται καὶ ὁ μεγάλαυχος Χάτζων καὶ ὁ πρὸ βραχέος ὑπέροφρυς εἰσάγεται δέσμιος καὶ ἀνθ' ὧν κατὰ τοῦ προμαχοῦντος σφῶν ἠφρονεύσατο καὶ τῶν τιμώντων αὐτὸν κατενεανιεύσατο, χλεύης ἀφορμὴ τούτων γίνεται, οἷς τε κατὰ τῶν ἠδικηκότων μηδὲν ἀνηλεῶς τὸν φόνον ἐτέκταινε, τὸν ἐφύβριστον δικαίως καταδικάζεται θάνατον.

37. Ταῦτα δεινότητος οὐ δεῖται ῥητόρων, ὡς οἶμαι. Ταῦτα μυθολογίας ποιητικῆς ποιητικῶς εἰπεῖν οὐ "χατέουσι". Ταῦτα ἱστορικῶν κομψείας οὐ χρῄζουσιν· ὡς γὰρ ἂν τις τὸν τῆς ἡμέρας λαμπτῆρα, τὸν τοῦ παντὸς προσῆκον εἰπεῖν ὀφθαλμόν, τὸν φωσφόρον ἥλιον παρὰ τοῖς μήπω ἰδοῦσιν ἢ ἄλλως αἰσθομένοις — ἐν γὰρ ὑποθέσει λεκτέον — ἐπαινέσαι προθυμηθεὶς καὶ τὰς ἐπὶ τῷ παντὶ τῷδε ἐνεργείας τούτου διεξιέναι κατὰ λεπτὸν βουληθείς πλεῖστον πάνυ τῆς ἀληθείας ἀπολειφθήσεται, ὡς δὲ καὶ ὁ καθ' ἕκαστον διηγεῖσθαι τὰ τοῦ μάρτυρος τεράστια πειρασόμενος πρὸς τοὺς ἀνηκόους τούτων — καὶ τοῦτο γὰρ ὁμοίως ὑποθετέον — τῆς ἀλη-

θείας πάντη διαμαρτήσεται· αὐτίκα γὰρ ὁ μετὰ τὴν βασιλείαν Μαυρικίου καὶ τὴν τοῦ Φωκᾶ τυραννίδα ξυμβέβηκε, τὸ κοινὸν δηλαδὴ τῆς οἰκουμένης κλυδώνιον, τήν τε πρὸς τοῦ Θεοῦ δοθεῖσαν χάριν τῷ μάρτυρι παραστήσειε καὶ οὐχ ἥκιστα καὶ τὴν τοῦ μάρτυρος πρὸς τοὺς ἑαυτοῦ πολίτας κηδεμονίαν γνωρίσειεν.

38. Ἐπεὶ γὰρ ὁ μὲν ἐπείληπται τῆς ἀρχῆς παραχωρήσει Θεοῦ τοῦ τὰ καθ' ἡμᾶς, ὡς μόνος οἶδεν αὐτός, διιθύνοντος, ὁ δ' ἀνηλεῶς πανοικὶ ἢ παγγενῆ οὕτως εἰπεῖν ἐξολοθρεύεται, τὰ τῶν Ῥωμαίων, ὡς ἔπος εἰπεῖν, ἀντέστραπται καὶ συγχέγυται. Οὐκ ἦν οὖν εὑρέσθαι πόλιν ἐν καταστάσει, οὐκ ἦν ἰδεῖν εἰρήνην ἐν κώμῃ, οὐχ ὁδὸν εὑρεῖν ἄνετον, οὐκ ἐρημίαν διελθεῖν ἀδεῶς· ἐν γὰρ πόλεσι στάσεις, ἐν κωμοπόλεσι μάχαι, ἐν κώμαις διαρπαγαί, ἐν ὁδοῖς λωποδῦται, ἐν ἐρημίαις λῃσταί, ἐν ἅπασι καθάπαξ δεινὸν ἅπαν περιεπόλευεν. Ἀλλ' ὡς τὸ πάλαι ἡ κιβωτὸς τοῦ κοινοῦ τῆς οἰκουμένης ὑπερεφέρετο κλύδωνος, ὥς δὲ καὶ ἡ τιμιωτάτη Θεσσαλονίκη ἀνωτέρα πάσης ἀταξίας τε καὶ συγχύσεως τῷ τότε διαπεφύλακται· στάσις γὰρ οὐκ ἐπεχωρίασε ταύτῃ, ἔρις ἦν τις τῶν παλαιῶν λύμην πόλεων ἀπεκάλεσε τὸ παράπαν οὐκ ἐπεισέφρησεν, ὁποῖα δὴ φιλεῖ ξυμβαίνειν καὶ μάλιστα παρὰ τοῖς τοιούτοις γε τῶν καιρῶν. Πόθεν δὲ ἄρα ἐκ τῶν δεινῶν τῶνδε διατετήρηται; Ἡ γε ὄψις ἦν κατ' ἐκεῖνο καιροῦ τις τεθέαται — τῶν ἐπιφανῶν οὗτος ἐκ τῆς τύχης καὶ οὐχ ἧττον τῆς ἀρετῆς ἦν—δῆλον πᾶσι διείθηκεν, ἅμα δὴ τὴν παρὰ Θεῷ τοῦ μάρτυρος παρρησίαν γνωρίζουσα καὶ τὴν πρὸς τοὺς αὐτοῦ πολίτας στοργὴν παριστάνουσα, δι' ἃ σαφῶς πεφυλάχθαι τὴν πόλιν δι' ἀποκαλύψεως ἐκείνῳ δεδήλωται. Ἀλλὰ παρίημι ταῦτα, εἰ καὶ μὴ παραλείψεως ἄξια, τῷ τῶν τεραστίων πελάγει περιαντλούμενος καί πως ἰλιγγιῶν καὶ πρὸς τὰ πρόσω διαπορούμενος, οὐχ ἥκιστα δὲ καὶ τῷ θαυμασίῳ τούτων κηλούμενος καὶ ἐξ ἑτέρου δῆτα πρὸς ἕτερον μεθελκόμενος.

38. Ἀλλὰ τὸ ξυμβὰν περὶ τὸν θαυμάσιον ἐκεῖνον Βιτάλιον ἐκ τῶν ἀδιεχῶς τελουμένων θαυμασίων τῷ μάρτυρι καὶ οὐχ ἥκιστα τῆς ἀφθόνου κάτωθεν τῶν μύρων ἀναστομώσεως, πῶς ἂν γε καὶ

παραδράμοιμι; Οὗτος βίον μὲν κατ' ἐπωνυμίαν ἄλλον, τὸν κρείττονα δηλαδὴ καὶ θειότερον, προελόμενος καὶ ὅλῳ νοῒ τῶν τῇδε μετεωρισθείς, ἔνθεν δὴ καὶ ἀνελθεῖν εἰς ὄρος προθυμηθεὶς τῷ Ἄθῳ φιλοχωρεῖ. Ὄρος ἱερὸν τοῦτο καὶ τοῖς παλαιοῖς κατωνόμαστο, τάχα γε τὸν ἁγιασμὸν προφοιβασαμένοις καὶ πόρρωθεν τὸν τῶν ἐνοικησόντων εἰς νέωτα· ὁποῖοι γὰρ ἐν τῷδε μετὰ τὸ τῆς ἀληθείας φῶς ἀναλάμψαι καὶ τὴν ἀγαθὴν πορείαν ἀναφανῆναι τὴν εἰς οὐρανοὺς ἀκωλύτως ἀνάγουσαν, ὁποῖοι τὸν βίον ἐν τούτῳ καὶ τὴν ἀρετὴν ἀνεδείχθησαν, ἴσασι πάντες καὶ περιττὸν ἡ διήγησις. Οὗτος δ' οὖν ὁ Βιτάλιος θερμῶς τῆς ἀρετῆς ἐφαψάμενος, καὶ θερμοτέρως προήχθη διαπορεῖν. Ὅθεν καὶ ἄφθονα τὰ μύρα ἐκ τῆς τοῦ μάρτυρος ἀναβλύζειν σοροῦ πυνθανόμενος τὰς αἰτίας ἀνερευνᾶν ἤθελε, καὶ ὅτου χάριν τὰ τοσαῦτα τὰ τοιαῦτα θαυματουργεῖν μόνος μαρτύρων ἠξίωται περιεργαζόμενος οὐκ ἐπαύετο. Ἀλλ' ὁ μόνος εἰδὼς καὶ νοὸς κινήσεις καὶ προθέσεις ψυχῆς καὶ βουλὰς—τὸ τῆς Γραφῆς — καὶ ἐνθυμήσεις ζυγοστατῶν διαλύει τῶδε τὸ ἄπορον· ἀπάγει γὰρ ὄναρ αὐτὸν καὶ εἰς τὸν τοῦ μάρτυρος φέρων ἄγει ναὸν καὶ τῷ ἐπιμελητῇ συνίστησι τῆς σοροῦ καὶ συνᾶραι λόγους ἀφίησιν.

40. Ἀλλ' ἵν' ἐάσω τοὺς λόγους εἰσιέναι τὸν νεὼν ἔδοξε καὶ παρὰ τῇ σορῷ γενέσθαι καὶ δῆθεν ἐπικαλέσθαι τῷ νεωκόρῳ διορύττειν, συχνάς τε λίθους τῶν ἐπικειμένων ἀφελέσθαι καὶ τὰ μὲν πρῶτα ἐγκύρσαι χοῒ ἔμπλεω μύρου, μετὰ δέ γε ἀμιγεστάτῳ μὲν καὶ ἀκραιφνεστάτῳ χοΐ, πληρεστάτῳ δὲ εὐωδίας, καὶ δὴ παρ' αὐτὴν φθάσαι τὴν λάρνακα— λευκὴν οὖν ταύτην καὶ διαφανεστάτην φανῆναι καὶ λευκοτάτῳ ἐπιπωματιζομένην τῷ ἐπιθέματι ποιεῖ τούτοις ἡ τῆς θείας ταύτης ὁμφῆς δραματουργία— καὶ παρακύψαι πρὸς τὰ ἐνδότερα ἢ κατώτερα, καὶ παρακύψαντα θαυμάσιον οἷον ἐγκατιδεῖν. Τὸ δὲ ἦν ὁ μάρτυς περικαλλής, περιαυγὴς ἀνακείμενος, ἡλίου δίκην ἀστράπτων, μυριοφθάλμου τρόπον πηγῆς τὸ ἡδύπνουν ἀναβλύζων μύρον, τὸ χρηστὸν ὄντως πηγάζων ἀφθονώτατα ἔλαιον, ὥστε δὴ καταρδευθῆναι ταῦτα θεώμενον καὶ τῆς πλημμύρας ἐμφορηθῆναι περιαντλούμενον καί τινι δέ πως ἀγγείῳ ἀπόμοιραν ἀπενέγκασθαι. Ἐδόκει μὲν οὖν ὄναρ πεφαντάσθαι τούτῳ μέχρι τινός, ὥσπερ δὴ καὶ ἐτύγχανεν, ὡς δὲ

τοῦ ὕπνου ἀνέθορε, τὸ ὄναρ ὕπαρ ἑώρακε· μύρων γὰρ ἀνάπλεως ἦν, τὰ πρόσωπα τὴν κόμην τὰ ἄμφια, μύρον ἄγγει φέρων τὸ θαυμασιώτερον καὶ ἐπιδηλότερον. Τί δέ; οὐ καὶ τοῦτο θαυμάσιον δέδοκτο τούτῳ κατ' ἀρετῆς ἔρωτας; ἔφθημεν γὰρ εἰπόντες ὡς περὶ τὰ θεῖα θερμότερος, διά τοι τοῦτο καὶ ἐξεταστικώτερος περὶ τὰ τοιάδε ὁ Βιτάλιος ἐτύγχανεν ὤν. Ἔδοξεν οὖν καὶ πρὸς τὰ περὶ τὴν Ἀσίαν φοιτῆσαι περιλάλητα φροντιστήρια, τὸ ἱερὸν δηλαδὴ Λάτρος, ὃ Θεοῦ λατρευτῶν ὡς ἀληθῶς κεχρημάτικε καταγώγιον. Ἀλλ' ἡμερησίας ὁδοῦ διήνυκε πλοῦν καὶ παλιμπόρευτος τῷ Ἄθῳ προσέσχηκε. Πρὸς ἀπόπλοιαν αὖθις ἐξώρμηκε, καὶ τῶν ἀνέμων ἀντιπνευσάντων κλυδωνισθεὶς τῇ Θεσσαλονίκῃ προσώρμισται καὶ παρὰ τῷ νεὼ γεγένηται καὶ τὰ τῆς ἱερᾶς περὶ αὐτὸν δραματουργίας εἰς ἐπήκοον πάντων διασεσάφηκεν.

41. Ἀλλ' οὐδὲ τοῦτο πως παραδράμοιμι, κἂν πρὸς τὰ πρόσω ῥαθυμῶν κατεπείγωμαι. Ἤνεγκέ τινα Κυπριανὸν τὴν κλῆσιν ἡ Ἀφρική· ἐκόσμησε δὲ παντοίως ἡ ἀρετή. Οὗτος οὖν ἱερατεύειν ἀξιωθεὶς καὶ ἀρχιερατεύειν ἐγκέκριται, καὶ δὴ δεῖσαν αὐτῷ πρὸς τὴν Κωνσταντίνου ἐπείγεται. Διὰ δὲ τῆς Ἑλλάδος ἰὼν Σθλαβίνων λόχῳ περιτυχὼν αἰχμάλωτος ἄγεται καὶ βαρβαρικὴν δουλείαν ὑφίσταται, ταὐτόν γε φάναι καταδίκην ἐσχάτην καὶ τὸ πέρα κατάρας συνάντημα. Τί τοίνυν ἐκτραγῳδεῖν τὰ πάθη τὰς συμφοράς, οἷς ἡ αἰχμαλωσία τουτονὶ περιέβαλεν; Ἰλιάδα κακῶν τύχη ἀλλ' οὐχὶ ποίησις οὐκ ἐπερραψώδησεν, ἀλλ' ἀληθῶς εἰπεῖν ἐξηκρίβωσεν. Ἀλλ' ἀπαγορεύει—καὶ τίς γὰρ οὐκ ἂν πρὸς τὰ τοσάδε δεινὰ καὶ πρὸς τὸν Θεὸν ἀφορᾷ, τὴν μόνην ἐν ἀμηχάνοις καταφυγήν, τὸν μόνον ἐν ἀβουλήτοις ἱκανὸν παρακλήτορα;—"ῥῦσαί με Κύριε" λέγων, "ῥῦσαί με ἐξ ἀνθρώπων πονηρῶν, ὧν δεξιαὶ ἀδικίας δεξιαί. ὧν αἱ γλῶσσαι μάχαιραι ἠκονημέναι, πικρῶς τε καὶ ῥαδίως καταδικάζουσαι". Τί γοῦν ὁ βραδὺς εἰς ὀργὴν καὶ ταχὺς εἰς ἀντίληψιν, ὁ μὴ ἐῶν ἡμᾶς ὑπὲρ ὃ δυνάμεθα πειρασθῆναι, ὡς ὁ τῶν ἀπορρήτων μύστης καὶ τῆς ἀληθείας κῆρυξ Παῦλος διισχυρίζεται; Ἀντιλήπτωρ ἕτοιμος ἀνευρίσκεται· οὐ χρῄζει δέ τινι τῶν ἄνω δυνάμεων, τῶν ἀρχαγγελικῶν τῶν ἀγγελικῶν, δι' ὧν καὶ ἐκ τῆς Γρα-

φῆς ἀνεμάθομεν διαπεραίνειν τὰ βουλητά· τῷ δὲ μεγάλῳ τουτωὶ Δημητρίῳ, τάχα τῆς συμπαθείας χάριν ἐγκρίνας αὐτὸν ἐπὶ τούτῳ γε ἦν πολλὴν ηὔχει περιὼν καὶ τῆς πρὸς τὰς δεήσεις ἦν πλουτεῖ καὶ μεταστὰς ἑτοιμότητος, διὰ τὸ αὐτῷ δὴ τῷ μόνῳ ἀγαθῷ Θεῷ— φύσει καὶ γὰρ οὐ μεθέξει τὸ ἀγαθὸν ἔχει—πλησιαίτατα γενέσθαι. Πλὴν ἀλλ' ἐφιστᾷ ὕπνῳ κατασχεθέντι καὶ πονήρως ἄγαν ἐκ τῆς δουλείας ἔχοντι τῷ γηραλέῳ ἐκείνῳ ἀνδρὶ ἔφιππον ὡραῖον περικαλλῆ, "ὁποῖός γε πολλοῖς πολλάκις ὤφθης, καλλίνικε, ὁποῖος πάνυ συχνοῖς ἐπέστης ἐν περιστάσει, πολέμοις δῆτα βαρβάρων καὶ αἰχμαλωσίαις ἀλλογενῶν, ὁποῖος ἐφάνης καὶ ἡνίκα ἐπέτρεψας ἢ ἐπέσκηψας τὸν παρόντα σοι λόγον συγγράψασθαι, ὅτε δὴ καὶ τὴν βαρεῖαν ἐκείνην νόσον αὐτίκα τῷ φανῆναι διέλυσας". Τί γοῦν διηγεῖσθαι ὡς φαμένῳ μόνον τὸ "ἕπου μοι" καὶ πνεῦμα θάρσους παρευθὺς πνεύσαντι, καὶ ἐπηκολούθησεν αὐτὸς ἑαυτῷ δυσπιστῶν, καὶ ἐν οὐ πολλαῖς ταῖς ἡμέραις τὴν Θεσσαλονίκην εἰσεληλύθει ποδηγετοῦντος διὰ παντός; Τί τε αὖ λέγειν ὡς εἰσιὼν καὶ τὸν πρόοδον ἀπολωλεκὼς καὶ ἀναζητῶν, τὰ κατ' αὐτόν τε διηγούμενος καὶ παρὰ τῷ ναῷ γενόμενος, ἐπέγνω τὸν ῥύστην ἐπ' εἰκόνος καὶ παρρησίᾳ τὸν ὁδηγὸν ἀνωμολόγησεν;

42. Ἀλλ' οὐδὲ τοῦτο πως τῶν προρρηθέντων εἰς θαυματουργίαν ἡττώμενον. Ἐπανελήλυθεν ὁ Κυπριανὸς εἰς τὰ τῆς ἑώας αὖθις μέρη καὶ τὰ τῆς λαχούσης ἀνείληφε, καὶ γοῦν ἀμείψασθαι τὸν ῥύστην προήρηται καὶ δείμασθαι τούτῳ νεὼν προτεθύμηται, καὶ νεὼν ὡς ἐνὸν περικαλλῆ καὶ θαυμάσιον. Ἐνδεῖ δὲ πρὸς ἀπαρτισμὸν ἢ μᾶλλον καλλωπισμὸν μαρμάρων φαιδρότης, μεγάλα ἐπὶ τούτοις συμβαλλομένη· τῷ τοι καὶ ἐν ἀπόρῳ τούτων εἵνεκα γίνεται. Ἀλλὰ καὶ πάλιν ἐπιφανεὶς "ἄπιθι" φησὶ "περὶ τὸ νεώριον καὶ τὴν ὁλκάδα, ἣ δὴ προσέσχε νεωστί, ζήτησον· ἐκεῖθεν γὰρ ἕξεις τὰ πρὸς τὴν χρείαν ἀνελλιπῆ". Ὁ δ' ἀπιὼν καὶ τὸν τῆς νηὸς καὶ τοῦ φόρτου κύριον εὑρὼν ἕξαρνον ὑπέστρεψεν ἀδημονῶν ἀπαράκλητα. Ἀλλ' ἐφίσταται καὶ αὖθις αὖ ὁ μέγας Δημήτριος ὄνομα τοῦ ἐμπόρου γνωρίζων, μέτρον τε ὁπόσαι καὶ χροιὰν ὁποῖαι καὶ τόπον ὅπῃ τοῦ πλοίου δηλοποιῶν, πρὸς ἐπὶ τούτοις ἀνακαλύπτων ὡς τῷ τοῦ μάρ-

τυρος ἐπικομίζει νεὼ Βίκτορος κόσμου χάριν ὁ ἔμπορος, καὶ ὡς ἑτέρας ὁ Βίκτωρ προεσχηκὼς παραχωρεῖ αὐτῶν τούτω γε. Ταῦτα δὴ καὶ πυθόμενος ὁ εὐσεβὴς ἐκεῖνος καὶ φιλόμαρτυς ἔμπορος, καὶ συνεὶς ὡς ὁ μάρτυς ἀληθῶς τὰ τοιαῦτα διεσάφησε προχείρως τὰς μαρμάρους ἐξαγαγὼν δίδωσι, δι' ὧν εὐτέχνως μὲν πρὸς τοῦ Κυπριανοῦ τὸ τέμενος ἀγλαΐζεται καὶ ναὸς εὐπρεπὴς ἀπαρτίζεται, ὁ δὲ τερατουργῶν οὕτω μάρτυς δοξάζεται καὶ ὁ μεγαλύνας τοῦτον Θεὸς συνδοξάζεται.

43. Οἶδα μὲν οὖν ὡς εἰς μῆκος ὁ λόγος προβέβηκε καὶ εἰς μακρὸν δή πως ἐκτέταται· οἶμαι δ' ὡς οὐ κόρον τοῖς ἀκροωμένοις ὑμῖν ἐμπεποίηκε, κἂν ἁπλοϊκώτερον ἔχῃ τὰ τῆς ἐξαγγελίας καὶ τὰ τῆς μεταχειρίσεως ὑπτιώτερον· φιλομάρτυρες γὰρ ὑμεῖς, εὖ οἶδα, ὅτι δὴ καὶ φιλόθεοι. Τὸ δὲ φιλιστορεῖν περὶ μαρτύρων ἔργα καὶ παύματα, φιλοπευστεῖν ἐστι μεγαλεῖα Θεοῦ τοῦ εἰπόντος "τοὺς δοξάζοντάς με δοξάσω"· τοῦτο δὲ ὅσον, αὐτόθεν ἅπασι γνώριμον. Τῶ τοι κἂν τοῖς πρόσω χωρήσω, πλεῖστα παραλείψω, ὡς γε δὴ καὶ παρέλιπον· τό τε γὰρ κύματα θαλάσσης ἀπαριθμεῖν καὶ τοῦ μάρτυρος, ὡς ἔφην, Δημητρίου διηγεῖσθαι τεράστια, ἴσον ἄντικρυς ἤγημαι· ἀριθμοῦ γὰρ κρείττω τὰ γεγονότα, εἰ καὶ τὰ καθ' ἡμέραν τε καὶ ὥραν τελούμενα τάξιν πως φυλάττουσιν ἀριθμοῦ τῶ καθ' ἑκάστην προϊέναι καὶ προκόπτειν εἰς ἄπειρον καὶ τοῖς ἀδιαστάτοις τοῦ χρόνου συμπαρεκτείνεσθαι τμήμασιν. Ὀλίγα δὲ ἅττα τῶν πολλῶν καὶ ἀπείρων πρὸς διήγησιν ἐκλεξάμενος τὸν λόγον, ὡς εἴρηκα, διαπερανῶ.

44. Καὶ δὴ τὸ περὶ τὴν αὐτοῦ πόλιν ἀκούσατε. Ἤκουσται μὲν ἡμῖν καὶ πεπίστευται ὡς σπλάγχνα ἐλέους τῶ δημιουργῶ Θεῶ ἐμπεφύκασι, καὶ ὡς ἅφατοι κατὰ τοὺς ἀληθεῖς θεπρόπους τούτου οἱ οἰκτιρμοὶ καὶ πέλαγος ἀδιεξίτητον ἡ ἀγαθότης αὐτοῦ. Ἀλλὰ πεπύσμεθα τούτου καὶ τὴν ὀργὴν φοβεράν, στιλβουμένας ἄνωθεν μαχίρας καὶ ῥάβδους σιδηρᾶς ἀπειλουμένας κατὰ τῶν ἁμαρτανόντων ἀκούοντες· πλημμελοῦμεν γὰρ εὐόλισθοι πεφηνότες, ἢ μᾶλλον ἐξ ἀπροσεξίας γεγενημένοι. Καὶ πλημμελοῦμεν ἔστιν ὅτε ἀνήκεστα τοτὲ μὲν ἰδία καὶ καθ' ἕκαστα, ἐνίοτε δὲ κατὰ δήμων πληθῦς,

κατὰ συμμορίας πολιτειῶν, ὁποῖόν τι τότε καὶ περὶ τὴν ἀγαθὴν τῶν Θεσσαλονικέων πόλιν ξυμβέβηκε· παρεσύρησαν γάρ πως καὶ οὗτοι ταῖς κοσμικαῖς ἡδοναῖς καὶ πάθεσιν ἀλλοιωτέροις ἑαυτοὺς ἐκδεδώκασι, καὶ τῶν σφετέρων ὀπίσω διανοιῶν ἐπορεύθησαν καὶ καθ' ὑπερβολὴν τὸν ἀγαθὸν Δεσπότην παρώργισαν. Ἔνθεν καὶ κινεῖται κατ' αὐτῶν ἔθνος, ἔθνος Σκυθικὸν καὶ προσάρκτιον, ταὐτόν γε φάναι θηριῶδες τε καὶ ἀμείλικτον, ὃ δὴ καὶ παρ' αὐτὰ τὰ τείχη τὰς σκηνὰς πήγνυσι. Κἂν μὲν οὖν εἶλεν αὐτήν, κἂν ἑλὸν ἐξηδάφισε, κἂν ἔργον σπάθης τοὺς οἰκήτορας ἔθηκεν, εἰ μή γε ὁ μάρτυς ὁ συμπολίτης καὶ πολιοῦχος τὸ περὶ αὐτοὺς φίλτρον πρὸς Θεὸν προὐβάλετο δυσωπῶν καὶ τὴν πολλὴν στοργὴν προὔθηκε. Καὶ ἡ ὀπτασία δῆλον ποιήσειε.

45. Τῶν τις καὶ γὰρ ἐγχωρίων τὸν βίον διαπρεπής, τὴν ἀξίαν ἐπιφανής, ὄναρ τὸν τοῦ μάρτυρος ναὸν εἴσεισι καί τινας συνεισιόντας ὁρᾷ δρομαίους ἐφθακότας, ὡς ἐμφαίνειν εἶχον ἀπὸ τοῦ ἄσθματος, κοσμίους, εὐσταλεῖς, ὡς δόξαι τῶδε παρὰ βασιλέως ἐλθεῖν καὶ πρὸς αὐτὸν ἐκεῖνον δῆθεν εἰπεῖν "κάλει, κάλει τὸν τοῦ οἴκου τουτουὶ κύριον". Καὶ ὃς ἐπὶ θύραις τῆς θείας σοροῦ γεγονὼς τὸ τάχος τὸν μέγαν συνέστησεν ἐκεῖνος Δημήτριον, ὃς δὴ καὶ φάναι πρὸς αὐτὸν μετὰ τὴν εὐπρεπῆ προσαγόρευσιν "ἔξιθι τῆς πόλεως, ἔξιθι· μόνην ἄνερ κατάλιπε ἅγια εἰς ὄλεθρον ἐκκεισομένην, ὡς τῷ βασιλεῖ δέδοκται"· καὶ τὸν κύψαντα καὶ ἐπιεικῶς δακρύσαντα, μόλις ἀνανεύσαντα φάναι "οὕτως ὁ ἀγαθὸς ὁ φιλάνθρωπος ὁ ἀνεξίκακος ὤργισται, ἐς τόσον ὁ θυμὸς τούτῳ ἐκκέκαυται κἀκείνους οὕτως ἔχειν καὶ φάναι καὶ ἰσχυρίσασθαι"· καὶ αὖθις τὸν μάρτυρα ἄνω τε ἰδεῖν καὶ πρὸς αὐτὸν ὥςπερ τὸν βασιλέα ἀναβοῆσαι, συχνά τε ἄλλα τῆς κατὰ φύσιν ὑπομιμνήσκοντα ἀγαθότητος καὶ πρὸς ἔλεος μειλικώμενα, καὶ τέλος τὸ τοῦ Μωσέως ὑπὲρ τοῦ Ἰσραὴλ περιωδύνως εἰπεῖν "εἰ μὲν ἀφῇς αὐτοῖς, ἄφες· εἰ δὲ μή, κἀμὲ συνεξάλειψον"· μεθ' ἃ τὸν μὲν ἐπαναστρέψαι τῇ σορῷ καὶ τὰς πύλας ἐπιζυγῶσαι, ὡς ἐπ' οἴκου δῆθεν γενόμενον, ἐκείνους δὲ τῆς εἰς βασιλέα σὺν σπουδῇ ἄψασθαι, τὸν δὲ ἰδόντα ἄνδρα ἀξιωματικὸν καὶ σεβάσμιον δέους χαρᾶς ἀναθορεῖν ἔμπλεων· ὅς γε

παρ' αὐτα τὸ τῆς πολεως ἔκκριτον συγκαλέσαιτο καὶ τὰ τοῦ ὁράματος διηγήσαιτο καὶ τὰ λῶστα σφίσιν εὐαγγελίσαιτο, γνωρίσας σαφῶς ὡς ὑπερεντυγχάνων θεῶ τῶν ἑαυτοῦ πολιτῶν ὁ μάρτυς οὐ παύεται. Ὅθεν δὴ καὶ θάρσους πληροῦνται καὶ τῶν πυλῶν ἐκχυθέντες τοῖς βαρβάροις βριαρᾶ τῆ χειρὶ ἐπιπίπτουσι καὶ τρόπαιον ἱστᾶσιν ἐξ ἀμηχάνου διάσημον, οὐχ ἧττον μὲν μέγα ἢ παράδοξον, οὐχ ἧττον δὲ παράδοξον ἢ μέγα, μᾶλλον δὲ μέγα μὲν ὅτι παράδοξον, παράδοξον δὲ ὅτι μέγα καὶ τῶν πώποτε μνημονευομένων ὀνομαστότατον.

46. Οὐδὲ τὸ κατὰ τοὺς Ἄβαρας παραδραμεῖν δίκαιον. Ἔθνος καὶ τοῦτο τῶ ῥηθέντι παρόμοιον, μάχιμον, αἱμοχαρές, πνέον φόνου, διψῶν αἵματος. Οὗτοι κατὰ τὴν πάλαι καθ' Ἑλλήνων στρατεύσασαν τὴν μετὰ τοῦ Ξέρξου ἐκείνην, τὴν θρυλλουμένην ἵππον φημί, κρείττους σχεδὸν ἀριθμοῦ συναχθέντες· εἰς ἑκατὸν γὰρ αἱ τοῦ στρατοῦ χιλιοστύες ἦσαν ποσούμεναι, ὡς ἡ περὶ αὐτῶν εἶχε φήμη, ὡς δ' οἱ μᾶλλον ἰδόντες καὶ πλέον ἀκριβωσάμενοι ἔφασκον, πλείους καθ' ὑπερβολὴν ὄντες ἐτύγχανον. Ἀλλ' οἱ τοσοῦτοι φθάσαντες ἀγγέλους, προλαβόντες σκοποὺς καὶ ὃ φασι θᾶττον ἐπιστάντες πτεροῦ καὶ νοήματος, φρουρίου δίκην τὴν πόλιν περιλαμβάνουσι καὶ τοῦ ἔργου παρευθὺς γίνονται· οἳ μὲν γὰρ κλίμαξιν ἀνιέναι προειθμοῦντο, οἳ δὲ καὶ παραβόλων ἀναρρυχᾶσθαι παρωρμῶντο, χερσὶν ἀμοιβαίαις μαχαιρίσιν ἐπιστηριζομέναις ἀναγόμενοι καὶ ἄλλος ἄλλοθεν ἐπεισπίπτειν διὰ τῶν πυργοβάρεων ἐπειγόμενοι, οἳ δ' αὖ παντοίαις τὰ τείχη ταῖς μηχαναῖς εἰς ἔδαφος κατασπᾶν διεπειρῶντο, καὶ καθάπαξ οἳ μὲν οὕτως οἳ δ' ἐκείνως κατεπεχείρουν, θηρῶν τρόπον κατὰ τῶν ἐντὸς ὠρυόμενοι.

47. Ἀλλὰ τί πρὸς ταῦτα ὁ δεξιὸς στρατηγός, ὁ γενναῖος τῶν ἐντὸς πρόμαχος; Πάντοθεν ἀπερύκει, πανταχόθεν ἐκδιώκει οὓς μὲν ἔργον ξίφους τιθείς, οὓς δ' ἀπωθῶν ἢ νεκρῶν, ἔστι δὲ οἷς τῶν χειρουμένων καὶ πρὸς ἑτέρων βολὴν χρώμενος. Τοίνυν καὶ τρέπονται οἱ θρασεῖς. Ἀλλὰ καὶ τραπέντες τῆς μὲν μάχης ἠρεμοῦσι, τῆς δὲ πόλεως οὐκ ἀφίστανται· πλησίον δὲ σκηνοῦσι, καὶ τότε μᾶλλον κατ' αὐτῆς λυττῶσι καὶ "πάντα" τὸ τοῦ λόγου

"κινῆσαι κάλων" σπουδάζουσι. Τί τοίνυν οὐχ εὗρον πρὸς τὸν σκοπόν; τί δὲ παρέβλεψαν τῶν συντεινόντων εἰς πολιόρκησιν; ποῖον οὐκ ἔτευξαν μηχάνημα δεξιῶς; ποίαν ἐλέπολιν οὐκ ἐτέκτηναν εὐφυῶς; Ἀλλὰ καθ' ἑαυτῶν ἀληθῶς καὶ ἔτευχον καὶ ἐτέκταινον· τῶν τις καὶ γὰρ στρατηγουμένων ἢ φρουρουμένων τῷ μάρτυρι λίθῳ βραχυτάτῳ τὸ τοῦ μάρτυρος ἐνέγραψεν ὄνομα. Ἐκ Θεοῦ δὲ ἄρα κεκίνητο καὶ δι' ἐπιπνοίας κρείττονος πρὸς τοῦτο παρώρμητο· αὐτίκα καὶ γὰρ τῷ τὸν λίθον κατὰ τῶν ἀντιπάλων βαλεῖν λίθος ἔξωθεν μικροῦ δέω εἰπεῖν ὀνικὸς κατὰ τῆς πόλεως ἀφεθεὶς διὰ μηχανήματος κατὰ τῶν ἀφεθέντων ἀντέστραπται, καὶ τό γε μηχάνημα διασκίδνησι καὶ συχνοὺς σφῶν παραπόλλυσιν. Εἶτ' ἄλλος ἀφίεται, καὶ ὃς τὰ ὅμοια δράσας ἀντεπαφίησι καὶ τὸ αὐτὸ πάλιν ἐκτελεῖται τεράστιον. Ἕτερος πάλιν, καὶ πάλιν ἐκεῖνος τοῖς αὐτοῖς ἔνδοθεν ἀντιπαλαμώμενος καὶ τερατουργῶν παραπλήσια, καὶ τοῦτο ἑκατέρωθεν προβαῖνον ἐπὶ μακρόν. Ἐπεὶ δὲ καὶ ξυνῆκε τὸ βάρβαρον ὅτῳ δὴ τρόπῳ παραδόξως μαστίζεται, ἐν ἀμηχάνῳ τε γεγόνεισαν καὶ τῆς μάχης ἀφέμενοι πρὸς ὀλίγον ἠρεμεῖν ἔκρυναν. Ἔδει δὲ ἄρα δίκας τῆς τόλμης ἐκπραχθῆναι· διὸ δὴ καὶ τὰ ἔσχατα μανέντες πανουδὶ οὕτως εἰπεῖν ὁρμῶσι κατὰ τῆς πόλεως. λαβεῖν ἢ πεσεῖν γνώμην ἕκαστος ἔχοντες· τοιοῦτον γάρ τι τὸ βάρβαρον καὶ κερδαῖνον θρασύτατον καὶ παραβολώτατον ζημιούμενον. Ἀλλ' ὦ τῆς πρὸς Θεὸν παρρησίας τοῦ μάρτυρος! Ὦ τῆς ἐκεῖθεν τούτου δυνάμεως! Στρατευμάτων πληθὺν προϊοῦσαν τῆς πόλεως ἐπιδείκνυσιν, εἶτ' ἀγγέλων ὑποληπτέον στίφος δοὺς παρὰ τοῦ κρείττονος ἐπικουρικόν, εἴτε τὴν ἰδίαν τοῦ μάρτυρος δύναμιν, ἣν ἀφθόνως ἐκεῖθεν πεπλούτηκε, μυριάδων ὅλων ἀνθάμιλλον, πρὸς τὰς χρείας μεριζομένην καὶ ποικιλομένην πρὸς τὰ συμπίπτοντα. Τρέπει τοίνυν αὐτοὺς ὡς βριαροὺς λύκους ποιμήν, ὡς πνεῦμα ὁμίχλην διασκεδάζει, ὡς ἥλιος σκότος ἀφανίζει, καὶ φῶς ἐλευθερίας τὴν πόλιν ὁρᾶν δίδωσι καὶ παιανίζειν τὰ νικητήρια.

48. Ἀλλὰ τί γοῦν τὸ συμπαθὲς τοῦτο πρὸς τοὺς ἑαυτοῦ πολίτας μόνον τῷ μάρτυρι; Πολλοῦ γε καὶ δεῖ· πρὸς γὰρ ὁμοῦ πάντας ὅσοι τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνεδύσαντο καὶ τῷ ὀνό-

ματι τούτου ἐπωνομάσθησαν, πρὸς ἅπαντας ἐπίσης τὸ κηδεμονικὸν ἐπιδεικνυται, οἷον γὰρ περὶ τὸν Σοσκὸν ἔδρασε. Τόπος οὗτος εὖ ἔχων θέσεως καὶ πλείστοις ἀγαθοῖς εὐθηνούμενος. Οὗτος οὖν πρὸς τοῦ τῶν Βουλγάρων ἄρξαντος Σαμουήλ, Σαμουὴλ ἐκείνου τοῦ κακῆ μοίρα οὐκ οἶδα τίνων μᾶλλον Ῥωμαίων ἢ Βουλγάρων ἐρῶ—ἐπίσης γὰρ τῆς αὐτοῦ κακίας ἄμφω τὼ γένη ἐπηισθέσθην—καὶ φύντος καὶ τραφέντος καὶ λαχόντος ἰσχύν, ὡς μὴ ὤφελε, σὺν πολλοῖς ἄλλοις ἀποτμηθεὶς ἀξιολόγοις ρωμαϊκοῖς μέρεσιν ὑπὸ τοῦ υἱέως,—Ῥοδομηρὸς ἡ δυσώδης ἐκείνη ψυχὴ κατωνόμαστο, κακοῦ κόρακος ὢὸν ὡς ἀληθῶς κάκιστον, ἔκγονον ἐχίδνης, θηρὸς ἀτίθασσον γέννημα— πρὸς οὖν ἐκείνου πλεῖστα τὰ δεινὰ ἔπασχεν ἄντικρυς Ἰσραὴλ παρὰ τοῦ αὐτόχρημα Φαραώ. Ἀλλ' εὖγε τῆς τῶν πασχόντων πρὸς τὸν μάρτυρα πεποιθήσεως! Ἐφ' ἅπαντι ἅπας ἀνιαρῶ, πρὸς πᾶσαν περίστασιν ἕκαστος "ἅγιε" ἀνεβόα "σπεῦσον Δημήτριε", ὡς καὶ τὴν ἀπηνεστάτην ἐκείνην ψυχὴν αὐτήκοον ἐνίοτε γινόμενον ἐπιτείνειν τὴν κάκωσιν καὶ ἰταμῶς ἐπιλέγειν "ἴδωμεν εἰ ὁ σφέτερος τούτοις βοηθήσει Δημήτριος". Ἀλλ' ἤσθετο τῆς πρὸς σφᾶς αὐτοῦ βοηθείας οὐκ εἰς μακρὰν· ἐξελήλυθει γὰρ ὡς ἔθος πρὸς κυνηγέσια, πλείστους συνεπαγόμενος ἐφ' ὧ συναπολαῦσαι τῆς θήρας—οὔμενουν· οὐ γὰρ πρὸς ἐκείνου τοιοῦτόν τι ἦν — τὰ δὲ εἰωθότα κακουχῆσαι ὥσπερ βαδίζειν ἀναγκάζων, τὸ δὲ δὴ βαρύτερον καὶ ἀφορητότερον κατὰ χρημνῶν κατὰ πετρῶν ἄλλεσθαι, κατὰ φαράγγων ἀπροοράτως ὠθίζεσθαι, αἴξιν ὀρεινόμοις, ὀρειβάταις ἐλάφοις παραπλήσια θέειν, ἐπὶ τῶν αὐτῶν διαβαίνειν κατεπείγων καὶ τὸν μὴ παρακινδυνεύειν ἐθέλοντα βαρεία κορύνῃ, ἣν παλαμηφορεῖν εἰώθει, τύπτων ὅλῳ θυμῷ καὶ τῶν ζώντων διακρίνων ἐλεεινῶς. Ὡς οὖν οὕτως ἐκάκου, ὡς οὖν οὕτω κατέτριβεν, οὐ πλέον ὁ μάρτυς ἀνέχεται. Τοίνυν καὶ ὑπαντιάζει κατὰ πρόσωπον τῷ ἀλάστορι ἔνοπλος, ἔποχος, τοῖς περὶ τὸν ἀλιτήριον πᾶσι κατάδηλος, καὶ πλήττει δὴ καιρίαν καὶ τοῦ ζῆν δικαίως μεθίστησι τὸν πλείστους ὅτι τῆς ζωῆς ἀδίκως στερήσαντα, τοὺς ἔτεσί τε πλείστοις πρὸς αὐτοῦ πιεζομένους τε καὶ τρυχομένους δεινότατα ἐν ἀνέσει πάσῃ διάγειν ἀφίησιν.

49. Ἀλλὰ καὶ πάλιν ἀνὰ τὴν πόλιν ἔθνη πολέμια, καὶ πάλιν

ἀριστεύων ὁ πρόμαχος. Εἶχε μὲν γὰρ τὰ Ῥωμαίων σκῆπτρα Λέων ὁ πολὺς τὴν σοφίαν, ὁ μέγας τὴν φρόνησιν καὶ τὰ ἀμφότερα περιβόητος, οὗτος ἐκεῖνος ὁ καὶ εἰς ἐπώνυμον τὸ "σοφὸς" κληρωσάμενος· ἀλλ' ἀνίσταταί τις κατὰ τοὺς αὐτοῦ χρόνους περὶ τὰ τῶν ἐθνῶν βορειότερα, εἴτ' οὖν ὀργιλώτερα καὶ πρὸς φόνους ὀξυρρεπέστερα, τῷ λόγῳ δηλαδὴ τῆς τοῦ θερμοῦ συστολῆς καὶ τῆς τοῦ καρδιακοῦ αἵματος ἑτοιμοτέρας ἐξάψεως, καὶ ἀνίσταται καὶ αὐτῶν ἐκείνων τῶν θηριωδῶν ἐκφυλότερος, ὡς παραθέσει τῇ πρὸς αὐτὸν ἥμερον ἀποφαίνειν τὸ ξυγγενές· Περβοῦντος τούτῳ γε ὄνομα. Ἀλλ' οὗτος μὲν δεινὰ κατὰ Ῥωμαίων πολλάκις ἐννοησάμενος πολλάκις καὶ διακέκρουσται, συχνάκις δὲ καὶ πρὸς σπονδὰς ξυνελήλυθει, πλειστάκις τε παρεσπονδήκει καὶ πρὸς κακίαν ἁπλῶς οὐκ ἠμελήκει τοῦ κατὰ δύναμιν, καὶ τέλος δὴ τῆς αὐτοῦ κακουργίας ἀπώνατο καὶ τὰ τῆς σκαιωρίας ἐπίχειρα εὔρατο ἀνθ' ὧν ἐμελέτα φόνων, ληφθείς τε καὶ φονευθείς. Ἀλλ' ἐκμαίνεται ἐνθένδε τὸ βάρβαρον, ἀγριαίνει κατὰ Ῥωμαίων, ἀμύνασθαι ὑπὲρ τοῦ φόνου ζητεῖ, καὶ δὴ φῦλα πολλὰ καὶ διάφορα συνελήλυθε, πλῆθός τε συνήθροισται σχεδὸν ἄπειρον. Ἄλλοι μὲν οὖν ἄλλα τῶν Ῥωμαίων μέρη πρὸς καταδρομὴν ἔλαχον, περὶ δὲ Θράκην καὶ Θετταλίαν καὶ αὐτὴν γε τὴν Ἑλλάδα οἱ πλείους καὶ μαχιμώτεροι ὥρμησαν, καὶ συνελόντι φάναι Σκυθῶν ἐρημίαν τὰ πρὸς ἑσπέραν πάντα διέθηκαν ἔτεσι δυσὶ καταθέοντες, προνομεύοντες, σκυλεύοντες. Τί τοίνυν; τοσοῦτον χρόνον ἀπόκλειστος; οὐ γὰρ ὅτι γε οἱ ἐγχώριοι ἀλλὰ καὶ τῶν ἔξωθεν ληιζομένων πλεῖστοι πολλαχόθεν καταπεφευγότες συνῆσαν, συνεπολιορκοῦντο, συνέπασχον· τὸ δέ γε οὐχ ἧττον δεινόν, καὶ ἡ γῆ τοῖς συνεχέσιν αὐχμοῖς οὐχ ὅπως ἀνήροτος καὶ ἄκαρπος ἦν, ἀλλὰ καὶ καθ' ἑαυτὴν τὸ παντελὲς ἄγονος, οὐ χόρτον ἀναδιδοῦσα, οὐ βοτάνην ἐκφύουσα.

50. Ἦν οὖν ἡ πόλις ἐν δεινοῖς ἀνυποίστοις, ἐν συμφοραῖς ὡς ἀληθῶς θεηλάτοις, νεκρῶν αὐτόχρημα χωρίον, εἰδώλων ὑποχθονίων ἄντικρυς καταγώγιον· τῶν γὰρ νενομισμένων ἐξαπορήσαντες, καὶ οἷς οὐ θέμις ἐτρέφοντο. Ἀλλ'—ὦ συμφορᾶς — οὐδὲ τῶν τοιούτων εἶχον κορέννυσθαι· οὐδὲ γὰρ μικρὰ καὶ τῶν τοιούτων

σπανις σφισι γεγενητο. Οὔκουν λανθάνει ταῦτα τοὺς πολεμίους, καὶ δὴ περιελθόντες ἐπολιόρκουν. Μηδενὸς δὲ ἀνταίρειν χεῖρας ἰσχύοντος, πύλην πρὸς βορρᾶν ὁρῶσαν—τῶν ἀφανεστέρων αὕτη γε ἦν—τῷ πυρὶ διασείσαντες ἐκμοχλεύουσιν. Εἰσίασιν οὖν ἕτοιμον ἔχοντες, ὡς ὤοντο, ζώγρημα· ἀλλ' ἐπιφαίνεται σφίσιν ὁ φύλαξ καὶ πρόμαχος, ὁ μέγας οὑτοσὶ μάρτυς, εὐζωνος, ὁπλίτης, ἀνέχων τὴν χεῖρα, κραδαίνων τὴν σπάθην, ὅλῳ θυμῷ κατὰ τούτων ὁρμῶν, τὸν προστυχόντα πλήττων, τοῦτον καρατομῶν, ἐκεῖνον δειροτομῶν, διαφόροις πλήξεσιν οἷς περιέτυχεν ἀπολλύς, μέγα τε ἐπιβοῶν "ἐπὶ σφετέροις ὑμῶν, ἀλιτήριοι, τοῖς κακοῖς Θεὸς εἰσήγαγεν ἐνθαδί; ὑπὲρ τίνος γὰρ ὧδ' ἔγωγε, εἰ καὶ ὑμεῖς χώραν ἐνταυθοῖ σχοίητε"; Ὡς οὖν ὅσον ἔκκριτον εἰσελήλυθεν, ὡς οὖν ὅσον ἔφθασεν εἰσιὼν πέπτωκε, δειλαίνουσιν οἱ ἐκτός, θάρσος προσλαμβάνουσιν οἱ ἐντός. Καὶ γοῦν πόρρω πόλεως καὶ σκηνῶν ἐκδιώξαντες, τῶν τε μηχανημάτων καὶ τῶν ἐπὶ σκηναῖς ἐπιτηδείων—ἄφθονα δὲ πολλαχοῦθεν προσῆν—ἐγκρατεῖς γίνονται, ἔνθεν καὶ τελεώτερον ἀναρρώννυνται τροφῇ τε χρηστοτέρᾳ καὶ νίκῃ λαμπρᾷ καὶ πίστει βεβαίᾳ, τῆς τοῦ μάρτυρος δηλαδὴ προστασίας ἀνακτηθέντες θαυμασιώτατα.

51. Ἀλλ'—ὦ βαρβαρικῆς ἰταμότητος—εἰς ἓν συνέρχονται πάλιν καὶ κατὰ τῆς πόλεως σκέπτονται, πάμπολλα ἀνευρίσκοντες, διάφορα ἕκαστος εἰσηγούμενοι. Ἀλλά τις τούτων ἐν ἑαυτῷ δεινὸν ἀναπλάττει μηχάνημα, ὃς καὶ εἰς μέσον κοινοῦσθαί τε τὰ περὶ τούτου καὶ διασαφεῖν ἤθελεν· ὡς δ' ἔργον ἦν παραστῆσαι λόγῳ, ἠπιστεῖτό τε καὶ ὑπερεωρᾶτο ἐφ' ἑκανόν. Ἐπεὶ δὲ σαφέστερον λέγων καὶ ἀκριβέστερον διασχηματίζων, πύργον τινὰ τέρας ἄντικρυς εἰς ὕψος ἀνήγαγεν, εἰς εὖρος διέτεινεν, ὡς τῇδε μὲν σφενδονήτας ἐκεῖσε τοξότας, ἀκοντιστὰς ἑτέρωσε καταστῆσαι, δεκτὸς πᾶσι τῷ λόγῳ καὶ ἀποδεκτος γίνεται, καὶ οὐχ ὅτι γε ἐνδίδοται τὴν ἐγχείρησιν ἀλλὰ καὶ κατεπείγεται τὴν ἐκπλήρωσιν. Ἀλλὰ φθάσας βάλλει τοῦτον ὁ μάρτυς καὶ τὰς φρένας παράκοπον τίθησι, καὶ οὐχ ὅτι γε ἱκανὸν ἀφίησιν εἶναι πρὸς μεταχείρισιν, ἀλλ' οὐδὲ τὸ παράπαν στρατολογεῖσθαι, οὐ τῷ καταλόγῳ τῶν ταγμάτων συνάγεσθαι· τὰ γὰρ ἄμφια χιτῶνος μεχρι διαρρῆξας ἀλήτης ὀρεινόμος γεγένηται.

θηρσὶ καὶ πετεινοῖς ὁμοδίαιτος. Οὕτω μὲν οὖν ὁ μάρτυς τὴν κατὰ τῆς πόλεως τελευταίαν βουλὴν καὶ τὸ δαιμόνιον σκέμμα προσανακόπτει τῶν δαιδαλείων ἐκείνων μηχανημάτων τερατωδέστερον, μακρῷ τοῦ πάλαι δουρίου παραδοξότερον, ὥ γε καὶ ἑαλώκει τὸ Ἴλιον. Τέλος καὶ ρωμαϊκὰ κατ' αὐτῶν κινήσας στρατεύματα, στρατηγὸς αὐτῶν καὶ πρόβολος γίνεται, ξυμβαλών τε τροποῦται καὶ ῥύεται τὴν πόλιν, μᾶλλον δ' ἅπασαν Εὐρώπην ἐλευθεροῖ. Τότε δὴ τότε καὶ ὁ παραπλὴξ ἐκεῖνος εἰς ἑαυτὸν ἔρχεται· καπὶ τῇ πόλει γενόμενος διηγεῖται τὰ κατ' αὐτόν, ὅπως ἀνετυπώσατο τὸ δαιμόνιον ἐκεῖνο μηχάνημα, ὅπως τοῖς λοιποῖς ἀνήγγειλεν, ὅπως τε προτραπεὶς ἐκτελέσαι πληγεὶς κατὰ κόρρης καὶ τὰς φρένας παρατραπεὶς χρόνον ἐφ' ἱκανὸν περιεπλανᾶτο, ἕως αὐτὸς ἐκεῖνος ὁ πλήξας ὀφθεὶς ἐπανήγαγε καὶ πρὸς τὴν πόλιν ὡδήγησεν, ἵνα γε καὶ ἰδὼν γεγραμμένον ἀναμνησθεὶς ἐπεγνώκει καὶ τὸν ἀληθῆ δεσπότην τὸν κύριον ἡμῶν συνεπεγνώκει Χριστόν· βαπτίζεται γὰρ καὶ φάρος τὸ σωτήριον ἐνδιδύσκεται.

52. Ἀλλ' εἰ μετὰ οὕτω μεγάλα, μετὰ οὕτω κοινά, μετὰ οὕτως εἰπεῖν κοσμοσωτήρια τοῦ μάρτυρος θαύματα καὶ ἰδία που τελεσθέντος ἐπί τινι θαυμασίου μνησθήσομαι, πάντως οὐ μικρολόγος κριθήσομαι. Ἀπῆρέ τις τῆς περιωνύμου πόλεως Θεσσαλονίκης, τῆς προκαθημένης τῶν Θετταλῶν, τῆς τῶν ἑσπερίων προεχούσης σχεδὸν ἁπασῶν, τοῦ κόσμου τῆς Ἑλλάδος, τοῦ τῆς Εὐρώπης ὀφθαλμοῦ, καὶ πρὸς τὴν ἁπασῶν βασιλεύουσαν τὴν πορείαν πεποίητο, τὴν δευτέραν καὶ κρείττω λέγω Σιών, οὐ καθότι ἀμείνω τὰ δεύτερα· οὐ γὰρ μικρῷ τινι καθυπερτερεῖ, καθ' ὑπερβολὴν δὲ καὶ ὅσον ἡ χάρις ὑπερφέρει τοῦ νόμου καὶ τῆς σκιᾶς διενήνοχεν ἡ ἀλήθεια· παρὰ γοῦν ταύτῃ γεγένηται, ἣν εἴ τις φαίη τῆς οἰκουμένης ἀφαίρεμα, τῆς γῆς ἐγκαλλώπισμα, ἠπείρου καὶ θαλάττης κόσμον τινά, περιδέραιον ἢ καὶ διαπρεπέστατον στέφανον, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Ἀλλὰ προσπαλαίει νόσῳ δεινῇ, ὀφθαλμία μετὰ σφοδροῦ πάνυ τοῦ ῥεύματος· ὅθεν τοὺς ὀφθαλμοὺς σκοτίζεται καὶ τῆς ὀπτικῆς τελέως στερίσκεται. Τί γοῦν τὰ ἐντεῦθεν δεινὰ τραγῳδεῖν ὅσα γε τῶδε ξυνέ-

πεσεν ἀπ' ἀλλοδαπῆς; Ἀλλ' εἰς μνήμην μόγις τῆς πατρίδος ἔρχεται καὶ τῶν συχνῶν ἐν αὐτῇ τοῦ μαρτυρος θαυμασιων μιμνήσκεται, βάλλει τε εἰς νοῦν ὡς "εἰ παρῆν ἐκεῖσε, ἀπῆλθον πάντως ἂν παρὰ τὸν νεών, προσερρίφην τῇ σορῷ, ἐχρισάμην τῷ μύρῳ καὶ τάχα γε ἀπηλείφην τὴν ὀπτικὴν καὶ σῶς ἐσχήκειν τοὺς ὀφθαλμούς'.

53. Ἀλλὰ δείκνυσιν ὁ τοῦ ἐν οὐρανοῖς κατοικοῦντος Θεοῦ καὶ πληροῦντος τὰ πέρατα μάρτυς διασημότατος καὶ στεφανίτης περιφανέστατος, ὡς καὶ τὴν Θεσσαλονικέων κατέχων διατηρεῖ καὶ τοῖς πανταχόθεν ἐπικαλουμένοις ταχὺς εὑρίσκεται πρὸς ἀντίληψιν· ἐπιφαίνεται γὰρ εὐθὺς καί φησιν "ἔγειραι ὁ καθεύδων καὶ δεῦρο παρὰ τὸν νεὼν γενοῦ τὸν εὐκτήριον τῆς κοινῆς ἡμῶν δεσποίνης καὶ Θεομήτορος", προσεπιδηλώσας καὶ τὸ ἰδιαίτερον τοῦ σηκοῦ ὄνομα· "ἐκεῖσε γὰρ εὑρήσεις καὶ ὄψει με". Καὶ ὃς διυπνισθεὶς καὶ τὸν ναὸν ὅστις ποθούμενος χειραγωγεῖται καὶ παρ' αὐτῷ γίνεται, ἀναζητῶν τε παρὰ τὴν εἰκόνα τοῦ μάρτυρος ἄγεται· ἐφ' ᾗ καὶ ῥίψας αὐτὸν δάκρυα θερμὰ τοῦ ἔδους κατέσπενδε, γοερῶς πρὸς θεραπείαν ἐπεκαλεῖτο, "βοήθησόν μοι, μάρτυς" βοῶν "βοήθησον", ταῖν χεροῖν τὰ στέρνα πατάσσων, τῷ ἐδάφει προσαράσσων τὴν κεφαλήν. Ἀλλὰ καὶ πάλιν ἦκεν ἡ νύξ, καὶ πάλιν ὁ μάρτυς ἐφίσταται καὶ τῆς κεφαλῆς ἁψάμενος τοὺς ὀφθαλμοὺς ὑπανοίγυσι καὶ τὸ περικείμενον ὅ γε καὶ ἤμβλυνε τὴν ὄψιν διακαθαίρει περίττωμα, ὡς καὶ ὀδυνηθῆναι τῇ περικαθάρσει τὸν ἄνθρωπον καὶ τὸν ὕπνον ὁριμέως ἀποτινάξασθαι. Πρὸς ὃν εὐθὺς ἐκ τῆς εἰκόνος φωνὴ "οὐκέτι με ὁρᾷς, οὐκέτι βλέπεις τὸν ἰασάμενον"; Καὶ ὃς "καὶ βλέπω σε καὶ βλέπων δοξάζω καὶ δοξάζων οὐ παύσομαι. Ὢ πολλὴν ὄντως χάριν πεπλουτηκὼς ἄνωθεν, ὦ μεγάλην πρὸς Θεοῦ τὴν ἰσχὺν εἰληφώς, σὺ μέγας ὄντως ἐν οὐρανοῖς, σὺ ἀγγέλοις αἰδέσιμος, σὺ μαρτύρων ἀληθῶς κλέος, ἁγίων καλλώπισμα, δικαίων εὐπρέπεια, χριστιανῶν καύχημα. Ὢ τί ἂν σε προσειπὼν ἀξίως προσείποιμι; Ὢ μέγιστον ἀνθρώποις πρὸς Θεοῦ εὐεργέτημα, ὦ σέμνωμα τῆς φυσεως, ὦ λαμπρὸν τοῦ γένους ἀγλάϊσμα!" Ἀλλ' ὁ μὲν ταῦτα καὶ πλείω ἐπευφήμει τὸν μάρτυρα, ὁ δέ γε λόγος καὶ ἕτερόν τι παρόμοιον διηγήσασθαι βούλεται.

54. Ἐγένετό τις ἐξ Ὀδρυσσῶν· πόλις τῇδε Μυσῶν ἐξ Ὀρέστου τὴν κλῆσιν λαχοῦσα τὸ παλαιόν, ἐξ Ἀδριανοῦ δὲ νῦν πλουτοῦσα τὸ ὄνομα. Πήρωσιν καὶ οὗτος ὀφθαλμῶν δυστυχεῖ, καὶ δὴ τοῖς ἀνιαροῖς συναντήμασι τῷ προτέρῳ ἐκείνῳ ταὐτοπαθεῖ· ἀλλὰ τὸ βαλεῖν πως εἰς νοῦν τὸν μέγαν Δημήτριον παραπλησίως ἐπευτυχεῖ. Ὅθεν καὶ παρὰ τὴν λαμπρὰν γενέσθαι Θεσσαλονίκην ἐμελέτα, καὶ μελετῶν πολλοῖς τῶν προσηκόντων ἐκοινοῦτο τὰ τοῦ βουλεύματος. Ἀλλὰ πρὸς ἁπάντων τὴν ὁρμὴν ἀνεκόπτετο· πρὸς ἁπάντων γὰρ ὁμοῦ μακρὰν καὶ οὐκ εὐχερῆ τὴν ὁδὸν ἐπυνθάνετο. Πλὴν ἀλλ' ὅλος τοῦ σκοποῦ καθάπαξ γενόμενος ἔξεισί τε τῆς πόλεως καὶ τῆς ὁδοῦ γίνεται. Οὐκ ἔχων δ' ὅπῃ προβήσεται, ἔνθεν ἐκεῖσε περιαλᾶται, προσκρούει συχνά, συχνάκις ἀναπίπτει, συχνάκις ἐξαπορεῖ. Ἀλλὰ καθά τις ὁ μάρτυς ὁδίτης συμπαραγίνεται, καὶ ὅθεν τε καὶ ὅπῃ τὴν πορείαν πεποίηται ἀγνοῶν δῆθεν διαπυνθάνεται· καὶ ὃς ἀπερικαλύπτως εὐθὺς ἐξαγορεύει τὰ τῆς προθέσεως, καὶ ὁ μάρτυς ὅπως δὲ δυνήσῃ τυφλὸς ἀχειραγώγητος τοσαύτην ὁδὸν στείλασθαι· κἀκεῖνος ὁ δὴ καὶ πρὸς τοὺς προτοῦ φαίη διακωλύοντας "εἰ καὶ δυσὶν ὅλοις προσκόπτοι με ἔτεσιν, οὐκ ἀναπέσοιμι ἄν, σπεύδοιμι δὲ πρὸς τὴν τοῦ μεγάλου Δημητρίου πόλιν ὅση μοι δύναμις, ὡς ἂν ἐκεῖσε γενόμενος παρά τε τὸν ναὸν ἀφικοίμην καὶ τῇ τιμίᾳ προσεπιρριφείην σορῷ καὶ τῷ θείῳ τοὺς ὀφθαλμοὺς ἐπιχρισαίμην μύρῳ καὶ τὴν ὀπτικὴν ἀπολάβοιμι· πέποιθα γὰρ ὡς παραυτά μοι τὰς ὄψεις ὁ μυροβλύτης ἰάσαιτο". Καὶ ὁ μυροβλύτης "ἀλλὰ δεῦρο μοι τοῦ ἵππου ἐπίβηθι πρὸς βραχὺ καὶ πρὸς ὀλίγον διαναπαύθητι". Καὶ δὴ πάροχον συμπαραλαβὼν θᾶττον ὅ φασι λόγου πρὸς τὴν ζητουμένην πόλιν μετήνεγκε, καὶ τοῦ ἰδίου μέσον θεὶς ἀφῆκε ναοῦ.

55. Ἔτυχε δὲ ἡ πόλις περὶ τὴν ἐτήσιον ἀσχολουμένη μνήμην τοῦ μάρτυρος καὶ τὰ εἰκότα ἐφεορτάζουσα. Ὡς γοῦν τῇ εἰσόδῳ τε καὶ ἐξόδῳ τῶν συναθροιζομένων ὠθεῖτό τε καὶ συνελλίβετο, παρὰ τὴν Ἀδριανοῦ δόξειεν εἶναι συμβάντι οὕτω περὶ πλήθουσαν ἀγορὰν γενέσθαι· ὅθεν καὶ ἀπατεῶνα τὸν ὁδίτην ἐτόπαζε καὶ ἀραῖς δήπουθεν ἀμείβεσθαι ἤθελεν, ἤδη δὲ καὶ δυσφημίαις

πλύνειν προήγετο "ὦ μέλεος" λέγων "ἐγώ! ὦ οἷον ἐπεπόνθειν πρὸς τοῦ χρηστοῦ συνοδίτου! Θεσσαλονίκην ἐζήτουν, εἰς ἐκείνην ὡς ἰσχὺς ἔσπευδον, ἐμὲ δὲ πάλιν ἔχει ἡ Ἀδριανοῦ, μάτην τὰ τοσάδε προσκόψαντα". Ὡς δέ τινες περιστάντες ὅ τι γε τὰ τοῦ λόγου δηλοῖ περιεργότερον ἤροντο καὶ τῆς θαυματουργίας ἀποκρινομένου ξυνῆκαν, γνωρίζουσιν ὡς ἐν αὐτῇ Θεσσαλονίκῃ τυγχάνει γε ὢν καὶ τοῦ ναοῦ μέσον εὑρίσκεται. Καὶ ὃς εὐθὺς θερμότερον ἐζητεῖτο καὶ προθυμότερον ἐδυσώπει· καὶ ὁ μάρτυς ὡς ταχὺς ὤφθη μετακομίζων, ταχὺς ἐφάνη καὶ θεραπεύων· ἐφίσταται καὶ γὰρ αὐτῆς γε νυκτὸς καὶ "ἀνάβλεψον" φησὶν "ὦ οὗτος, καὶ ἵνα γε εὕρησαι καὶ ἴδε καὶ γνῶθι καὶ τὸν θεραπευτὴν θέασαι"· κἀκεῖνος εὐθὺς βλέπων τε ἦν καὶ κηρύττων τὸν ἰασάμενον καὶ μεγαλύνων τὸν οὕτως αὐτὸν δοξάσαντα Κύριον.

56. Τί δὲ παραδραμοῦμαι τὸ περὶ τὸν ἀξιωματικὸν ἐκεῖνον ἄνδρα καὶ τοὺς τρόπους χρηστὸν καὶ τὴν τύχην λαμπρόν, ὅπως μικροῦ δεῖν νόσου γέγονε παρανάλωμα—πάρεσις γὰρ μελῶν χρόνον κατεσχήκει τοῦτον ἐφ' ἱκανόν, ὡς καὶ ἡγεῖσθαι τὸν θάνατον ποθεινόν, τὴν δὲ ζωὴν ἀποστρέφεσθαι—καὶ ὅπως παρὰ τοῦ μάρτυρος ὄναρ ἐπιστάντος παρὰ τὸν ἐκτὸς τῆς πόλεως τοῦδε ναὸν καὶ τὴν ἐκεῖσε πηγήν, ἀφ' ἧς γε καὶ ὁ ναὸς παρωνόμασται, προσταχθείη γενέσθαι καὶ λούσασθαι, καὶ ὡς ἅμα παραγένοιτό τε καὶ λούσαιτο καὶ τὴν ὑγίειαν ἀπέλαβε καὶ τὴν εὐεξίαν ἐπλούτησε; Τὸ δὲ περὶ τὸν Καππαδόκην γηπόνον περιόψομαι; ἔφθην γὰρ εἰπὼν ὡς ἄλλοθεν ἄλλοθι ὁ μάρτυς διαφοιτᾷ, ἀγγελικῆς ταχυτῆτος μετειληφὼς καὶ πανταχοῦ τὴν πρὸς Θεοῦ δοθεῖσαν χάριν ἐπιδεικνύμενος. Ὃ γοῦν ἐκεῖσε ἐφθακότι τετέλεσται σιωπῇ παραδραμοῦμαι; ἀλλ' οὔμενουν εἰκὸς τοῦτό γε.

57. Ἐπόνει τις περὶ λιθόστρωτον γήδιον καὶ ἐρρωμένως διηγωνίζετο ὡς τὸν τόπον ἐξομαλίσαι καὶ ταῖς ἁλοώσαις ὑπολεᾶναι βουσίν, ἀλλὰ περιτυγχάνει θεμέθλῳ καὶ εὐτονώτερον τοῦ ἔργου ἐπιλαμβάνεται, ὡς εἰς βάθος ἀνορύξαι καὶ πάντα λίθον ἀποσκευάσασθαι. Καὶ δὴ νέον ὁρᾷ διαπρεπῆ τὴν ὥραν, διάσημον τὴν στολήν, ἔποχον ἐφ' ὑψαύχενος λαμπρᾶ περικειμένου τὰ φάλαρα· ὃς

καὶ πρὸς αὐτὸν "τί δὲ ὦ ἄνθρωπε" φησὶν "ἐκθύμως οὕτω πονεῖς καὶ τὸν ἐμὸν οἶκον εἰς ἄλω μεταποιεῖς; ἴσθι ὡς οὐκ ἐπὶ καλῷ σοι κείσεται τουτοί· ἐμοῦ γὰρ οἶκος ἐνθάδε. Ἐγὼ δέ εἰμι ὁ ἐν Θεσσαλονίκῃ τιμώμενος καὶ παρ' ὑμῖν ἐπιεικῶς γινωσκόμενος". Καὶ ὃς ἔκθαμβος καὶ οἷον ἐμβρόντητος γεγονώς, τά τε περὶ τοῦ πάθους πρὸς τῶν προσηκόντων ἀνερωτώμενος, τὰ τῆς ὄψεως ἐξηγόρευκε· τοιγάρτοι καὶ λαμβάνει συλλήπτορας καὶ συνδιακαθαίρειν σφίσι προθυμηθεὶς πλείοσι πιστοῦται τοῖς τεκμηρίοις τέμενος εἶναι τὸν τόπον καὶ τὸν μέγαν ἐπ' αὐτῷ τιμᾶσθαι Δημήτριον. Ὅθεν καὶ ἀναθείμασθαι προθυμεῖται, καὶ τοὺς συλλαμβανομένους δήπουθεν ἐσχηκώς, τοῦ τε κατὰ δύναμιν οὐχ ὑστέρησε καὶ διατάχους τὸν ναὸν ἐξετέλεσε καὶ λαμπρῶς τῷ μάρτυρι καθωσίωσεν.

58. Ἀλλὰ τί γε τις ἂν καὶ εἴποι πυθόμενος ἢν κατασχεθείσης τῆς ἑαυτοῦ πόλεως ἐπιφανείς τισι σκυθρωπότητα ἐνδείξαιτο καὶ κατήφειαν; Ἐκπλέουσί ποτε καθ' ἡμῶν μετὰ πολλῆς ὅτι ναυστολήσαντες τῆς παρασκευῆς οἱ τῆς Ἄγαρ ἀπόγονοι, οἱ τοῦ ἀρχεκάκου Σατὰν ἀληθεῖς ἔκγονοι, καὶ δὴ σὺν ἄλλαις συχναῖς καὶ τὴν ἐκ μυριάδων πλειστάκις τηρηθεῖσαν συχνῶν παρεστήσαντο καὶ δούλους—ὦ κριμάτων Θεοῦ, ἢ μᾶλλον ὦ τῶν ἡμετέρων ἀμπλακημάτων — τοὺς ἐκ τῆς ἐλευθέρας ἐσχήκεσαν. Ἀλλ' ὅτου δὴ τὸν λόγον χάριν πεποίημαι, ἀπῄράν τινες ἐξ Ἰταλῶν ἄνδρες εὐλαβεῖς, ἄνδρες θεοφιλεῖς καὶ φιλόθεοι ἐφ' ᾧ γε τοὺς κατὰ τόπους θείους ἱστορῆσαι σηκοὺς καὶ τὸ ἐκ πόθου σφίσι σέβας ἀφοσιώσασθαι. Τούτοις οὖν τὰ τῶν Θετταλῶν ὡς διήεσαν συνώδευκε πρεσβύτης τὴν ἀναβολὴν κόσμιος, τὸ εἶδος σεβάσμιος· μετ' οὐ πολὺ δὲ καὶ νέος συνήντηκεν εὐπρεπής, εὐειδὴς τὴν ὄψιν ὡς ἀπὸ φύσεως χαριέστατος, ἐκ δ' ἀνιαροῦ τινος καὶ ἀνυποίστου συμβάματος σκυθρωπὸς ἄγαν ὡς ὑπεδείκνυεν. Ὃς δὴ καὶ φθάσας τὸν πρεσβύτην προσείρηκε, προσαγορεύσας δ' Ἀχίλλιον κατωνόμακεν, ἀντιπροσρηθείς τε Δημήτριος καὶ μέγας μάρτυς ἀκήκοε καὶ ὅτου χάριν οὕτω κατηφής ἐστιν ἐπηρώτηται· πρὸς ὃν πικρόν τι στενάξας καὶ μύχιον "οὐκ οἶσθα" φάναι "δέσποτα ἀγιώτατε, ὡς κατάσχετος ἡ ἐμὴ πόλις; οὐκ οἶσθα ὡς κατορχοῦνται ταύτης οἱ ἀσε-

βεῖς; ἀγνοεῖς ὁποῖα περὶ τοὺς ἐκεῖσε νεὼς ἔκθεσμα διαπράττονται; πηλίκα περὶ τὸν ἐμὸν οἶκον εἰργάσαντο". Ταῦθ' ὁ μὲν εἰπὼν μετὰ πολλῆς ὅτι τῆς λύπης, ὡς καὶ τὴν φωνὴν συγχεῖσθαι τούτῳ τοῖς δάκρυσιν, ὁ δ' ἀκούσας καὶ τὰ εἰκότα συλλυπηθεὶς καὶ συστενάξας περιαλγῶς, οὐκέτι τοῖς ὁδίταις εἶχον ὁρᾶσθαι ἀλλὰ παρευθὺς ἀφανεῖς ἐγεγόνεισαν· οἳ δὲ τοὺς λόγους πρὸς ἀλλήλους συμβαλόντες καὶ γνόντες ὡς ἀληθῶς ἡ πόλις ἑάλωκεν, ἐκτρέπονται τὴν ἐπὶ ταύτην καὶ δι' ἄλλης πρὸς τὴν Κωνσταντίνου καταίρουσι, συχνοῖς τε τὰ τῆς ὀπτασίας διηγοῦνται καὶ τὸ ὑπὲρ τῆς πόλεως τοῦ μάρτυρος πένθος γνωρίζουσιν, εὐέλπιδάς τε τιθέασιν ὡς οὐκ ἂν γε παραταθείη τὰ τῆς ἁλώσεως, ἀλλ' ὑπερεντυγχάνων Θεῷ διατάχους ἂν τῆς αἰχμαλωσίας ἐλευθερώσειε καὶ τῶν κατεχόντων δεινῶν ῥύσαιτο. Ἀμέλει τοι καὶ λαμπρῶς ἠλευθέρωσε καὶ θαυμασίως ἄγαν ἐρρύσατο.

59. Ἀλλ' οὐδὲ τοῦτο πως ἐκδιήγησιν ἄχαρι. Τελευτᾷ μὲν τὸν βίον τὸ τῆς πορφύρας εὐτυχὲς γέννημα, τὸ κάλλιστον τῆς βασιλείας τιθήνημα, τὸ τῶν ἀρετῶν θαυμάσιον μαίευμα, ὁ τῶν χαρίτων οἶκος, τὸ τῶν Ῥωμαίων κλέος, τὸ ἔρεισμα τοῦ κράτους, τὸ τοῦ στέφους ὡράϊσμα, ὁ περίπυστος ἐκεῖνος Ἰωάννης ὁ ἐξ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ παρευθὺς ἐπείληπται τῆς ἀρχῆς καὶ τοὺς τῆς βασιλείας οἴακας ἐγχειρίσταται ὁ φὼς ἐκ τούτου γε Μανουήλ. ὦ μέλει μὲν πολέμων, μέλει δὲ τροπαίων, μέλει δ' οὐχ ἥκιστα χλιδῆς βασιλικῆς ἢ μᾶλλον δεσποτικῆς· δεσποτείας γὰρ καὶ βασιλείας οὐ μικρόν, ὡς ἔγνωμεν, τὸ διάφορον, στεφάνων δηλαδὴ λαμπρότητος καὶ ἐνδυμάτων φαιδρότητος, οὐδὲ γὰρ μικρῶς καὶ περὶ ταῦτα ἐπτόητο, ἀλλὰ καὶ τὰ μεγάλα σφίσι πεφιλοτίμητο. Καὶ δήποτε τοῖς περὶ τὰ τοιάδε δεινοῖς ἐγκελεύεται ἐσθῆτα πολλῷ τῶν συνήθων αὐτῷ καινοτέραν καὶ λαμπροτέραν φιλοτεχνήσασθαι· καὶ οἳ διὰ τάχους τὸ προσταχθὲν ἐκπεραίνουσι καὶ ὅτι λαμπρὸν καὶ διάσημον ἀπαρτίζουσιν. Ἀλλ ἦκεν ἡ τῶν ἑορτῶν ἑορτή. ἡ τῶν πανηγύρεων ἐνέστη πανήγυρις, ἡ λαμπρὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναστάσεως ἡμέρα, μᾶλλον δ' ἡ πρὸ ταύτης φωτοφόρος ἑσπέρα, ἡ τῆς φαιδρᾶς ἡμέρας προάγγελος, τοίνυν καὶ οἷς γε τὰ τοιάδε

πρὸς τῆς τάξεως ἐπιτέτραπτο τοῦ κιβωτίου ἀνελόμενοι μετεωρίζουσιν εἰς ἀέρα ὅ τι ἂν κατακλεισθείσῃ ἐπισυμβέβηκε θεασόμενοί τε καὶ ἐπιμελησόμενοι, ἐφ' ᾧ μεθ' ἡμέραν τὸν βασιλέα περιθέσθαι ταύτην εὐ ἔχουσαν καὶ τὰ εἰωθότα ἐνωραΐσασθαι. Ἀλλ' ὥ τῆς τοῦ μάρτυρος—πῶς ἂν εἴποιμι;—θαυματουργίας ἢ ἀστειότητος, δυνάμεως ἢ χαριεντισμοῦ, ταχείας πανταχόθι περιφοιτήσεως ἢ πολλῆς ἐπιμελείας ἐπὶ τὴν ἑαυτοῦ πόλιν καὶ τὸν νεὼν καὶ τῶν ἐριτίμων ἐπὶ τούτοις κόσμου χάριν περιποιήσεων! ὑφαιρεῖται τὴν χλαμύδα καὶ αὐτῆς ἐκείνης νυκτὸς μετακομίσας τὴν ἑαυτοῦ ταύτῃ ἐναγλαΐζει σορόν. Τί τὸ ἐντεῦθεν; Ζητοῦσιν οἱ ἀπολέσαντες, θαυμάζουσιν οἱ παρὰ προσδοκίαν κερδάναντες, δέος ἐν τούτοις πολύ, κρότος ἐν ἐκείνοις καὶ χαρμονή· οἱ μὲν γὰρ εἰσίασιν ἀναληψόμενοι καὶ οὐχ εὕραντο, οἱ δ' ὄρθρια ἐνεορτάσοντες καὶ θεασάμενοι ἐξεπλάγησαν. Μόγις δὲ αὐτῶν γενόμενοι καὶ βασιλέως εἶναι τὴν ἁλουργίδα ξυνέντες καὶ θαυματουργίαν τὸ περὶ αὐτὴν τοῦ μάρτυρος ἐννοήσαντες, πρὸς τὸν βασιλέα σπουδῇ στέλλουσι καὶ τὰ περὶ τῆς χλαμύδος γνωρίζουσι. Καὶ ὃς τὴν ἡμέραν ἐν ᾗ τὴν ἑσπέραν καθ' ἣν παρὰ τῷ νεῷ ἀνεύρητο ἡ χλαμὺς πρὸς τῶν ἀγγέλων ἀναμαθών, αὐτὴν ἐκείνην εἶναι ξυνέβαλε καθ' ἣν τῶν ἀνακτόρων, ὡς ἔδοξεν, ἀποσεσύλητο ἡ ἐσθής, ὅτε δὴ καὶ τόδ' εἰς ἐπήκοον μικρὸν ἐπισχὼν ἀνεβόησε "πλειστάκις ἡμῖν ἐν ἀνάγκαις ὁ μάρτυς συστάς, οὐδὲ μιᾶς πρὸς ἡμῶν ἐτετυχήκει τῆς ἀμοιβῆς· διὸ δὴ τὴν ἐσθῆτα καὶ μὴ βουλομένων ἀντείληφεν ἢ μᾶλλον ἀφήρηκε, διελέγχων ἡμῶν τὴν ἀχαριστίαν καὶ στηλιτεύων τὸ ἄγνωμον. Ἀλλ' εὖγέ σοι μάρτυς καὶ τῶν ὑπὲρ ἡμῶν τροπαίων καὶ τῶν ὑπὲρ αὐτῶν ἀφαιρέσεων! σύγγνωθι τῆς ἀχαριστίας, σύγγνωθι τῆς ἀγνωμοσύνης, τῆς ἐκ περιπετείας περιορᾶσεως σύγγνωθι"!

60. Ἀλλ' ὁ μὲν βασιλεὺς οὕτω γε τῇ τῆς ἐσθῆτος ἐπευχαριστήσας ἀφαιρέσει ἀγρούς τε παραυτὰ τῷ μάρτυρι καὶ κώμας ἀνέθετο, ἔγωγε δὲ συνιεὶς ἰδοὺ τὸν λόγον οὐ μετρίως ἐπεκτεινόμενον οὐκ ἔχω τίς ἂν τε καὶ γένωμαι· ἃ μὲν γὰρ παρῆκα μεγάλα τε καὶ συχνά, ἃ δὲ διῆλθον, οὐ πρὸς ἀξίαν οἶδα διεξιών, ἅμα τὸ λοιπὸν καὶ δέδοικα καὶ αἰσχύνομαι. Δέδοικα μὲν οἷς πρὸς

αὐτοῦ τοῦ μάρτυρος προσταχθεὶς οὐχ ὡς προσῆκεν ἐκπλήσας συντήμι τὰ τῆς προσταγῆς, ἀλλ' ὥσπερ ἐκ παρόδου τοῖς τοῦ μάρτυρος ἐμπεσὼν καὶ ὁ φασιν ἄκρῳ δακτύλῳ τούτων ἁψάμενος· καὶ γὰρ καὶ χερσὶν ἀνίπτοις ἐπιβαλέσθαι λέγειν παρίημι, αἰσχύνομαι δ' αὖ ἀκόμψως τε καὶ ὑπτίως καὶ ἃ δήπερ ἐξελεξάμην διεξιών. Μόνῳ γοῦν τῷ τοῦ μάρτυρος θαρρῶ συμπαθεῖ, ὑπὲρ οὗ καὶ πρὸς ὁ ὁ λόγος, ὃς καλῶς τὰ τοῦ δεσπότου πάντα ἐζηλωκὼς οὐχ ἥκιστα δὴ τῳ τὰ πρὸς ἰσχὺν καὶ ἀπαιτεῖν καὶ προσίεσθαι, προσείκασται τούτῳ καὶ τὰ κάλλιστα ἀφωμοίωται. Ἀλλ' ἄγε δὴ τῶν παλαιτέρων ἀφέμενοι τὰ μὴ πρὸ συχνῶν πάνυ τῶν χρόνων παρεισαγάγωμεν. πάνυ γε πλεῖστα παρέντες καὶ παραδραμόντες σχεδὸν ἄπειρα.

61. Ἀλλ' ἐνθαδὶ τοῦ λόγου γενόμενος δακρύων πληροῦμαι τοὺς ὀφθαλμοὺς καὶ τὴν φωνὴν ὑπὸ τοῦ πάθους ἐγκόπτομαι. Πολλὰ πολλάκις ἐξημαρτήκαμεν πρὸς Θεὸν καὶ συχνάκις πρὸς Θεοῦ πεπαιδεύμεθα, ἀλλ' ἡ ἐσχατη ἡμῶν ἁμαρτία ὑπὲρ ἁπάσας καὶ ἡ παίδευσις ὡς ἀνείκαστος. Καὶ γὰρ ἐγείρεται καθ' ἡμῶν ἔθνος σιδηροῦν τὸ τῆς ὁράσεως Δανιήλ, μαχαίρα τὸ τῆς Ἡσαῦ κατάρας συζῶν· τὸ γὰρ κατὰ τὴν τῆς αὐτοαληθείας ἀπόφασιν καὶ μαχαίρα εἰπεῖν ἀποθνῄσκον παρίημι. Ἀλλὰ βαβαὶ τοῦ δεινοῦ! ἀβάλε τῆς συμφορᾶς! ἐπ' αὐτὴν τὴν βασιλεύουσαν πόλιν συνίστανται, ὡς ἂν τις παραυτὰ νεκρῶσαι τὸν ἀντίπαλον βουληθεὶς τἄλλά γε παρεὶς τοῦ καιριωτάτου, τῆς κεφαλῆς, κατεπιχειρήσειε. Καὶ τί δεῖ πολλὰ λέγειν καὶ τὰ τῶν ἀπ' αἰῶνος δεινῶν ἐκτραγῳδεῖν σχετλιώτερα; τί γὰρ ἡ θρυλλουμένη πόρθησις Ἰλίου, πόλεως εἰς στενὸν ἄγαν περιγραφομένης καὶ μικρὰν αὐχούσης τὴν χάριν; τί δὲ ὁ παρὰ τοῦ Πέρσου τῶν Ἀθηνῶν ἐμπρησμός; Ἴσμεν γὰρ κἀκείνην ὁποία τὴν θέσιν· τὴν γὰρ ἀρχὴν καὶ γέλως εἰπεῖν ὁπόση γε ἦν. Ἀλλ' ὁ δὴ τοῖς ἡμετέροις ἐγγυτέρω καὶ τοῖς πάθεσι παραπλήσιον, μακρῷ δὲ τῶν καθ' ἡμᾶς καὶ τοῦτο λειπόμενον, τί τὸ τῆς Σιὼν πρὸς τὸ τῆς Κωνσταντίνου τερπνόν τε καὶ χάριεν; ἐῶ γὰρ ὄλβον λέγειν ἀπείριτον καὶ δόξαν ἀξύμβλητον καὶ τὸ μέχρι περάτων περικλεέστατον ὄνομα. Ἀλλὰ τῆς οὕτω λαμπρᾶς, τῆς οὕτω ὑπὲρ τὰς πώποτε ὑπερέσχεν—ὦ πῶς ἀθακρυτὶ φθέγξο-

ψαι· ἡ τῶν ἀγερώχων χειρ Ἰταλῶν· καὶ πρὸς τὰ ἑξῆς ὀκνεῖ με ὁ λόγος προβῆναι, προβήσεται δ' ὅμως.

62. Νεκροῦται ἡ τῶν Ῥωμαίων παρευθὺς ὀλομέλεια, τῆς κεφαλῆς βληθείσης ἢ ἀποτμηθείσης εἰπεῖν οἰκειότερον· ἔνθεν καὶ ὡς ἐπὶ πτώματι οὐχ ὅπως συνήχθησαν ἀετοί, ἀλλ' ἤδη καὶ κορῶναι καὶ κολοιοὶ καὶ εἴ τί που τούτων ἐν σαρκοβόροις φαυλότερον· τῶν μὲν γὰρ ἑῴων πανσπερμία Περσῶν κατετόλμησε, τῶν δ' αὖ ἑσπερίων ἄλλοι μὲν ἄλλα κατέδραμον, εἰσὶ δὲ οἳ καὶ κατέσχον, Θράκην δὲ καὶ Μακεδονίαν Ἰωάννης ὁ τὸ ἐπώνυμον Κροῦμος, Ἰωάννης ὁ ἐκ κακίας ἀναδειχθεὶς κάκ τοῦ πρὸς Ῥωμαίους μίσους ὀνομασθείς· ὃν τὸ σκαιὸν τοῦ τρόπου καὶ τὸ τῆς ψυχῆς ὀργίλον καὶ πρὸς φόνους ὀξύρροπον, ἢ μᾶλλον εἰπεῖν τὸ πρὸς αὐτὴν τὴν ἀνθρωπίνην φύσιν ἀναιδές τε καὶ ἀπηνὲς προσφυᾶ τῇ κλήσει προσθήκην ἀπὸ κυνὸς χαρισάμενα, οὐχ ὅτι γε κάκ μόνης ἀκοῆς ἄχαριν ἀλλὰ καὶ μισητὸν πάνυ διέθηκαν· ἦσαν δὲ οἳ καὶ κατὰ τὴν τῆς χυδαίας καὶ δημώδους γλώττης συνήθειαν ὁποκορίζοντες εἶτ' οὖν ψαυλίζοντες κατωνόμαζον. Ἐκ τῆς πάλαι δὲ τοῦτο ἐπεκράτησε κλήσεως, ὅτε Ῥωμαίοις ὁμηρεύων τῇ Κωνσταντίνου ἐνδιῆγε καὶ τῆς τῶν βασιλείων θέας κατῃσιοῦτο καὶ τοῖς ἐν τέλει προσήρχετο. Οὗτος οὖν ὁ ἀλάστωρ, οὗτος ὁ παλαμναῖος ὁ ἀλιτήριος πᾶσάν γε τὴν Θράκην πρηστῆρος δίκην διέλαβε, τί μὲν τῶν δεινῶν οὐ δι' ἑαυτοῦ ἐνεργῶν—τὸ γὰρ αὐτοχείρως λέγειν παρίημι—τί δὲ μὴ δι' ἐνδόσεως ἐκπληρῶν; Πόλεις περιφήμους ἐκ θεμελίων ἠδάφισε, κώμας τῶν οὐκ ἀφανῶν ἐλῃσατο, κωμοπόλεις μετῴκισεν ἢ μᾶλλον ἠνδραποδίσατο, πλείστας δὲ πάνυ καὶ τέλεον ἐξηφάνισε. Καὶ τί δεῖ με μακρηγορεῖν περὶ τῶν δεινῶν; Ναβουχοδονόσορ ἄλλος Ἀσσύριος τοῖς πρὸς ἑσπέραν ἀνεφάνη Ῥωμαίοις.

63. Ἀλλ' ἐπαρθεὶς τῇ τύχῃ καὶ τῆς τοῦ μάρτυρος κατατολμᾷ πόλεως, καὶ γοῦν παρ' αὐτῇ τὰς σκηνὰς πήγνυσι, προσάγει τὰς ἑλεπόλεις, ἅπαν εὖ διευτρεπίζει μηχάνημα· ἐῶ γὰρ λέγειν βαρβαρικὰς προσαγορεύσεις αὐτοῦ πρὸς τὸν μάρτυρα, διαπαιζούσας πλέον ἢ τιμώσας, ὅσα τε προσιὼν ἔτι καὶ περὶ ἑκάστου τῶν θείων σηκῶν ἐρόμενος καὶ μαθὼν αὐτοὺς ἐξ ὀνόματος περί τε τῆς πόλεως

περί τε αὐτῶν τῶν σηκῶν ἡ μιαρὰ γλῶττα καὶ τολμηρὰ φθέγξαιτο. Ἄντικρυς ἄττα κατὰ τῆς Ἱερουσαλὴμ καὶ τοῦ βασιλεύοντος Ἐζεκίου εἱρασυλόγησεν ὁ Σεναχερείμ καὶ ὁ βούλγαρος Ἰωάννης τῆς περικλύτου Θεσσαλονίκης, καὶ τοῦ κατέχοντος αὐτὴν κατεφρυάξατο μάρτυρος. Πλὴν ἀλλ' εὐτρεπίσας πάντα κατὰ σκοπὸν τῆς νυκτὸς ἤδη προηκούσης εἰς ὕπνον γε διαλέλυται· ἀλλ' οὔπω μέσαι νύκτες ἦσαν καὶ ὁ γενναῖος ὁπλίτης, ὁ ἀκαταγώνιστος πρόμαχος, τῷ βαρβάρῳ πρὸ τῆς κλίνης ἔνοπλος ἱππεὺς ἐπιφαίνεται, καὶ φανεὶς κατὰ γαστρὸς βάλλει, καὶ βαλὼν ἀφανὴς γίνεται. Ὁ δ' ἄγριον ἀνεβόησε καὶ "τίς ὁ βαλών με" ἀνέκραγε "τίς ὁ τρώσας, τίς ὁ τὸ τῆς ζωῆς μοι νῆμα διατεμών; οὐκέτι γὰρ τὸν ἥλιον ὄψομαι, οὐκέτι τοῖς ἐπὶ γῆς συγκαταλεγήσομαι". Διυπνίζει ταῖς ἐκτόποις κραυγαῖς τὸν ἀρχιστράτηγον — Μαναστρᾶς τῶδε τὸ ὄνομα — πρὸς ὃν εἰσελθόντα καὶ ἐρωτῶντα βλοσυρὸν ἐνατενίσας φωνεῖ "σύ με πεφόνευκας· τῷ σῷ γὰρ ἵππῳ παρόμοιος ὥπερ ἐπωχεῖτο ὁ βεβληκώς — λευκὸς δὲ ἦν τὴν χροιὰν περὶ οὗ ὁ λόγος αὐτῷ — καὶ νῦν ἐρωτᾷς ὅ τι δὴ πάσχων εἰμί"; Καὶ ὃς "μή, ὦ δέσποτα, γένοιτο τοιοῦτον ἐν νῷ ποτέ μοι βαλεῖν, μὴ ὅτι γε εἰς ἔργον προαγαγεῖν".

64. Ἀλλ' οὐ πολλοὺς τοὺς λόγους ἔφησαν καὶ ἀντέφησαν, καὶ λέγειν οὐκέτ' εἶχεν ὁ προτοῦ πολλὰ λέγων κατὰ τῆς πόλεως· κρουνηδὸν γὰρ ὑπέρρει τὸ αἷμα καὶ τὰ ἔγκατα συνεξέρρει, ὑπεδίδου τε ἡ πνοὴ καὶ συνεξέλιγεν ἡ φωνή. Ὡς οὖν ταῦθ' ἑώρακε Μαναστρᾶς, φόρτου δίκην ἀναθεὶς ἵππῳ αὐτῆς ἐκείνης νυκτὸς ἀπαίρει τῆς πόλεως, φυγῇ κλέπτων τὴν σωτηρίαν· ἔγνω γὰρ ἐκ τῆς τοῦ δεσπότου πληγῆς ὡς ἄμαχος ὁ τῆς πόλεως πρόμαχος καὶ χύτρα — τὸ τοῦ λόγου — πρὸς λέβητα τὸ προσκροῦσον ἅπαν αὐτῇ. Ἀλλὰ θαυμάσιον οἷον μεθ' ἡμέραν ξυμβέβηκε. Προκύπτουσιν οἱ τειχῆρεις, ὑποστελλόμενοι ὥςπερ ἐκ τῶν βελῶν, δεδιότες ἐκ τῶν μηχανημάτων. Μόλις δ' ἀτενίσαντες αἰνίγμασι καθορῶσι παρόμοια· σκηναὶ ἀνθρώπων χωρίς, ἄνευ φαλάγγων στρατοπεδον. Νὺξ γὰρ ἐκείνη καθ' ἣν ὁ τοῦ Χριστοῦ ἀριστεὺς κατὰ τοῦ παλαμναίου πιλιορκητοῦ τὸ μέγα τρόπαιον ἔστησε, μυριάδας ὅσας γε συνεπήγετο — πάνυ γὰρ

πλειστους ἐκ πλειστων συνεπεφέρετο τῶν γενῶν, Βουλγάρων, Παιόνων, Μυσῶν, Ζηχῶν, Ῥώς, Ἀλανῶν, Σκυθῶν, Μελαγχλαίνων, Σαυροματῶν—ὑπὲρ ἡλίου λαμπροτάτην αὐγὴν ψόφου δίκην διέλυσε καὶ καθαρὰν τοῖς ἐν τῇ πόλει τὴν αἰθρίαν προὐξένησεν.

65. Ἀλλ' εἰ κατὰ μέρος ἀναπτύσσειν τὰς ἱστορούσας τὰ περὶ τοῦ μάρτυρος βουληθείην βίβλους ἐφ' ὧ γε τῶν θαυμάτων διεξιέναι καθ' ἕκαστον, πάνυ πλείστου δεηθείην τοῦ χρόνου, τάχα δ' ἂν καὶ μόνον εἰς νοῦν βαλὼν ἀποκνήσαιμι, συνεὶς παρευθὺς ὡς οὐδὲ πρὸς τὸ τοῦ ὅλου πολλοστημόριον ἐξικέσθαι ἰσχύσαιμι. Τοίνυν καὶ τῆς τῶν θαυμάτων ἀφέμενος διηγήσεως—οὔτε γὰρ χρόνου τις τὴν κατὰ τὸ νῦν ἀριθμῆσαι προκοπὴν ἐξίκοιτο, οὔτε μὴν τὰ καθ' ἑκάστην καὶ εἰσαεὶ τῷ μάρτυρι τῶδε τερατουργούμενα· καθ' ἕκαστον γὰρ τῶν ἀκαριαίων ἐκτελοῦνται καὶ τῷ χρόνῳ ἀδιεχῶς συμπροΐασιν, ἐῶ γὰρ ὡς ἅμα κατὰ ταὐτὸν ἐν διαφόροις τοῦ παντὸς μέρεσι πλεῖστα διενεργοῦνται τοῖς ἐκ πίστεως ἐπικαλουμένοις τὸν μάρτυρα—βραχὲ' ἄττα τὸν κοινὸν προστάτην κοινῇ προσειπὼν καὶ τὸν ἔμοιγε ἰδία ἰδίως προσφθεγξάμενός τε καὶ δεηθεὶς αὐτίκα δῆτα πεπαύσομαι. Ἀλλ' ἵνα μὴ πρὸς ἀλλήλους ἑῴα τε καὶ ἑσπέριος λῆξις ἀνθαμιλλώμεναι καὶ ἑκατέρα πρὸς θατέραν τὰ ἰδιοῦντα τὸν κοινὸν ἀμφοῖν προστάτην προβαλλόμεναι τὸν λόγον ἀπομηκύνειαν — εἰκὸς γὰρ καὶ ἄμφω ἐκ τῶν συχνῶν ἐπ' ἀμφοῖν θαυμασίων πολλά τε προτείνειν ὑπὲρ ἰδιοποιήσεως καὶ ἱκνούμενα—ἄγε ἅμα προσειπάτωσαν καὶ ἅμα γε δεηθήτωσαν.

66. Ὦ χαῖρε, χαῖρε καλλίνικε, χαῖρε ἀλεξίκακε πρόμαχε, χαῖρε τὸ τῶν πόλεων στήριγμα, τοῦ λαοῦ τὸ κραταίωμα, ὁδηγὲ στρατηγῶν, στρατιῶν πρόοδε. Χαῖρε τῶν εὐπορούντων ἐπίκουρε, τῶν πλουτούντων συνέριθε, τῶν ἐνδεῶν χορηγέ, τῶν ἐν συμφοραῖς παρακλῆτορ, τῶν ἐν νόσοις ἰατρέ, κυβερνῆτα τῶν ἐν ζάλῃ, ταχύτατε προστάτα τῶν ἐν διαφόροις ταῖς περιστάσεσιν. Ὦ χαῖρε πάντων ἐφ' ἅπασι κηδεμὼν καὶ ἑκάστῳ γε ἰδία ἐφ' ἑκάστῳ τῶν συμπιπτόντων, προμηθέστατε φροντιστά. Μὴ διαλίποις δεόμεθά σου καὶ θερμῶς ἱκετεύομεν ὑπερεντυγχάνων ἡμῶν τῷ σωτῆρι Θεῷ, ὑπὲρ ὧν τε κοινῇ πλημμελοῦμεν καὶ ὑπὲρ ὧν ἰδίᾳ ἕκαστος ἁμαρτάνο-

μεν, ἀλλ' ἴλεου καὶ πᾶσιν ὁμοῦ καὶ ἰδίᾳ ἑκάστῳ γε ἐξευμένιζε. Μὴ διαλίποις τοῦ τῶν Ῥωμαίων πληρώματος προμαχῶν, μὴ διαλίποις ἐφ' ἁπάσῃ γε ἅπαντι χρείᾳ συμπαριστάμενος καὶ ἐπαρκῶν τὰ λυσιτελῆ. Συνίστασο τοῖς χρηστῶς βασιλεύουσιν, ὑπὲρ τῶν ἡμετέρων φροντίζουσι. Συμβούλευε δι' ἐπιπνοίας τὰ λῴονα. Ὑποτίθεσο τοῖς ἐν τέλει τὰ κοινῇ τοῖς πᾶσι ξυμφέροντα καὶ πεῖθε μηδὲν τῶν δοκούντων λυσιτελεῖν τῶν λυσιτελούντων πρὸς ἀλήθειαν προτιμᾶν, μηδέν τι ἐκτελεῖν αὐθέκαστον, μηδὲ προτίθεσθαι τὰ ἴδια τῶν κοινῶν. Συνεκπορεύου τοῖς στρατηγοῖς, συμπαρατάττου τοῖς στρατιώταις, συμπλέκου μετὰ σφῶν τοῖς πολεμίοις ὡς ἔχεις δήπου συμπλέκεσθαι καὶ νίκα, νίκα συχνὰ καὶ λαμπρὰ λαμπρῶς ἁνίστα τὰ τρόπαια. Ἔκτεινε τοὺς ὅρους, δίεπε τὰ ἐντὸς ἐχθροὺς ἐκδιώκων, ἀπελαύνων ἐπιβουλεύοντας, τὸ κρεῖττον καὶ σοῦ μετὰ Θεοῦ ὄντως δεόμενον συνάγων ἅπαντας εἰς ὁμόνοιαν καὶ κατὰ Θεὸν ἀλλήλοις ἑνῶν. Πρόστηθι τὸ μεῖζον τὸ μέγιστον ἐν τῇ τελευταίᾳ καὶ φοβερᾷ κρίσει, καὶ πάντας ὁμοῦ καὶ καθ' ἕνα ὅσοι γε τὸ ζῆν εὐσεβῶς μεταλλάξουσι τῆς δεξιᾶς ὑπερηγορῶν μερίδος κατάστησον, καὶ τῶν τῷ ἐχθρῷ συγκαταδικασθησομένων διάστησον καὶ ῥῦσαι τῆς τελευταίας καὶ ἀνυποίστου κολάσεως.

67. Κἀγώ σοι λοιπὸν ὁ τοὺς ἄθλους ὡς ἐφικτὸν συγγραψάμενος καὶ προσαγηροχὼς τὰ ἐγκώμια, οὐχ ὑστερήσας τοῦ κατὰ δύναμιν ἀμείβομαί τε τὰ χαριστήρια, προσαγορεύω τὰ δεητήρια. Δέομαι γοῦν, δέομαι σου μάρτυς, μάρτυς συμπαθές, μάρτυς εὔσπλαγχνε, οὐχ ἵνα μοι συγγνώσῃ τῆς ἐγχειρήσεως· οἶδας γὰρ ὅπως καὶ ἐς ὁποίας τῆς διαθέσεως τοῖς σοῖς ἐφυμνίοις ἐπικεχείρηκα· δέομαι δέσου τῇδέ μοι ἐφ' ἅπαντι ἀεὶ βουλεύματι συμπαραστατεῦν, ἐφ' ἅπαντι ἔργῳ συμπράττειν, πλημμελοῦντα διορθοῦσθαι, κατορθοῦντι συναίρεσθαι, εὐθυμοῦντι συμπαρατυγχάνειν, παρακαλεῖν ἀνιώμενον, ἀναλαμβάνειν σφαλλόμενον καθάπαξ ἐν καιρῷ παντί, ἐν πράξει πάσῃ, καὶ συμπαρεῖναι καὶ συνεργάζεσθαι καὶ πάντα μοι διευθύνειν πρὸς τὸ λυσιτελέστερον· κἀκείσε δὴ γενομένου κἀπὶ τὴν τελευταίαν κρίσιν καὶ κοινὴν ἁπαντήσαντος ὑπερεντυχεῖν τῷ φιλανθρώπῳ κριτῇ, ὑπερηγορῆσαι λαμπρῶς, ἀποσο-

βῆσαι τὸν κοινὸν ἐχθρὸν καὶ κατήγορον καὶ τοῖς ἐκ δεξιῶν συνενοηκάσαι καὶ τῆς ἐνθέου καταξιῶσαι νομῆς, τῆς μακαρίας ἐκείνης τρυφῆς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ὑπὲρ ἡμῶν καθ' ἡμᾶς γεγονότος ἐνυποστάτου λόγου Θεοῦ, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ καὶ ἀγεννήτῳ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

X.

ΓΕΡΜΑΝΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ἐπιστολὴ ἐγκύκλιος

πρὸς τοὺς ἀπανταχοῦ εὑρισκομένους μητροπολίτας ἐπισκόπους ἱερεῖς καὶ κληρικοὺς τῆς ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως.

(Cod. Sabb. 655, f°. 1$^{\beta}$—3°. Cod. Patriarch. 370, f°. 413$^{\alpha}$).

† Οἱ ἀπανταχοῦ εὑρισκόμενοι πανιερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι, θεοφιλέστατοι ἐπίσκοποι, εὐλαβέστατοι καὶ θεοσεβέστατοι ἅγιοι κληρικοὶ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, ἐν πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοὶ τῆς ἡμῶν μετριότητος, καὶ εὐγενέστατοι καὶ χρησιμώτατοι ἄρχοντες καὶ ἅπας ὁ τοῦ Κυρίου χριστώνυμος λαός, ἐν ἁγίῳ πνεύματι ποθεινότατοι καὶ γνησιώτατοι υἱοὶ τῆς ἡμῶν μετριότητος, χάριν ἔλεος ὑγείαν ψυχῆς τε καὶ σώματος καὶ ἄλλο εἴτι ἀγαθὸν ὁμοῦ καὶ σωτήριον παρὰ Θεοῦ παντοκράτορος καὶ παρὰ τοῦ ἁγίου καὶ ζωοδόχου τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἐπευχόμεθα τοῦ εἶην μετὰ πάντων ἡμῶν.

ΕΠΙΓΡΑΦΗ. Ἐν τῷ σαββαϊτικῷ κώδικι 655 ἐπιγράφεται· «Πρὸς τοὺς ἀπανταχοῦ» κτλ. Ἐν τῷ πατριαρχικῷ 370 κώδικι φέρεται ἀνεπίγραφος. Ἀμφότερα δὲ τὰ ἀπόγραφα εἰσὶ δύο διάφορα πρωτότυπα καὶ αὐτόγραφα σχέδια τοῦ Γερμανοῦ καὶ μετὰ διορθώσεων καὶ προσθηκῶν τῆς αὐτοῦ χειρός· ἐφ' ᾧ τελεῖ ἄγνωστος ὁ ἀκριβὴς τύπος τῆς σταλείσης ἐγκυκλίου ἐπιστολῆς. Κατὰ τὴν ἔκδοσιν ἐβασίσθην εἰς τὸ ἁγιοσαββαϊτικὸν ἀπόγραφον, λαβὼν ὑπ' ὄψει καὶ τὸ ἕτερον πρωτότυπον σχέδιον, οὗτινος τὰς οὐσιωδεστέρας διαφορὰς καὶ ὑποσημειοῦμαι ὧδε. Ἡ ἐν ἀγκύλαις περίοδος ἐλήφθη ἐκ τοῦ 370 πατρ. κωδικός.

1 Οἱ ἀπανταχοῦ εὑρισκόμενοι] ἐλλείπουσιν ἐν τῷ 370.

Ἐνθάδε ἐλήλυθαν δύο ἀδελφοὶ ἐκ τῶν αὐτόθι, ὁ ἐκ τῆς νήσου Χίου ὁρμώμενος εὐλαβέστατος ἱερεὺς κῦρ Κωνσταντῖνος καὶ ὁ τιμιώτατος ἐν μοναχοῖς κῦρ Νικόδημος ὁ πρώην εὐταξίας τῆς αὐτόθι μεγάλης ἐκκλησίας, καὶ ἔδειξαν εἰς ἡμᾶς λιβέλλους πολλῶν ὄντας αἰτιαμάτων μεστούς, ὧν ἔλεγαν εἶναι τὰ ἴσα τῶν γραμμάτων τῆς αὐτόθι γενομένης μερικῆς ἁγίας συνόδου ὑπὸ τῶν πατερωτάτων μητροπολιτῶν καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ εὐλαβεστάτων καὶ θεοσεβεστάτων ἁγίων κληρικῶν, καὶ ὑπὸ τῶν ἐνδοξοτάτων καὶ χρησιμωτάτων ἀρχόντων τῆς αὐτῆς ἁγίας μεγάλης ἐκκλησίας, τῆς ἀνακρινάσης καὶ ἀναθεωρησάσης τὰ γενόμενα ἐγκλήματα παρὰ τοῦ πατριάρχου κῦρ Διονυσίου καὶ τῶν αὐτοῦ ἐξάρχων, τοῦ τε Μητροφάνους καὶ τοῦ Ῥόδου τοῦ ἐπονομαζομένου Καρύδη, καὶ τὴν αὐτοῦ παραίτησιν. Καὶ (περὶ) μὲν τοῦ πρώτου, Μητροφάνους, ὃν ἀπέστειλεν εἰς τὴν Βενετίαν, (ὅτι) αὐτὸς ἀπῆλθε μέχρι τῆς παλαιᾶς Ῥώμης, ὡς διαλαμβάνει τὸ ἴσον χειρόγραφον τῆς ἐπιστολῆς τοῦ αὐτοῦ Μητροφάνους καὶ ἐξ αὐτῆς ἐγνώκαμεν καὶ τὲς ἄθεσμες φλυαρίες καὶ τὲς καινοτομίες ἃς ἐπεχείρησεν ποιῆσαι ἔν τε Ἐνετίαις καὶ ἐν τῇ παλαιᾷ Ῥώμῃ εἰς τὸν Πάπαν, ἀνόσια ῥήματα καὶ ἀπεναντία τῆς καθ' ἡμῶν ὀρθοδόξου πίστεως. [Τὸν δὲ ἄλλον ἔξαρχον Ῥόδου τὸν λεγόμενον Καρύδην, ὃν ἀπέστειλεν εἰς τὰ Δωδεκάννησα καὶ αὐτὸς ἐδιάβηκεν εἰς τὴν Κύπρον καὶ ἐνθάδε ἐλήλυθεν καὶ τὸν ἐξετάσαμεν ἐπ' ἀκριβείας καὶ αὐτὸς ἀρνήθηκεν ὅτι πῶς δὲν ἔποικεν. Ὅμως οὐκ οἴδαμεν τὸ ἀληθές, ἔποικεν ἢ δὲν ἔποικεν ζητείαν ἐκεῖσε]. Τὸ δὲ μειζότερον καὶ ἀνίατον τραῦμα καὶ κοινὸν ναυάγιον πάσης τῆς οἰκουμένης, ἡ ἄθεσμη προσθήκη τῶν φλωρίων. Πλὴν εἰς τοῦτο δεόμεθα καὶ

4 ἁγιωτάτης μεγάλης]κῶδ. πατριαρχ. || λιβέλλους] ἐν τῷ πατρ. «διάφορα χαρτία ὡς ἔλεγαν τὰ ἴσα τῶν γραμ. τῆς αὐτόθεν». 11 ἐκλήματα] κῶδ. πατρ. «ἐγκλήματα τοῦ πατρ. κῦρ Διονυσίου [καὶ] τῆς αὐτοῦ παραιτήσεως. τὸ δὲ δεύτερον τὸν αὐτοῦ ἔξαρχον τόν τε Μητροφανους καὶ τοῦ Ῥόδου καὶ τοῦ ἑτέρου τοῦ ἐπονομαζομένου Καρρίδη, καὶ τοῦ μὲν πρώτου Μητροφάνους· ἣν ἀπέστειλεν εἰς τὴν Βενετία. αὐτος δὲ ἀπῆλθεν» κτλ. 17 καινοτομίες] κῶδ. πατρ. «κενοτομίες ἣν ἔπικεν ἐν τῇ Βενετία». 20 κῶδ. πατρ. «πίστεως τὸν δὲ ἄλλον» κτλ. Κῶδ ἁγιοσαβ. «πίστεως. αὐτὸς ἐδιέβη εἰς την Κύπρον καὶ οὐ γινώσκομεν το ἀληθές. ἔπηκεν ἐκείσε ζητεία ἢ οὐχί. τὸ δὲ μειζότερον» κτλ. 26 πλὴν] κῶδ. πατρ. «ὅμως».

ἐκλιπαροῦμεν πάντας ὑμᾶς, εἰ μὲν θέλετε νὰ διορθωθῇ ἡ ἐκκλησία τοῦ Χριστοῦ καὶ νὰ παύσουν καὶ τὰ σκάνδαλα καὶ ἄλλοτε ποτε τοιούτες καινοτομίες νὰ μὴν παρακολουθήσουν εἰς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, ἂς συναχθοῦν ὅλοι οἱ ἀρχιερεῖς τῆς δύσεως καὶ τῆς ἀνατολῆς καὶ οἱ εὐλαβέστατοι καὶ θεοσεβέστατοι κληρικοὶ τῆς μεγάλης ἐκκλησίας καὶ οἱ εὐγενέστατοι καὶ χρησιμώτατοι ἄρχοντες, καὶ θέσετε νόμον εἰς τὸ μέσον καὶ ἀναθεωρήσατε τὰ πάντα ἐν ἀκριβείᾳ ἀπαθῶς, τοῦ τε πατριάρχου κυροῦ Διονυσίου τὰ ἐγκλήματα καὶ τῶν αὐτοῦ ἐξάρχων, ἀλλὰ μὴν καὶ τῶν ποιησάντων τὴν προσθήκην τῶν φλωρίων. Καὶ ὁ μὲν πατριάρχης κῦρ Διονύσιος, ὁποῦ ἐδέχθη τὴν προσθήκην τῶν φλωρίων καὶ ἂν ἔποικεν καὶ τὰ ἄνωθεν γεγραμμένα ἐγκλήματα, κατὰ νόμους νὰ εὐθύνεται καὶ νὰ μὴν ἀντείπῃ, ἵνα μὴ γένηται τὸ σχίσμα εἰς παράλυμα· καὶ ὅσοι ἔποικαν τὴν προσθήκην τῶν φλωρίων, καθὼς φάσκουν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες νὰ εὐθύνωνται, εἰ δὲ καὶ παρήκουοι θελήσουν γενέσθαι, ἂς ἀναμνησθοῦν τὸν μακαριώτατον ἀπόστολον Παῦλον λέγοντα· «οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ· ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται» καὶ τὰ ἑξῆς. Καὶ πάλιν λέγει· «ἴδε σὺ Ἰουδαῖος ὀνομάζῃ καὶ ἐπαναπαύῃ τῷ νόμῳ καὶ καυχᾶσαι ἐν Θεῷ καὶ γινώσκεις τὸ θέλημα καὶ δοκιμάζεις τὰ

3 κῶδ. ἁγιοσαβ. «τοιούτες» κτλ. Κῶδ. πατρ. «τοιοῦτοι καινοτομίαν νὰ μὴν παρακολουθήσῃ» 4 ἂς συναχθοῦν] κ. π. «ἂς ἔλθουν». 7 [καὶ θέσετε] κ. π. «καὶ ἂς βάλλουν τὸν νόμον εἰς τὸ μέσος, καὶ νὰ μὴν ποιήσουν καμμίαν προσωποληψίαν τινός ἢ κατὰ πάθος, ἀμὴ ὁ πατριάρχης κῦρ Διονύσιος ὁποῦ ἐδέχθη τὴν προσθήκην τῶν φλωρίων, καὶ ἔποικεν καὶ τὰ ἄνωθεν γεγραμμένα ἐγκλήματα καὶ ἔποικεν καὶ παραιτησιν κατὰ νόμους νὰ εὐθύνεται καὶ νὰ μὴν ἀντέρι καὶ ὅσοι ἔποικαν τὴν ἀπανάβασιν καθὼς διακελεύουν οἱ νόμοι νὰ εὐθύνωνται καὶ αὐτοί· καὶ νὰ μὴν τους θείοις καὶ ιερους κανόνας ἀντίπουν, καὶ ἐὰν ὄντως κατὰ τοὺς θείους καὶ ιεροὺς κανόνας νομίμως ποιησεται, καὶ ἡμεῖς μεθ' ἡμῶν θέλομεν εἶστε, καὶ ὄντινα νομίμως συγχωρήσεται ἔχομέν τον καὶ ἡμεῖς συγχωρημένον· καὶ ὄντινα κατὰ νόμους ἀφορίσεται, ἔχομέν τον καὶ ἡμεῖς ἀφωρισμένον, καὶ ὄντινα ὑμεῖς καθηρεῖτε, ἔχομέν τον καὶ ἡμεῖς καθηρημένον· ἂν ποιησετε κατὰ νόμους καὶ καμμίαν προσωποληψίαν μὴ ποιησεται, οὕτως θέλομεν εἶσται καὶ ἡμεῖς μεθ' ὑμῶν· ἡ δὲ ἀπέναντι τοῦ νόμου πράξετε καὶ τοὺς μὲν θελήσετε ὅτι νὰ καθήρετε, τοὺς δὲ κατὰ προσωποληψίαν ὅτι νὰ συγχωρήσετε· ἂν οὕτως ποιήσετε, ἐσεῖς νὰ ὀψεσθε· ἐγὼ ἄδικος κριτὴς οὐ θέλω γενέσθαι, ἀλλ' οὐδὲ προσωπολήπτης· καὶ περὶ τῶν εἰδώτων ἀρκεῖ ἕως ἐνταῦθα» κτλ. 17 Πρὸς Ρωμ. 2. 11, 12. 20 Πρὸς Ρωμ. 2. 17—21.

διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου· πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις»; καὶ τὰ ἑξῆς. Καὶ πάλιν· «ὃς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις»· τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι καὶ ἡ ἐκκλησία τοῦ Χριστοῦ ὑφ' ὑμῶν πολεμεῖται καὶ κινδυνεύει ἡμέρα τῇ ἡμέρᾳ νὰ ἔλθῃ εἰς τέλειον ἀφανισμόν. Διὰ τοῦτο ἀναμνησθῆτε τὸν ποτὲ Σωζοπόλεως Ἰωαννίκιον τί γέγονεν εἰς αὐτὸν ὑπὸ Θεοῦ, διὰ τὴν προσθήκην ὁποῦ ἔποικεν εἰς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ μὴ γίνεσθε ἀπειθεῖς καὶ παρήκοοι τοῦ νόμου, καθάπερ ἐκεῖνος. Οὕτω δεόμεθα καὶ ἀντιβολοῦμεν νὰ ποιήσετε οἱ πάντες, ἵνα μὴ καὶ ὑμεῖς τὰ αὐτὰ πάθητε. Καὶ περὶ τῶν εἰδώτων ἀρκεῖ ἕως ἐνταῦθα. Ὁ δὲ Θεὸς τῆς εἰρήνης καὶ τῆς παρακλήσεως εἰρηνεύσοι καὶ διαφυλάξοι τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν ἀπὸ παντὸς κινδύνου καὶ ἐγκαταλείψεως ἀπολιόρκητον, καὶ πρὸς χαρὰν καὶ εὐφροσύνην ἐπαναγάγοι αὐτήν τε καὶ ὑμᾶς διὰ πρεσβειῶν τῆς παμμακαριστου αὐτοῦ Θεομήτορος καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

5 Πρὸς Ρωμ. 2, 23. 18 ὑμᾶς] κῶδ. πατρ. «ὑμᾶς μεθ' ὧν καὶ κληρονόμοι γενόμενοι ἅπαντες τῆς αἰωνίου μακαριότητος διὰ πρεσβειῶν» κτλ.

XI.

ΚΥΡΙΛΛΟΥ ΛΟΥΚΑΡΕΩΣ

πάπα καὶ πατριάρχου Ἀλεξανδρείας

Διάλογος βραχύς, ἐν ᾧ καταλεπτῶς θεωρεῖται ὁ κίνδυνος ὁποῦ μέλλει νὰ προξενήσῃ πολὺ κακὸν καὶ ζημίαν, προβαίνοντος τοῦ καιροῦ, εἰς τὴν Ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως διὰ τῆς παρουσίας τῶν Γεζουϊτῶν εἰς τὸν Γαλατᾶ, καὶ σκέψις πῶς ἤθελεν εἶσται δυνατὸν ὁ τοιοῦτος κίνδυνος νὰ καταλυθῇ.

Τὰ τοῦ διαλόγου πρόσωπα Ζηλωτὴς καὶ Φιλαλήθης.

(Cod. Sabb. 91, f. 445—472).

Ζ. Χαίροις, ὦ Φιλάληθες! Ἀπὸ πολλοῦ σὲ ἐγύρευα νὰ σὲ ἐρωτήσω ἂν ἦναι πρέπον καὶ δίκαιον νὰ μὲ συμβουλεύσῃς, τινὰς νὰ ἀποθάνῃ διὰ τὰ δόγματά του τὰ ἀληθῆ καὶ ὁποῦ εἶχεν ἀπὸ τοὺς πατέρες του; διατὶ ἔχω ἀκουστὰ ἀπὸ τοὺς προτήτερούς μου ὅτι εἶναι κάλλιον τινὰς νὰ ἀποθάνῃ παρὰ νὰ παρέβῃ τὴν ἀλήθειαν. Εἰς τοῦτο λοιπὸν σὲ ἐγύρευσα καὶ παρακαλῶ σε νὰ μοῦ εἰπῇς ἂν πρέπῃ.

Φ. Θαυμάζω, ὦ Ζηλωτά, πῶς τόσον σπουδαίως ἄρχεσαι καὶ πῶς μὲ τοιαύτην προθυμίαν μοῦ συντυχαίνεις, καὶ κἂν δὲ μὲ ἀφῆκες νὰ σοῦ ἀποκριθῶ εἰς τὸν χαιρετισμόν, ἀμὴ μ' ἐρωτᾷς πράγματα ὁποῦ δὲν ἠξεύρω τί σε ἀναγκάζει νὰ μὲ ἐρωτᾷς.

Ζ. Ἐρωτῶ διατὶ βλέπω ὅτι εἶναι καιρὸς τινὰς νὰ ἀποθάνῃ, ἐπειδὴ τόσον καιρὸν ὁποῦ ἤμασθεν ἀπὸ κάτω ἀπὸ τοὺς Τούρκους τὰ δόγματά μας καὶ ἡ ὀρθοδοξία μας στέκουνται σῶα, καὶ τώρα νεωστὶ ἦλθαν οἱ λεγόμενοι Γεζουῖται καὶ μὲ πολλὴν πονηρίαν καὶ ὑπόκρισιν πάσχουν νὰ μᾶς τὰ ἀναστρέψουν καὶ νὰ τὰ χαλά-

σουν ὅλα. Τοῦτο λογιάζωντας κρίνω πῶς εἶναι καλλιότερον νὰ ἀποθάνῃ τινὰς παρὰ νὰ ζῇ.

§ α'. Ἡ ἐπισκοπὴ τοῦ Σινᾶ ὄρους πότε ἐγίνη οὐ δυνάμεθα εἰπεῖν· πῶς ἦτον ὅμως ἐπὶ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου, εἶναι φανερὸν ἀπὸ σάκραν Μαρκιανοῦ τοῦ αὐγούστου, ὁποῦ ἔγραψεν εἰς τὴν ἐν Ἱεροσολύμοις σύνοδον καὶ εἰς τοὺς ἀρχιμανδρίτας τῶν ἐν τῷ Σινᾶ μοναστηρίων κατὰ Θεοδοσίου τοῦ αἱρετικοῦ, καὶ ἰδὲ τὸ τρίτον μέρος τῆς ἐν Χαλκηδόνι συνόδου. Ὅτι δὲ ἦτον ὑποκειμένη εἰς τὸν ἀποστολικὸν τῶν Ἱεροσολύμων θρόνον, ἔστι φανερὸν ἀπὸ τὸ τακτικὸν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, ἀπὸ τὸ λειμωνάριον τοῦ Ἱεροσολύμων Σωφρονίου, ἀπὸ τὴν ἐπὶ Μηνᾶ ἐν Κωνσταντινουπόλει σύνοδον, ἀπὸ τὴν ἐπιστολὴν Γενναδίου τοῦ Σχολαρίου πρὸς τοὺς Σιναΐτας, ἀπὸ συνοδικὰ ὁποῦ προέβησαν κατὰ

διαφόρους καιρούς, καὶ ἀπὸ τὴν παντοτεινὴν πρᾶξιν τῆς καθολικῆς ἐκκλησίας, ὡς εἴπομεν πλατύτερον ἐν τῇ κατὰ τῆς αἱρέσεως ταύτης ἡμῶν πραγματείᾳ, καὶ ἀπὸ τὸν μερισμὸν ὁποῦ ἔκαμαν ὁ Ἱεροσολύμων καὶ Ἀντιοχείας ἐπὶ τῆς τεταρτης συνόδου τῶν ὁρίων αὐτῶν. Ἐπειδὴ ἦσαν κατά τινα ἰδικὴν συνήθειαν εἰς Ἱερουσαλὴμ καὶ ἐπισκοπαί τινες αὐτοκέφαλοι, οὐκ εἰς μητροπολίτην ἀλλ' ἀμέσως εἰς τὸν πατριάρχην ὑποκείμεναι, ἡ ἐπισκοπὴ τοῦ Σινᾶ ἦτον εἰκοστὴ τεταρτη. Ὅταν δὲ ἐπήρασιν οἱ Φράγκοι τὴν Ἱερουσαλὴμ, δηλονότι ἐν ἔτει 1099, οἱ πατριάρχαι εὑρισκόμενοι εἰς ἀνωμαλίας τὴν ἔκαμαν νὰ εἶναι ἐπισκοπὴ τοῦ Πέτρας, ὡσὰν ὁποῦ εἶναι ἐκεῖ σιμά· καὶ ὅταν ἐγένετο εἰρήνη, πάλιν τὴν εἶχαν εἰς τὴν πρώτην τάξιν. Ἐζήτησεν ὁ Σινᾶ ὄρους Λαυρέντιος νὰ φορῇ μίτραν καὶ τὸν ἀφώρισαν οἱ τέσσαρες πατριάρχαι καὶ ἐπαραιτήθη καὶ ἦτον εἰρήνη. Ἐν ἔτει δὲ 1660 ὁ ὑποψήφιος τοῦ Σινᾶ Νεκτάριος χειροτονηθεὶς πατριάρχης Ἱεροσολύμων, ἔπεμψαν οἱ Σιναΐται Ἀνανίαν τινὰ ὁρμώμενον ἀπὸ Καραμανίας καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ ἐπίσκοπος τοῦ Σινᾶ. Ἐπειδὴ δὲ ἐκ τῶν αὐτοκεφάλων ἐπισκόπων ἐχειροτόνησαν οἱ πατριάρχαι οἰκονομικῶς τινας εἰς ἀρχιεπισκόπους, ἐχειροτόνησε καὶ ὁ Νεκτάριος τὸν Ἀνανίαν ἀρχιεπίσκοπον φιλοτιμίας χάριν τοῦ Σινᾶ. Χειροτονηθεὶς ὅμως ὁ Ἀνανίας ἀρχιεπίσκοπος ἄρχισε νὰ εὐφημίζεται "μακαριώτατος" καὶ νὰ μνημονεύῃ ὡς πατριάρχης. Ὅθεν ἠκολούθησαν πολλὰ καὶ τέλος πάντων καθῃρέθη καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ ἕτερος ἐπίσκοπος εἰς τὸ Σινᾶ καὶ ἐγένετο πάλιν ἡσυχία. Ἐν ἔτει δὲ 1686 ἐλθὼν εἰς Ἀδριανούπολιν πέσβυς Μόσχοβος, τὸν ἐπαρακινήσαμεν ἡμεῖς καὶ ἐσύντυχε καὶ ἔδωκεν ἡ βασιλεία ὁρισμὸν καὶ ἀνακαινίσθη ἡ ἐκκλησία τῶν Σιναϊτῶν εἰς Βυζάντιον, εἰς τοῦ Κυνηγοῦ, ὅπου εὑρεθεὶς καὶ ὁ Ἀνανίας ἔδωκε τῷ τότε Κωνσταντινουπόλεως πατριάρχῃ Διονυσίῳ μερικὰ χρήματα, μεταχειρισθεὶς μέσον τὸν τότε τοῦ πατριαρχείου λογοθέτην (περὶ οὗ εἰς τὸ ἑξῆς κεφάλαιον ῥηθήσεται) καὶ τοὺς ἔκαμεν ἕνα γράμμα συνοδικὸν νὰ εἶναι ἡ εἰρημένη ἐκκλησία μετόχιον. Ἔβαλε δὲ ὁ λογοθέτης εἰς τὸ προοίμιόν τινα ἐγκώμια τοῦ Σινᾶ ὄρους (ἀρχιεπισκόπου), πῶς τάχα

φορεῖ καὶ εὐφημίζεται ὡς καὶ οἱ λοιποὶ πρῶτοι. Οἱ οὖν Σιναῖται μὲ τοῦτο ἐνόμισαν νὰ ἐγινήκασιν αὐτεξούσιοι καὶ ἄρχισαν νὰ λέγουν καὶ νὰ γράφουν τὸν Σινᾶ ὄρους "μακαριώτατον καὶ ἁγιώτατον". Καὶ ἄλλα ἄρχισαν νὰ κάμουν πολλὰ παράνομα, τὰ ὁποῖα ὄντα ὑπέρογκα ἐγένετο ἐν Κωνσταντινουπόλει συνοδικὸν καὶ ἀνεγνώσθη ἐκεῖ καὶ ἐπέμφθη καὶ εἰς τὸν Ἀλεξανδρείας ἕτερον καὶ εἰς τὸν Ἀντιοχείας ἄλλο, καὶ γνωσθέντα κανονικὰ παρὰ τῶν πατριαρχῶν ἀνεγνώσθησαν καὶ ἐκεῖ, περιέχοντα ὅτι ὁ Σινᾶ ὄρους εἶναι ἁπλῶς "ἀρχιεπίσκοπος" καὶ λέγεται "θεοφιλέστατος" καὶ εἶναι ὑποκείμενος τῷ Ἱεροσολύμων καὶ χειροτονεῖται παρ' αὐτοῦ κανονικῶς καὶ μνημονεύει αὐτοῦ καὶ μήτε μίτραν φορεῖ, μήτε τίτλον γράφει εἰς τὰ γράμματά του, μήτε συγχωροχάρτια δίδει.

§ β'. Οἱ δὲ Σιναῖται ἀντὶς νὰ ταπεινωθοῦν, ἔκαμαν σύναξιν καὶ εἶπον ὅτι καὶ ὅρκους νὰ κάμουν καὶ φόνους καὶ ἔξοδα καὶ πᾶν ἄλλο κακὸν κατὰ τῶν πατριαρχῶν, μόνον τὸ θέλημά τους νὰ κάμουν. Καὶ δὴ ἔδωκαν ἄσπρα καὶ ἐπῆραν ἀπὸ τοὺς σοφοὺς τῶν ἐν Αἰγύπτῳ Σαρακηνῶν φετφάδες καὶ χοντζέτι ἀπὸ τὸν κατὴν τοῦ Κάιρος, ὅτι "εἰς τὸ μοναστήριον τοῦ Σινᾶ εἶναι ναὸς εἰς τὸν ὁποῖον ἐπροσκύνησεν ὁ προφήτης (Μωάμεθ) καὶ ἔρχονται οἱ μουσουλμάνοι καὶ προσκυνοῦν καὶ τρέφονται καὶ φιλοξενοῦνται ἀπὸ τοὺς καλογήρους τοὺς Σιναΐτας, καὶ ἐπειδὴ οἱ πατριάρχαι ἔγραψαν γράμματα καὶ [ἀναθεμα]τίζουν τὴν ἐλεημοσύνην τοῦ Σινᾶ, εἶναι ἄξιοι θανάτου". Ἐπήρασι καὶ ἀναφορὰν κατὰ τὸ χον[τζέτι] καὶ δῶρα πολλά, καὶ ἦλθασιν εἰς Ἀδριανούπολιν ἐν ἐκείναις ταῖς ἡμέραις ὁποῦ ἐσπούδα[ζαν] οἱ Φράγκοι νὰ πάρουν τὸν ἅγιον τάφον, καὶ ἐπήγασι μὲ τινῶν μεγιστάνων μέσον νὰ πάρουν ὁρισμὸν νὰ μᾶς σκοτώσουν. Ὁ δὲ βεζύρης εἶπεν ὅτι "αὐτὰ τὰ γράμματα εἶναι παράνομα καὶ πεισματικά· τί γὰρ ἀνάγκην ἔχουν οἱ μουσουλμάνοι νὰ τρέφωνται ἀπὸ τοὺς χριστιανοὺς καὶ πῶς οἱ πατριάρχαι δύνουνται νὰ ἐμποδίσουν τὴν ἐλεημοσύνην"; Καὶ λοιπὸν ἀπεφάσισεν ὅτι "οἱ Σιναῖται ἂν εἰς τὰς τάξεις καὶ τὰ ἤθη τῆς πίστεως αὐτῶν δὲν κάμνουν καινοτομίαν τινά, τινὰς νὰ μὴ τοὺς ἐνοχλῇ καὶ τὸν ἐπίσκοπον αὐτῶν τινὰς νὰ μὴ τὸν πειράζῃ".

§ γ. Οἱ Σιναΐται σὰν εἶδαν ὅτι δὲν ἐπήρασιν ὁρισμὸν ὡς ἐβούλοντο, ἐπῆγαν εἰς τὸν πρέσβυν τῆς Φράντζας καὶ τοῦ ἔλεγαν "εἰς ἐστιν οἰκουμενικός, ὁ πάπας, οἱ δὲ πατριάρχαι ἡμῶν εἰσι τουρκοπατριάρχαι. Τί περιμένεις λοιπὸν καὶ δὲν πέρνεις τὰ προσκυνήματα ὁποῦ ὁ Ἱεροσολύμων ὑβρίζει καὶ βλασφημεῖ σε καὶ τὸν βασιλέα σου"; Καὶ ἄλλα εἶπον διόλου ἄθεα, γενόμενοι ὅσον κατὰ τὴν προαίρεσιν αὐτῶν συνεργοὶ τῶν Λατίνων νὰ πάρουν τὸν ἅγιον τάφον· ὁ δὲ πρέσβυς τοὺς ἀπεκρίθη φρόνιμα καὶ τοὺς ἀπέβαλεν. Ὕστερον ἐπήγασιν εἰς τὴν Πόλιν καὶ τοὺς ἤλεγξεν ἡ σύνοδος μετρίως. Ἐπήγαμεν καὶ ἡμεῖς ἐκεῖ καὶ μᾶς ἔσυραν εἰς κρίσιν ὁμοῦ μὲ τὸν παναγιώτατον· καὶ σὰν δὲν ἔκαμαν τίποτα νὰ πάρουν γράμμα ὡς ἐβούλοντο, ἔταξαν τοῦ ἀνθυπάτου φλωρία χιλιάδας ἓξ νὰ σκοτώσουν ἐμέ. Ἔστειλε νὰ μὲ πιάσῃ· ἔφυγον νεύσει θεία καὶ ἐπῆγα εἰς Ἀδριανούπολιν. Ἔγραψα καὶ ἐγώ, τὸν ἄλλαξαν καὶ ἔγινεν ἄλλος. Ἐπῆγαν οἱ Σιναΐται εἰς τὸν βεζύρην, ἔφερον ὁρισμὸν καὶ ἐκρίθησαν μεθ' ἡμῶν εἰς Ἀδριανούπολιν καὶ μὲ τὸν παναγιώτατον εἰς Κωνσταντινούπολιν καὶ πάλιν ἀπεβλήθησαν. Ὅταν δὲ ἐπανῆλθεν ὁ βεζύρης ἀπὸ Μπελιγραδίου, πάλιν ἔτρεχαν εἰς κρίσεις. Εἴχομεν φροντίδα διὰ τὸ χαράτζι ὁποῦ τὸ ἔρριψαν τότε, αὐτοὶ δὲ ἔτρεχον εἰς κρίσεις. Τοὺς ἐδίωξεν ὁ βεζύρης, ἔδωκεν ἡμῖν ὁρισμὸν νὰ μὴν ἔχωμεν ἐνόχλησιν, ἐπῆγεν ὁ βεζύρης εἰς Μπελιγράδιον καὶ ἐσκοτώθη. Αὐτοὶ πάλιν ἦλθον εἰς τὴν Ἀδριανούπολιν εἰς τὸν γεγονότα νέον βεζύρην· ἤμεθα δὲ ἡμεῖς καὶ ὁ παναγιώτατος πατριάρχης ἐκεῖ, ἐδώσαμεν ἀναφορὰν τῷ βεζύρῃ καὶ ἐπρόσταξε καὶ τοὺς ἔβαλαν εἰς δεσμὰ καὶ ἐκρίθημεν μετ' αὐτῶν εἰς τὸ βασιλικὸν βῆμα καὶ εὑρέθησαν ψεῦσται καὶ κακοὶ ἄνθρωποι. Ὅθεν ἐκείνους ἐπρόσταξε καὶ ἐπῆγαν εἰς τὴν Αἴγυπτον, ἡμῖν δὲ ἔδωκεν ὁρισμοὺς ἰσχυρούς, ὅτι "καὶ αὐτοὶ καὶ ὁ ἐπίσκοπος αὐτῶν νὰ ὑποτάσσωνται εἰς τοὺς τέσσαρας πατριάρχας".

§ δ'. Ἐπροξένησαν δὲ ἡμῖν τὰ σκάνδαλα αὐτῶν οὐ μόνον κόπους καὶ χασομερίαις καὶ ἔξοδα πολλά, ἀλλὰ καὶ εἰς Ἀδριανούπολιν ἂν ἔλιπαν αὐτοὶ δὲν ἀφίναμεν νὰ πάρουν τὸν ναὸν τῆς

ἁγίας Βηθλεὲμ καὶ τὴν καμάραν ὁποῦ εἶναι ἔμπροσθεν τοῦ ἁγίου τάφου καὶ τὴν εὕρεσιν τοῦ σταυροῦ οἱ Φράγκοι.

§ ε'. Ἦτον δὲ ἡ αἵρεσις αὐτῶν ὅτι ἤθελαν ὁ ἀρχιεπίσκοπος τοῦ Σινᾶ νὰ εἶναι αὐτοκέφαλος, νὰ εἶναι τρίτος τῶν αὐτοκεφάλων καὶ μήτε σύνοδος μήτε οἱ πατριάρχαι νὰ δύνωνται νὰ κρίνουν ἢ Σιναΐτην ἢ τὸν ἐπίσκοπον αὐτῶν, καὶ ὅτι ὅλοι οἱ πατριάρχαι καὶ ἀρχιερεῖς εἶναι παράνομοι, μόνος δὲ ὁ Σινᾶ ὄρους καὶ οἱ καλόγεροί του νὰ εἶναι ἡ καθόλου ἐκκλησία. Συνετάξαμεν δὲ ἡμεῖς κατὰ τῆς αἱρέσεως ταύτης πραγματείαν, ἔνθα οἱ φιλομαθεῖς εὑρήσουσιν εἰς πλάτος πάντα τὰ τῆς ὑποθέσεως ταύτης.

Κεφ. ε', περὶ τῆς αἱρέσεως τοῦ λογοθέτου.

§ α'. Εἴρηται περὶ τοῦ Κορυδαλλέως ἐν τῷ ἀνωτέρῳ βιβλίῳ, ὅτι ἀποθανὼν συναπέθανε καὶ ἡ αἵρεσις αὐτοῦ. Ἔμεινεν ὅμως εἷς μαθητὴς αὐτοῦ ὀνόματι Ἰωάννης, ὁρμώμενος ἀπὸ χωρίον κείμενον κατὰ ἀνατολὰς τοῦ πολιχνίου Μετρῶν καὶ ὀνομαζόμενον Καρυαίς· κατῆγε δὲ τὸ γένος ἀπὸ Ἀθιγγάνων, περὶ ὧν λέγει ὁ Θεοφάνης εἰς τὴν ζωὴν Μιχαὴλ τοῦ Κουροπαλάτου ὅτι ᾤκουν εἰς Λυκαονίαν καὶ ἐμάχοντο τῷ μυστηρίῳ τῆς εὐχαριστίας μάλιστα. Ἐκ τούτων καταγόμενος ὁ παρὼν Ἰωάννης καὶ μαθητευθεὶς τῷ ἀθέῳ Κορυδαλλεῖ ἀπέμαζε παρ' αὐτοῦ κατὰ τοὺς προγόνους τὴν κατὰ τῶν ἱερῶν μυστηρίων βλασφημίαν. Ἦτον δὲ εἰς τὴν τέχνην χρυσοχός, τὴν ὁποίαν ἀφεὶς ἔγινε γούναρις, ὅτε ἐσχεδίασε φυλλάδιόν τι πεπονηρευμένον κατὰ τῆς θείας κοινωνίας μαχόμενος τῇ μετουσιώσει· τὸ ὁποῖον ἔδειχνε κρυφὰ εἰς τινάς. Μαθὼν δὲ τοῦτο ὁ τηνικαῦτα ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως Παρθένιος ὁ γέρων, ὁ καὶ πρῶτος παρ' ἡμῶν ῥηθεὶς ἀνωτέρω, ἤθελε νὰ τὸν καθήρῃ—ἦν γὰρ κληρικὸς—καὶ νὰ τὸν ἀναθεματίσῃ· ἀλλ' ὁ πενθερὸς αὐτοῦ ὢν μέγας οἰκονόμος ἐδεήθη τοῦ πατριάρχου καὶ ἐσυγχώρησεν αὐτῷ, ὑποσχεθέντι τοῦ λοιποῦ μὴ νεωτερίζειν.

β'. 1664 ἐγένετο εἰς Βλαχίαν αὐθέντης ὁ Ῥάδουλ βοεβόδας, μεθ' οὗ εἶχε φιλίαν ὁ παρὼν Ἰωάννης χαρτοφύλαξ ὤν, καὶ ἐπῆγε

μαζί του καὶ ἔγινε βεστιάρης. Ἦλθεν ἐκεῖ καὶ ὁ Ἀνανίας Σινᾶ ὅρους (ἀρχιεπίσκοπος) ἀπὸ Μοσχοβίας, καὶ αὐτὸς τὸν ἐβεβαίωνε πῶς φρονεῖ καλὰ καὶ τὸν ἐπαρακίνει εἰς ἀποστασίαν. Τέλος πάντων ἔγινε καὶ μέγας λογοθέτης ὁ Ἰωάννης, περὶ δὲ τοῦ μυστηρίου ὅλον κρυφὰ ἔλεγεν εἰς τινας εἴ τι ἐδύνετο βλάσφημον. Ἤρχοντο εἰς ἡμᾶς καὶ τὰ ἔλεγον τινες· ὅθεν αὐτοὶ ἐπ' ἐκκλησίας εἰς τὰς ὁμιλίας ἐποιοῦμεν τὴν ἀντίρρησιν τῶν λόγων αὐτοῦ, πλὴν ἀνωνύμως. Ὅθεν αὐτὸς ὅλον ἐφοβεῖτο νὰ εἰπῇ περισσότερον, εὐλαβούμενος τὸν ἔλεγχον. Σὰν δὲ ἦλθον οἱ Σιναῖται καθ' ἡμῶν (1689), αὐτὸς τοὺς ἐσυμβούλευσε καὶ τοὺς ἔμαθε νὰ κάμουν εἴ τι νὰ κάμουν, μόνον τὸν Ἱεροσολύμων ἐμὲ νὰ ἀποκτείνουν καὶ ὄχι πῶς εἶναι συγχωρημένον ἀλλ' ὅτι ἔχουσι καὶ μεγάλον μισθὸν διὰ τάδε καὶ τάδε αἰτίας. Καὶ λοιπὸν αὐτὸς ὁ Ἰωάννης νὰ σπείρῃ τὴν αἵρεσίν του ἐφοβεῖτο τὴν δίστομον τοῦ ἁγίου Πνεύματος μάχαιραν, Μελέτιον τὸν Συρίγου· οὗ θανόντος ἐφοβεῖτο τὸν Ἱεροσολύμων Νεκτάριον καὶ Παναγιώτην τὸν μέγαν δραγουμάνον τῆς βασιλείας καὶ μαθητὴν τοῦ Συρίγου. Κοιμηθέντων δὲ κἀκείνων ἐφοβεῖτο ἡμᾶς· ἀλλὰ νομίσας ὅτι ἀποκτενοῦσιν ἡμᾶς οἱ Σιναῖται, εἰς ἐρωταπόκρισιν τινῶν ζητημάτων ἔβαλε καὶ ἐρώτησιν περὶ μετουσιώσεως καὶ ἀπεκρίνετο ὅτι εἶναι λέξις βλάσφημος. Λαβόντες δ' ἡμεῖς εἰς Ἀδριανούπολιν τὸ σχέδιον τῆς ἀνομίας, τοῦ ἐγράψαμεν εἰρωνικῶς ὅτι "ἐμάθομεν πῶς συντάττεις περὶ μετουσιώσεως καὶ κάμε τελείωσέ το νὰ τὸ τυπώσωμεν"· ὁ δὲ λαβὼν τὸ γράμμα ἔγραφε τοῖς Σιναΐταις νὰ κάμουν νὰ σκοτώσουν τὸν αἱρετικὸν Ἱεροσολύμων. Εἶτα ἀποβουκοληθεὶς ἔγραψεν εἰς μερικὰ τετράδια ὅλην τὴν αἵρεσιν τοῦ Καλβίνου κατὰ τοῦ μυστηρίου· ἐποσοῦντο δὲ τὰ τετράδια σχεδὸν εἰς κόλας εἰκοσιπέντε, καὶ καθὼς ὁ Παμφίλου Εὐσέβιος ἔγραφε πολλὰ ἐγκώμια τοῦ Χριστοῦ—ἦτον δὲ ἡ ἔννοιά του νὰ εἶναι κτίσμα τὸ ἐξοχώτατον—ἔτζι καὶ ὁ λογοθέτης εἰς τὰ τετράδια ἔγραφε πολλὰ ἐγκώμια τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ ἐν τῷ μυστηρίῳ· ὅμως ἦτον ὁ σκοπὸς πῶς ὁ Χριστὸς εἶναι εἰς μόνον τὸν οὐρανὸν καὶ εἰς τὸ μυστήριον δὲν εἶναι πραγματικῶς, ἀλλ' εἶναι ὁ ἄρτος καὶ ὁ οἶνος σῶ-

μα καὶ αἷμα κατὰ χάριν εἰς τοὺς πιστεύοντας, εἰς δὲ τοὺς μὴ πιστεύοντας εἶναι ἁπλῶς ἄρτος καὶ οἶνος κοινός.

§ γ'. Ἐπονηρεύθη ὁ λογοθέτης καὶ δὲν ἔγραφε τίποτε ἐναντίον φανερῶς εἰς τὰ τετράδια ὅσον περὶ τοῦ μυστηρίου, ἀλλ' ἐπήνει μὲν τὰ κοινῶς περὶ τοῦ μυστηρίου λεγόμενα, διέστελλε δὲ ὅτι πνευματικῶς ἐννοεῖται· δὲν ἐδιαίρει ὅμως ποσαχῶς λέγεται τὸ πνευματικῶς καὶ κατὰ ποῖον τρόπον τὸ ἐννοεῖ. Ἐμάχετο δὲ ὑπούλως τῇ λέξει μόνῃ "μετουσίωσις"· ὅθεν πολλοὶ εἶχασι διὰ θαῦμα τὰ τέτραδα, οἳ δὲ καὶ μετέγραφον αὐτά. Ἐπειδὴ δ' αὐτοὶ ἐπανελθόντος τοῦ βεζύρη ἀπὸ Μπελιγραδίου ἤλθομεν εἰς Βυζάντιον καὶ ἀπεκαλύψαμεν τοῖς ἀδελφοῖς τὸν ἐγκεκρυμμένον ἰὸν ἐν τοῖς τετραδίοις, πάντες ἀνεθεμάτισαν αὐτά· καὶ συνόδου γενομένης καὶ γεγονότος γράμματος συνοδικοῦ περὶ τῆς εἰς τὸ μυστήριον εὐσεβείας, ὑπέγραψε καὶ ὁ λογοθέτης φοβηθεὶς τὸ ἀνάθεμα. Εἶτα τῇ κυριακῇ τῆς ὀρθοδοξίας ὁμιλήσαντες ἡμεῖς μετὰ τὴν λειτουργίαν εἰς τὸ πατριαρχεῖον ἀνεθεματίσαμεν τὰ τέτραδα καὶ τὰ ἐσχίσαμεν παρρησίᾳ, ἀνεθεμάτισαν δὲ αὐτὰ καὶ ἅπαντες, ἀρχιερεῖς καὶ κληρικοὶ καὶ ἄρχοντες καὶ ἅπας τοῦ Κυρίου ὁ λαός. Ὁ φιλομαθὴς ἰδέτω τὸ σχεδάριον ὅπου συνετάξαμεν περὶ τῆς ὑποθέσεως ταύτης [1].

Κεφ. ς', περὶ τοῦ πόσους τόπους ἐπεριπατήσαμεν ἕως ἄρτι.

Ἡ πατρὶς ἡ ἐμὴ καλεῖται Ἀράχωβα· ἡ ἐπαρχία, ἐν ᾗ κεῖται, ἐστὶν ἡ Κόρινθος. Ἐγεννήθην 1641 μαΐου 31 (ἡμέρα) τῶν ἁγίων πάντων. Ὁ πατὴρ Νικόλαος, ἡ μήτηρ Ἄννα ἀπὸ Τζερνίκης. 1656 ἐν μηνὶ νοεμβρίῳ 16 ἐξῆλθον τῆς πατρικῆς ἑστίας, ἦλθον εἰς Κωνσταντινούπολιν 1657 ἰανουαρίου 17, ἐπὶ σουλτὰν Μεμέτου. Τῷ αὐγούστῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἦλθον εἰς τὸν μακαριώτατον πατριάρχην Ἱεροσολύμων κῦρ Παΐσιον, εὑρισκόμενον ἐν Κωνσταντινουπόλει, ᾧ καὶ συνέπαθον ἐν οἷς ἔπαθε κακῶς διὰ τὴν κατα-

[1] Τὸ σχεδάριον τοῦτο ἐτυπώθη ἔτει 1694 ἐν Γιασίῳ, εἰς σχῆμα μικροῦ ὀγδόου. Ἀπὸ σελίδος 98—108 ἀναγινώσκεται ὁ «κατὰ τῶν τετραδίων καὶ τῆς αἱρέσεως τοῦ Καρυοφύλλη γεγονὼς συνοδικὸς τόμος», ὃν μετὰ 194 ἔτη ἐτύπωσεν ὡς ἀνέκδοτον ὁ Μανουὴλ Γεδεὼν ἐλλιπῶς τε καὶ ἐσφαλμένως. Κανον. διαταξέων τ. Ι, σ. 99—105.

σκευὴν τῆς μίτρας, ὡς εἴρηται ἀνωτέρω, καὶ 1658 ἐμισεύσαμεν μετ' αὐτοῦ εἰς Πάνορμον, εἰς Πέραμον καὶ εἰς Ἀρτάκην. Ἐποιήσαμεν το πάσχα τοῦ αὐτοῦ ἔτους ἐν τῇ νήσῳ Καλωνύμῳ Ἤλθομεν ἐκεῖθεν εἰς Κατιρλὴ εἰς τὴν ἁγίαν Κυριακὴν καὶ ἔπειτα εἰς Κωνσταντινούπολιν, ἀφ' ἧς ἐξήλθομεν μηνὶ μαΐῳ καὶ ἀπεδημήσαμεν εἰς Σινώπην, κἀκεῖθεν τὸν Ἰούνιον εἰς Ζηκχίαν, κἀκεῖθεν εἰς Μενγκρελίαν, κἀκεῖθεν εἰς τὸ Ἰμερέτι καὶ τὸν μάϊον ἤλθομεν εἰς Γκούριαν καὶ διὰ τῆς Λαζικῆς εἰς Τραπεζοῦντα 1659. Ἐκεῖθεν τὸν ἰούλιον εἰς Σουμελᾶ. εἶτα εἰς Κάνιν [1], εἶτα πάλιν εἰς Τραπεζοῦντα, ἐκεῖθεν εἰς Τρίπολιν καὶ ἔπειτα εἰς Σινώπην, ἐξ ἧς πλέοντες διὰ τὸν Τούναβιν ὑπὸ παρακαιρίας ἤλθομεν εἰς Ταυρόννησον εἰς τὸν Μπαλουκλαβᾶν, ἐκεῖθεν εἰς τὸν Τούναβιν εἰς τὸ Κελλί. Ἐκεῖθεν πλέοντες διὰ τὸ Βυζάντιον ὑπὸ κλύδωνος σφοδροῦ ἐπήγαμεν εἰς Σινώπην, κἀκεῖθεν εἰς Νεοχώριον τὸν νοέμβριον, εἶτα εἰς Ἀδριανούπολιν, εἶτα εἰς Κωνσταντινούπολιν, ὅτε καὶ τὸ πάσχα ἐποιήσαμεν ἐν Νεοχωρίῳ 1660. Ἀπὸ Κωνσταντινουπόλεως εἰς Κίον, εἰς Προῦσαν, εἰς Μιχαλήτζην. εἰς Πέραμον, εἰς Καλλιούπολιν, εἰς Μόλυβδον τῆς Λέσβου καὶ τέλος εἰς Χίον, ἔνθα ἀσθενήσαντος τοῦ πατριάρχου ἐμείναμεν ἄχρι καιροῦ. Εἶτα ἀπήλθομεν εἰς Κῶν, εἰς Ἀλικαρνασσόν, εἰς Ῥόδον, εἰς Καστελλόρ-

[1] Ἐν σελίδι 6 τοῦ ἐν Γκιουμουσχανέ (= Κάνιν) κωδικος τῆς μητροπόλεως Χαλδίας ἀνέγνων τῷ 1884 τὸ ἑπόμενον κεφάλαιον· «Οἱ μακαριώτατοι καὶ ἁγιώτατοι πατριάρχαι καὶ οἱ παραγενόμενοι εἰς τὴν περιήγησιν τῆς ἐπαρχίας Χαλδίας καὶ Χαιριάνων.— Τῷ ,αχνθ' (1659) ἔτει μηνὶ ἰουλίῳ ἐλθὼν ὁ μακαριώτατος καὶ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων κύριος κύριος Παΐσιος ἐν τῇ ἐπαρχία ταύτῃ Χαλδίας (σὺν αὐτῷ ἦν καὶ ὁ μετὰ τοῦτον πατριαρχεύσας κύριος Δοσίθεος ἱεροδιάκων). ἀρχιερατεύοντος κὺρ Εὐθυμίου τοῦ Φωτιάνου, καὶ ὑπεδέχθη ὑπὸ πάντων τῶν εὐσεβῶν ἐντίμως καὶ εὐλαβῶς. Εὐλογήσας καὶ ἁγιάσας πάντας ἀπῆλθεν. Περὶ τούτου τοῦ ἁγιωτάτου πατριάρχου εἴρηται ἀψευδῶς ὅτι ἀπερχόμενος ἐν τῷ ναῷ τοῦ ἁγίου Θεοδώρου τοῦ ἐν τῇ Μεζιρᾷ καὶ λειτουργήσας διὰ τὸν ἄρχοντα κὺρ Ἀθανάσιον Σαρασίτην ματεντζίπασιν, καὶ ἐξελθὼν τοῦ ναοῦ ἓν πουλίον ἐκάθητο ἐπί τινος τῶν δενδρων. Λέγει τῷ ἱεροδιακόνῳ αὐτοῦ «προσελθων ἐνεγκέ μοι τὸ στρουθίον ἐκεῖνο» καὶ (ὢ τοῦ θαύματος) ἀπελθὼν ἔλαβεν αὐτὸ καὶ ταῖς ἁγίαις του χερσὶ παρασχὼν τῇ προστάξει αὐτοῦ πάλιν ἀπέπτη.— Τῷ ,αχπα (1681) ἔτει μαΐου ε' ἦλθεν μετὰ ταῦτα ὁ μακαριώτατος καὶ σοφώτατος πατριάρχης Ἱεροσολύμων κύριος κύριος Δοσίθεος καὶ ὑπεδέξαντο αὐτὸν πάντες ἐντίμως μετὰ τῆς προσηκούσης εὐλαβείας, ἀρχιερατεύοντος κυρίου Γρηγορίου τοῦ Φωτιάνου».

ριζον, ὅπου καὶ ὁ πατριάρχης ἀνεπαύθη δεκεμβρίου β', 1660· ἐκεῖθεν εἰς Καστελλόρριζον, εἶτα διὰ τῶν Χελιδονέων εἰς Ἀττάλειαν, ἔπειτα διὰ ξηρᾶς εἰς Κωνσταντινούπολιν. Ἀπὸ Κωνσταντινουπόλεως 1661 μηνὶ φεβρουαρίῳ ἐξελθόντες μετὰ τοῦ Φιλιππουπόλεως ἀπήλθομεν εἰς Καλλιούπολιν, εἰς Μιτυλήνην, εἰς Χίον, εἰς Κῶν, εἰς Ῥόδον, εἰς Κύπρον καὶ τέλος εἰς Ἱερουσαλήμ, ὅπου ἀπριλίου 7 τῇ ἑορτῇ τῶν βαΐων ἐχειροτονήθη Ἱεροσολύμων ὁ κὺρ Νεκτάριος. Καὶ μετὰ τὸ πάσχα ἀπῆλθον μετ' αὐτοῦ εἰς Νεάπολιν, εἰς Γάζαν, εἰς Ῥέμπλι πρὸς τοὺς πασάδες, εἶτα εἰς Ἱερουσαλήμ καὶ 1662 μηνὶ μαΐῳ ἐξήλθομεν τῆς Ἱερουσαλήμ καὶ ἐμισεύσαμεν ἀπὸ Ἰόππης. Ἐκινδυνεύσαμεν ἀπὸ γαλούνια κουρσάρικα ἔξω τῆς Πτολεμαΐδος καὶ ἐγγὺς τῆς Κύπρου, ἔνθα διὰ ξηρᾶς ἀπὸ ἁλικῆς ἀπήλθομεν εἰς Λαιμεσὸν καὶ εἰς Πάφον, ἐκεῖθεν εἰς Ἀλλαγίαν καὶ εἰς Ἀττάλειαν, ἔνθα ἀσθενήσαντος τοῦ δεσπότου ἐμείναμεν ἕως αὐγούστου καὶ τὸν σεπτέμβριον ἤλθομεν εἰς Προῦσαν, καὶ τῷ αὐτῷ μηνὶ εἰς Κωνσταντινούπολιν, ἐν ᾗ ἐμείναμεν ἔτος ἕν. Καὶ 1663 μηνὶ αὐγούστῳ ἐξήλθομεν τῆς πόλεως καὶ ἀπήλθομεν εἰς τὸν Τούναβιν, εἰς τὸ Κελλίν, εἰς τὸ Ἰσμαήλιον, εἰς τὸ Ῥένι, εἰς τὸ Γαλάτζι καὶ τέλος εἰς Γιάσιον μηνὶ ὀκτωβρίῳ. Καὶ 1664 μηνὶ ἀπριλίῳ ἐπήγαμεν εἰς Οὐγκροβλαχίαν εἰς τὸ Μπουκουρέστι καὶ σεπτεμβρίῳ μηνὶ εἰς Ῥούσικον καὶ Τζερβένβοδα, εἰς Ἀλβανιτοχῶρι, εἰς Ῥάσγρατα. Καὶ μηνὶ ὀκτωβρίῳ εἰς Σοῦμνον καὶ Ντόπρεναν, καὶ νοεμβρίου 1 εἰς Βάρναν· ὅθεν ἐπιστραφέντες ἤλθομεν πάλιν εἰς Ἀλβανιτοχώριον, κἀκεῖθεν εἰς Τούρνοβον καὶ εἰς τὸ ἐγγὺς αὐτῷ Ἀλβανιτοχώριον, καὶ 1665 ἰανουαρίῳ μηνὶ εἰς Σήλυμνον εἰς Ἁμπολιν καὶ τὸν φεβρουάριον εἰς Ἀδριανούπολιν, ἔνθα ἀπεστάλην ἔξαρχος εἰς Βλαχίαν καὶ εἰς Μπογδανίαν. Καὶ μετὰ τὸ πάσχα μηνὶ μαΐῳ ἦλθον εἰς Κωνσταντινούπολιν, ἀφ' ἧς ἐξελθόντες μετὰ τοῦ πατριάρχου τὸν ἰούνιον ἤλθομεν εἰς Καλλιούπολιν, ἐκεῖθεν εἰς Σηστὸν καὶ Ἄβυδον, εἶτα εἰς Μιτυλήνην καὶ ἰουλίου 29 εἰς Σμύρνην, ἐκεῖθεν πάλιν εἰς Μιτυλήνην, κἀκεῖθεν εἰς Χίον αὐγούστου 13. Ἐκεῖθεν εἰς Κῶν εἰς Ῥόδον καὶ τέλος εἰς Ἱερουσαλήμ, ἔνθα 1666 ἐχειροτονήθην μητροπολίτης Καισα-

ρειας, και 1667 ἐπέμφθην ἔξαρχος εἰς Βλαχομπογδανίαν. Ἐξῆλθον τον μαιον τῆς ἁγιας πόλεως και ἐκινδυνεύσαμεν εἰς Τρίπολιν, και διαβάντες τὴν Κύπρον ὑποκάτω τῆς Ἀλλάγιας ἔγδυσαν ἡμᾶς οἱ κουρσάροι· κἀκεῖθεν εἰς Ἀττάλειαν, ἔπειτα εἰς Κωνσταντινούπογιν, εἶτα εἰς Ἀδριανούπολιν, εἶτα εἰς Κωνσταντινούπολιν καὶ πάλιν εἰς Ἀδριανούπολιν, σπουδάζοντες λαβεῖν ὁρισμὸν διὰ τὴν ἀνακαίνισιν τῆς ἁγιας Βηθλεέμ, κἀκεῖθεν εἰς Κωνσταντινούπολιν. 1668 ἦλθε κἀκεῖ ἀπὸ Ἱερουσαλὴμ ὁ κῦρ Νεκτάριος καὶ ἔπεμψέ με εἰς Ἀδριανούπολιν καὶ ἄλλαξα τὸν κατὴ τῆς Ἱερουσαλὴμ καὶ πάλιν ἐπανῆλθον εἰς Κωνσταντινούπολιν. ὅθεν ἐπέμφθην εἰς Λάρισσαν ὁποῦ ἦτον ὁ βασιλεύς, καὶ τὸν ἰανουάριον ἀνῆλθον εἰς Κωνσταντινούπολιν (καὶ) 1669 ἰανουαρίου 23 μετετέθην εἰς τὸν ἀποστολικὸν θρόνον. Ἐκεῖθεν τὸν ἰούλιον εἰς Ἀδριανούπολιν, τὸν αὔγουστον εἰς Φιλιππούπολιν, τὸν σεπτεμβριον εἰς Παζαρτζίκην καὶ Πέστεραν καὶ Στενίμαχον, τὸν νοέμβριον εἰς Ἐσκὶ-Ζαγαρὰν καὶ Ὑάμπολιν καὶ Σήλυμνον καὶ τὸν δεκέμβριον εἰς Τούρναβον, εἰς Ἀλβανιτονιτοχώριον, εἰς Ἡλιάσκοβον καὶ εἰς Ῥαχοβίτζαν, καὶ ἰανουαρίου 3 εἰς Τζερβένβοδα καὶ τῇ 23 εἰς Σηλύστραν, καὶ τὸν φεβρουάριον εἰς Βλαχίαν εἰς τὸ Φλότζι καὶ ἔπειτα εἰς Μπουκουρέστι, ἐπὶ Ἀντωνίου βοεβόδα. Ἐκεῖθεν μηνὶ μαΐῳ εἰς Μποζέου καὶ Φοξάνι, ἔπειτα εἰς Γιάσιον ἐπὶ Δούκα βοεβόδα καὶ τὸν ὀκτώβριον 1670 εἰς Κωνσταντινούπολιν, καὶ 1671 τὸν φεβρουάριον εἰς Μουντανία, εἰς Προῦσαν, εἰς Κοτυάειον καὶ εἰς Ἀττάλειαν τὸν μάρτιον· κἀκεῖθεν εἰς Ἀλλαγίαν, εἶτα εἰς Κύπρον καὶ ἐν ταῖς ἀρχαῖς τοῦ ἀπριλίου εἰς Ἱερουσαλήμ, ὅτε ἐκτίσαμεν τὴν ἁγίαν Βηθλεέμ. 1672 μηνὶ μαΐῳ ἐξήλθομεν καὶ ἤλθομεν διὰ τῆς Γαλιλαίας καὶ Δαμασκοῦ καὶ τῶν καθ' ἑξῆς επαρχιῶν εἰς Κωνσταντινούπολιν καὶ ἐκεῖθεν εἰς Νεοχώριον, εἰς Ἀδριανούπολιν καὶ πάλιν εἰς Κωνσταντινούπολιν, καὶ 1673 μαΐῳ μηνὶ εἰς Βλαχίαν ἐπὶ Γρηγορίου βοεβόδα, καὶ τὸν ἰούνιον εἰς Μποζέου εἰς Φοξάνι καὶ εἰς Γιάσιον ἐπὶ Πετρετζέϊκου βοεβόδα καὶ πάλιν εἰς Βλαχίαν, καὶ σεπτεμβρίου 8 εἰς Κωνσταντινούπολιν, νοεμβρίου 1 εἰς Ἀδριανούπολιν καὶ τῇ 14 εἰς Φιλιππούπολιν, καὶ δεκεμβρίου 1 εἰς Σοφίαν καὶ τῇ 21

εἰς Μπελιγράδιον. 1674 εἰς τὸ Στρέμι, εἶτα εἰς Μπεσκερέκι καὶ πάλιν εἰς Μπελιγράδιον, εἶτα εἰς Σοφίαν, εἶτα εἰς Φιλιππούπολιν, ἐκεῖθεν εἰς Μελένικον μαΐου 26 καὶ ἰουνίου 17 εἰς Σέρρας· ἐκεῖθεν εἰς Κούρσιοβας καὶ πάλιν εἰς Σέρρας, εἰς Μελένικον, εἰς Φιλιππούπολιν, εἰς Ἀδριανούπολιν, εἰς Κωνσταντινούπολιν καὶ πάλιν εἰς Ἀδριανούπολιν κρινόμενοι μετὰ φράρων. Καὶ 1675 τὸν νοέμβριον εἰς Κωνσταντινούπολιν, ἔνθεν διὰ ξηρᾶς διὰ τῆς Δαμασκοῦ εἰς Ἱερουσαλήμ, ὅτε καὶ ἐλάβομεν τὸν ἅγιον τάφον καὶ ἀνεκαινίσαμεν καὶ τὸ μοναστήριον τῆς ἁγίας Θέκλης. Καὶ 1676 μαΐου 20 ἐξήλθομεν τῆς Ἱερουσαλήμ· μαΐου 30 ἤλθομεν εἰς τὸ Ἄκρι, ἰουνίου 6 εἰς Τρίπολιν, εἶτα εἰς Λαοδίκειαν καὶ Ἀντιόχειαν καὶ ἰουλίου 20 εἰς Κωνσταντινούπολιν, καὶ 1677 δεκεμβρίου 25 εἰς Ῥούσικον καὶ τῇ 29 εἰς Βουκουρέστι, ἐπὶ Δούκα βοεβόδα. Ἐκεῖθεν ἀπριλίου 1 εἰς Γιάσιον ἐπὶ Ἀντωνίου βοεβόδα, ἐκεῖθεν πάλιν εἰς Βλαχίαν καὶ ἰουλίου 4 εἰς Τζερβένβοδα, καὶ 1678 ἰουλίου 21 εἰς Προῦσαν, εἶτα εἰς Κωνσταντινούπολιν, εἶτα εἰς Ἱερουσαλὴμ διὰ τῆς Δαμασκοῦ, ὅτε ἀνεκαινίσαμεν τὸ μοναστήριον τοῦ ἁγίου Ἠλιού. Ἐκεῖθεν εἰς Κωνσταντινούπολιν πάλιν διὰ ξηρᾶς καὶ 1680 εἰς Βλαχίαν ἐπὶ Σερβάνου βοεβόδα, εἶτα μαΐου 15 εἰς Γιάσιον ἐπὶ Δούκα βοεβόδα, ἐκεῖθεν εἰς Γαλάτζι, ἐκεῖθεν εἰς Βλαχίαν, εἶτα εἰς Κωνσταντινούπολιν καὶ 1681 εἰς Νεοχώριον καὶ φεβρουαρίου 18 εἰς Χηλὴν καὶ μαρτίου 5 εἰς Οἰνόπολιν καὶ τῇ 10 εἰς Σινώπην καὶ τῇ 31 εἰς Ἶνεος, ὅπου καὶ ἐπασχάσαμεν. Εἶτα εἰς Τρίπολιν καὶ ἀπριλίου 15 εἰς Τραπεζοῦντα καὶ μαΐου 24 εἰς Θεοδοσιούπολιν, ἐκεῖθεν εἰς Κάρισαν καὶ ἰουνίου 13 εἰς Ἰβηρίαν εἰς τὸ Τιφλίζι καὶ τὸν αὔγουστον εἰς Ἰμερέτι καὶ τὸν σεπτέμβριον εἰς Γκούριαν. Εἶτα εἰς Τραπεζοῦντα καὶ Σινώπην καὶ διὰ τῆς καθεξῆς παραλίου εἰς Κωνσταντινούπολιν, καὶ 1682 δεκεμβρίου 20 εἰς Ἀδριανούπολιν, εἶτα εἰς Κωνσταντινούπολιν καὶ πάλιν 1683 μαρτίου 15 εἰς Ἀδριανούπολιν καὶ πάλιν εἰς Κωνσταντινούπολιν. 1684 ἰουνίου 29 εἰς Ἀδριανούπολιν καὶ 1685 τὴν ἄνοιξιν εἰς Ἱερουσαλήμ, ὅτε ἀνωκοδομήσαμεν τὸ μοναστήριον τοῦ ἁγίου Σάββα καὶ τὰ μοναστήρια τῶν Ἰβήρων, καὶ τῷ αὐτῷ ἔτει εἰς Κωνστα-

τινούπολιν καὶ δεκεμβρίου 1 εἰς Ῥαιδεστόν, κἀκεῖθεν εἰς Κωνσταντινούπολιν καὶ 1686 ἀπριλίου 26 εἰς Βλαχίαν πάλιν ἐπὶ Σερβάνου βοεβόδα. Εἶτα εἰς Γιάσιον καὶ πάλιν εἰς Βλαχίαν καὶ 1687 ἀπριλίου 27 εἰς Τζερβένβοδα, καὶ μαΐου 12 εἰς Κωνσταντινούπολιν. Εἶτα εἰς Ἀδριανούπολιν, καὶ 1688 τὸν ὀκτώβριον εἰς Κωνστντινούπολιν, καὶ 1689 πάλιν εἰς Ἀδριανούπολιν καὶ 1692 εἰς Βλαχίαν ἐπὶ Κωνσταντίνου Μπασαράμπα βοεβόδα. Εἶτα τὸν σεπτέμβριον εἰς Γιάσιον καὶ 1693 εἰς Ἀδριανούπολιν σεπτεμβρίου 9, καὶ 1694 αὐγούστου 1 εἰς Κωνσταντινούπολιν, καὶ 1695 εἰς Ἀδριανούπολιν καὶ ἰουλίου 7 εἰς Κωνσταντινούπολιν, καὶ 1696 εἰς Ἀδριανούπολιν καὶ 1697 ἰουνίῳ μηνὶ εἰς Βλαχίαν ἐπὶ τοῦ αὐτοῦ Μπασαράμπα, καὶ 1698 μηνὶ μαρτίῳ εἰς Τζερβένβοδα καὶ ἀπριλίου 4 εἰς Ἀδριανούπολιν, καὶ 1699 αὐγούστου 10 εἰς Κωνσταντινούπολιν, καὶ 1701 εἰς Ἀδριανούπολιν, καὶ 1702 μηνὶ φεβρουαρίῳ εἰς Βλαχίαν ἐπὶ τοῦ αὐτοῦ Κωνσταντίνου βοεβόδα, καὶ νοεμβρίου 1 εἰς Ἀδριανούπολιν. Καὶ 1703 αὐγούστου 11 ἐξεβλήθη ὁ Μουσταφᾶς καὶ ἔγινε σουλτάνος ὁ Ἀχμέτης, καὶ σεπτεβρίου 4 ἤλθομεν εἰς Κωνσταντινούπολιν, καὶ 1704 μαΐου 21 ἀπεδημήσαμεν Κωνσταντινουπόλεως καὶ ἀπήλθομεν εἰς Βλαχίαν ἐπὶ τοῦ αὐτοῦ Κωνσταντίνου βοεβόδα, ὅτε ἀνῳκοδομήθη καὶ ἡ ἐκκλησία τοῦ ἁγίου Γεωργίου παρὰ τοῦ αὐτοῦ ἐκλαμπροτάτου διὰ τὴν ἀγάπην τοῦ ἁγίου τάφου. Τῷ αὐτῷ ἔτει μηνὶ αὐγούστῳ ἀπεδημήσαμεν εἰς Μολδοβλαχίαν καὶ μηνὶ ἰανουαρίῳ 1705 ἀπεδημήσαμεν ἐκεῖθεν πάλιν εἰς Οὐγκροβλαχίαν, καὶ μαρτίῳ μηνὶ ἤλθομεν εἰς Κωνσταντινούπολιν.

XIII.

ΠΑΡΘΕΝΙΟΥ

μητροπολίτου Καισαρείας τῆς Παλαιστίνης

ΕΞ ΑΘΗΝΩΝ

Ἱστορία τῆς μεταξὺ Ῥωμαίων τε καὶ Ἀρμενίων διαφορᾶς

(περὶ τῶν ἐν Παλαιστίνῃ ἁγίων τόπων).

1. Τοῦ μὲν προπάτορος ἡμῶν ἡ παράβασις θνητὴν ἀντ' ἀθανάτου πεποιηκυῖα τὴν φύσιν ἡμῶν καὶ φθορᾷ παραδοῦσα, σὺν τῇ ζωῇ καὶ τὰ τῶν ζώντων ἀξιομνημόνευτα καὶ ἀφηγήσεως ἄξια εἰς τοῦτο παρέδωκεν· ἔκτοτε γὰρ λήθῃ μετὰ τὴν ζωὴν τὰ πρατ-
5 τόμενα παραλαμβάνουσα καὶ τοῦ χρόνου τῷ μήκει διιστῶσα εἰς τὸν τοῦ ἀφανοῦς κατεπόντιζε βυθόν. Οὐ μέντοι γε εἰς παντελῆ κατήχθη λήθην τὰ πράγματα, τοῦ λογικοῦ παρασχόντος ἡμῖν μηχανήν τινα ἐς τὸ συμπαρεκτείνειν ἀθανάτοις αἰῶσι τὰ μνήμης ἄξια, ἐξ αὐτῶν ὡς οἶμαι τῶν προγόνων ἡμῶν λαβοῦσι τὰ σπέρ-
10 ματα· ὡς γὰρ ἡ ἀρχαία διηγεῖται παράδοσις, ἐν στήλαις δυσὶ τῶν προγόνων ἡμῶν ἐγχαραξάντων τήν τε ὑπὸ Θεοῦ δωρηθεῖσαν σοφίαν, τάς τε τέχνας καὶ μηχανὰς καὶ πάντα τὰ κατ' ἐκεῖνο καιροῦ γεγονότα * Τοῦτο τὰ πρὸ εὐαρίθμων ἐτῶν γεγονότα ὡς παρόντα ἐνδείκνυσιν, ἡμῖν τε καὶ τοῖς μετέπειτα ἐμφανίζον ἐσομένοις· καὶ
15 σχεδὸν ὅπερ φύσις ἀνθρώπου παραβάσα κατέλυσε, τοῦτο λόγος ἐν γράμματι αἰωνίως τῇ μνήμῃ κατέλιπε. Ταῦτ' ἄρα καὶ ἡμεῖς ἵνα μὴ ἀσημείωτον ἀφέντες τὸ καθ' ἡμᾶς γεγονὸς τῇ λήθῃ παραδῶμεν ζημίαν τοῦτο παντὶ τῷ γένει ἡμῶν εἶναι ἡγούμενοι, συγ-

γράψασθαί τε καὶ ἀφηγήσασθαι προεθυμήθημεν ὅσα μεταξὺ ἡμῶν τε καὶ τῶν Ἀρμενίων ἐν τοῖς παροῦσι χρόνοις ξυνέβησαν, δύο τινα συμφέροντα εἶναι ἡγούμενοι τοῖς μεθ' ἡμᾶς ἐσομένοις, τὸ μὲν ἱστοριαν εἶναι τῶν καθ' ἡμᾶς παθημάτων, τὸ δὲ καὶ τοῖς μεταγενεστέροις ἐνθύμιον εἶναι—γένος γὰρ τοῦτο τὸ τῶν Ἀρμενίων, ὡς καὶ ὁ Θεολόγος φησί, ὕφαλον φύσει καὶ ταραχῶδες καὶ μηδέποτε ἡσυχάζειν ἐπιστάμενον—ἵνα μὴ καὶ τοῖς μετέπειτα χρόνοις καιροῦ λαβόμενοι ἐπὶ τοιόνδε τι ὁρμήσωσιν, καὶ ἐν ἀγνοίᾳ ὄντος τοῦ παρελθόντος παθήματος μέγα τι καὶ ἐν αὐτοῖς γένηται βλάβης, ὡς καὶ ἐν τοῖς καθ' ἡμᾶς ἐγεγόνει· ἀποροῦσι γὰρ τοῦ ὑπερ ἐχρήσαντο τρόπου πρὸς ἀναίρεσιν οἱ πρὸ ἡμῶν χρηματίσαντες, κἂν πολλὰ τὰ ἀντιπίπτοντα παρηκολούθησαν. Ὡς γὰρ τῇ μετέπειτα ἔγνωμεν πείρᾳ, ἐπί τε τοῦ ἀοιδίμου Σωφρονίου, τοῦ τε Θεοδοσίου τοῦ ἀραβιστὶ Ἀττάλα καλουμένου, τοῦ Θεοφάνους καὶ τοῦ κῦρ Παϊσίου τῶν Ἱεροσολύμων πατριαρχῶν πολλὰ τοιαῦτα γεγόνασιν· ἀλλὰ ἱστορικῇ διηγήσει (οὐκ ἐγράφησαν), σιγῇ παραδοθέντα, μικροῦ (δὲ) δεῖν καὶ τῇ λήθῃ προσήγγισαν. Τούτων ἕνεκεν ἵνα μὴ καὶ οἱ μεθ' ἡμᾶς τοιαῦτα πάθωσιν, ἀφηγήσασθαι ἔγνωμεν αὐτόπται καὶ αὐτουργοὶ γεγονότες τοῦ πράγματος, οὐ μικράν τινα ὠφέλειαν παντὶ τῷ γένει ἡμῶν προμνηστευόμενοι, μᾶλλον δὲ τοῖς μετέπειτα προστησομένοις τοῦ ἀποστολικοῦ τουτου τῶν Ἱεροσολύμων θρόνου· πονῆσαι δὲ ἐπὶ τούτῳ προεθυμήθημεν οὐ δόξαν οὐδ' ὠφέλειάν τινα ἑαυτοῖς προξενοῦντες — τί γὰρ πρὸς ἡμᾶς; — ἀλλὰ τὸ κοινῇ συνοῖσον πόρρωθεν προσκοποῦμενοι.

2. Οἱ Ἀρμένιοι γένος ὂν φύσει βάρβαρόν τε καὶ ἐπὶ τὸ νεωτερίζειν πρόθυμον, πρὸ ἐτῶν σχεδὸν εἴκοσιν ὤδινον τὴν καθ' ἡμᾶς σκευωρίαν· ἐντεῦθεν ἐπὶ τῆς τρούλλης τῆς τοῦ ἁγίου τάφου οἰκοδομῆς πολλὰ συνελέξαντο γράμματά τε καὶ μαρτυρίας παρὰ τῶν ἐν Ἱεροσολύμοις οἰκούντων, ἔκ τε τοῦ κριτοῦ πολλὰ παρέλαβον γράμματα. Ἄλλα μὲν μεταβαλόντες ἐκ τῶν ἡμετέρων, ἄλλα δὲ καὶ διόλου ἀποξέσαντές τε καὶ ἀποσπάσαντες πήρας ὅλας ἐπλήρουν ἐξ ἱεροσολυμιτικῶν σφραγίδων καὶ ἐκ κριτικῶν διαιτήσεων· καὶ τὸν καιρὸν παραφυλάττοντες χρημάτων τε συλλογὴν

ποιούμενοι, καὶ ἐκ τοῦ κράτους προσεδόκων τὸ ἐνδόσιμον. Ὁ μὲν οὖν χρόνος παρετηρεῖτο καὶ πρὸ ἐτῶν σχεδὸν ἑπτὰ καὶ ἐπέκεινα προεγυμνάζετο, καὶ πεῖραν ἐδίδου τῷ πράγματι ἐξ αἰτίας τοιᾶσδε. Συνέβη μὲν ἐν τῷ τότε τὸ τῶν Ἀρμενίων πάσχα τῇ καθ' ἡμᾶς κυριακῇ τοῦ Θωμᾶ γεγονέναι, καὶ θροῦς ἐγεγόνει πολὺς ἀγωνιζομένων τῶν Ἀρμενίων ἀποδεῖξαι κατ' αὐτοὺς εἶναι τὸν τοῦ πάσχα διορισμόν· καὶ τοῦτο χρημάτων δυνάμει συστήσασθαι ἐπεποίθεσαν. Ἀλλ' ἦν ἐν τῷ τότε πατριάρχης τῶν Ἱεροσολύμων ὁ σοφώτατος Χρύσανθος, ἀνὴρ τοὺς κατ' αὐτὸν ὑπερβάλλων σοφία τε καὶ πολιτικῇ συνέσει· ὃς καὶ σωπῆσαι ἐν τῷ τότε τοὺς Ἀρμενίους ἐποίησε, διὰ διορισμοῦ καὶ τοῦτο βασιλικοῦ, μηδ' ἐπὶ πλέον ἐρεύνης τὸ πρᾶγμα ἀξιώσασθαι, μηδὲν ἄλλο τι διαπραξάμενος ἀλλὰ σιγῇ ἐπικαλῦψαι τὸ πᾶν καὶ τὸ τραῦμα ἐκμαλάξαι ταῖς ἀλοιφαῖς· ἄλλοις δὲ παρῃτεῖτο τὴν κάθαρσιν αἰτίαις αἷς οἶδεν αὐτός, ὀλίγοις μὲν γνωσταῖς, ἑαυτῷ δὲ ὡς ἐδόκει συνετωτάταις.

3. Παρῆλθε μὲν οὖν ὁ χρόνος ἐκεῖνος καὶ ὁ τῶν Ἀρμενίων ἐπληθύνετο πλοῦτος καὶ ἐξ ἄλλων αἰτιῶν, μάλιστα δὲ — ὡς οἱ πλείους ἔλεγον — ἐξ οἰκοδομῶν. Οἰκοδομεῖν γὰρ ἐπιχειροῦντες οἰκήματά τινα ἐν τῷ τῶν Ἰβήρων μοναστηρίῳ καὶ τὰ παλαιὰ καθαιροῦντες θησαυρῷ καὶ μάλα πολλῷ περιτυχεῖν ἐλέγετο, ἐβεβαίου δὲ τὴν φήμην καὶ φόνος ἐξ αὐτῶν γεγονὼς τῇ ἐν Ἱεροσολύμοις πόλῃ τῆς Δαμασκοῦ λεγομένῃ ἀνδρός τινος ὑπουργοῦντος ταῖς οἰκοδομαῖς, ὃς καὶ τὸν λόγον διεφημίσατο καὶ τοῖς κρατοῦσιν ἐξάκουστον ἐποιήσατο· ἀλλὰ δέκα ταλάντων τὴν φήμην ὠνήσαντες καὶ τὴν λαχοῦσαν καὶ φημίζουσαν γλῶτταν σὺν τῇ κεφαλῇ τῇ γῇ ἀπορρίψαντες τὴν φήμην ἀπέκρυψαν. Πλέον δὲ πάντων ἐβεβαίου ἡ τῶν πραγμάτων κατάστασις· οἱ γὰρ Ἀρμένιοι πρὸ ὀλίγων ἐτῶν καὶ αὐτοῦ ὑστεροῦντο τοῦ ἐπιουσίου ἄρτου, καὶ κανδήλας ἐπίπρασκον, καὶ ἐς τοσοῦτον κατήντησαν, ὥστε καὶ λαϊκὸν ἄνδρα προεστεύοντα ἔχειν· καὶ τοῦτο οὐ πρὸ πολλοῦ, ἀλλὰ καὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων περιῆν ὁ ἐν αὐτοῖς προεστεύσας· Ἀσφαντούρης δὲ ἦν ὄνομα αὐτῷ. Ἐκ τούτου δὲ τοίνυν φανερὸν ὡς ὁ αἰφνίδιος πλοῦτος οὐκ ἐξ εἰσοδημάτων ἀλλ' ἐκ μόνου τοῦ προρρηθέντος ἰβηρικοῦ θησαυροῦ.

4. Τούτῳ τοίνυν περιτυχόντες καὶ ἔξω φρενῶν πάντη γενόμενοι πρὸς πολλὰ διηγείροντο πράγματα. Ἀλλ' οὐν τὸ κακὸν ἐλλιμνάσαν οὐκ ἐξῆν συσχεθῆναι, εἰ μή τι σχίσμα σφοδρὸν καὶ διασφάγα δεινὴν ἀπεργάσασθαι. Ἐλήλυθεν οὖν ὁ ἐκείνοις ἐφετὸς καὶ πρὸ πολλοῦ ζητούμενος χρόνος, καὶ ἐπιχειρεῖν ἤρξαντο. Ἀνήρ τις τῶν Ἀρμενίων Σεχπόζης καλούμενος, ἔκ τε τῆς τραπεζιτικῆς τέχνης ἐκ μικροῦ μέγας καὶ ἐξ ἐνδεοῦς πολυκτήμων γενόμενος—ἀρτοπώλης γὰρ ὢν πρότερον κατὰ μικρὸν τραπεζίτης ἐγένετο—καὶ ἄρχοντί τινι τῆς βασιλείας προσωκειώθη Κουπλελόογλου, μπᾶς-μπακίκουλου τὴν ἀξίαν, ὑφ' οὗ καὶ τὰ πλείω συνέλεξε χρήματα, οὐ μόνον ἐξ αἰτίας τῆς τέχνης αὐτοῦ ἀλλὰ καὶ ἐξ ἄλλης τινος ἐπισυμβάσης τύχης. Κατ' ἐκεῖνο καιροῦ συνέβη καὶ τὴν ἀποστασίαν γενέσθαι, οἱ δ' ἀποστάται ἐπὶ τοιαύτῃ τέχνῃ ὄντι πλῆθος αὐτῷ ἐνεπιστεύοντο χρημάτων, καὶ ὅσα περ ἕκαστος συνέλεγε τῷ Σεχπόζῃ ὡς πιστῷ παρεδίδου φύλακι. Ἵνα δὲ μὴ ὑπόνοιαν παράσχῃ, αὐτὸς μὲν ἀπέδρα, ὁ δ' ἀδελφὸς αὐτοῦ τὴν φυλακὴν ἐνεπιστεύετο. Ἐν τούτῳ οὖν συνέβη καὶ ὁ τῶν αποστατῶν ὄλεθρος, καὶ τούτων ἀποκτανθέντων πάντα τὰ χρήματα δωρεὰν τῷ Σεχπόζῃ προσέμειναν.

5. Μία μὲν οὖν αὕτη τύχη τοῦ πλουτισμοῦ τοῦ Σεχπόζη ἐγένετο, ἑτέρα δὲ ὁμοία αὐτῇ, ἣν μείζω μὲν ἀκριβῶς οὐκ ἔχω εἰπεῖν, ἐλάττω δὲ οὐδαμῶς. Ὁ ῥηθεὶς Κουπλελόογλους μπᾶς-μπακίκουλος,—δι' οὗ καὶ πρῶτον ὁρισμὸν ἐποιήσαντο ἐπὶ τῆς τοῦ Ἰμπραὴμ-πασᾶ ὑπατείας ἐν ἔτει ,αρμβ' (1730), ὃν ἀνακαινίσαντες ἐπὶ τοῦ νῦν βασιλεύοντος χρόνου ἐν ἔτει ,αρμγ' (1731) ἔσχον—οὗτος τοὺς ἀποστάτας δεδιὼς καὶ διαβολὴν ἄλλην τινὰ ὑπονοούμενος παραίτησιν τοῦ ὀφφικίου αὐτοῦ ἐποιήσατο καὶ ἐν Μεδίνα χάριν προσκυνήσεως παραγενέσθαι ᾐτήσατο, τὴν τοῦ καιροῦ ἀποφεύγων τύρβην καὶ σύγχυσιν· πάντα δὲ τὸν πλοῦτον αὐτοῦ τῷ Σεχπόζῃ ἐνεπιστεύσατο, ὄντι τε καὶ δοκοῦντι πιστῷ τῆς τοῦ πλούτου φυλακῆς. Καὶ μέχρι μέν τινος συμπαρομαρτῶν ἦν τῷ Κουπλελόογλου τουτῳί, τεκμήριον δεικνύων τῆς πρὸς αὐτὸν ἀγάπης καὶ πίστεως· ὁ δὲ ἀπελθὼν εἰς Δαμασκὸν καὶ μετὰ τοῦ ἡγεμόνος εἰς Μεδίναν παραγενόμενος καὶ προσκυνήσας ἐν Ἱεροσολύμοις ἐπέστρεψε· διώρισται δὲ αὐτῷ

καὶ ἡ τῶν Σολομωντείων ὑδάτων ἐπιστασία ἐπὶ τῷ ταῦτα ἐν Ἱερουσολύμοις εἰσαγαγεῖν ἐλέει τῆς τοῦ βασιλεύοντος μητρός. Ἐν τούτῳ οὖν συνέβη τελευτῆσαι τὸν Κουπλελόογλουν ἀδιάθετον καὶ πάντα τὸν πλοῦτον αὐτοῦ πρὸς τὸν Σεχπόζην μεῖναι.

6. Ἐκ τούτου μὲν μέγας τε καὶ πολὺς ὁ Σεχπόζης γενόμενος πρὸς μεγάλα τινα ἑαυτὸν διηρέθιζεν, ὥσπερ δέλεαρ ἀγκίστρῳ τὸν πλοῦτον αὐτοῦ περιθέμενος καὶ τοὺς κρατοῦντας ἕλκων. Ἵνα δὲ μὴ μακρὸν τὸν λόγον ποιήσωμεν, τοῦ Τοπὰλ Ὀσμὰν-πασᾶ τῆς ὑπατικῆς καθαιρεθέντος ἀρχῆς ἄλλος τις ὕπατος ἐγένετο Ἀλη-πασὰς λεγόμενος, Ῥεβανίου τῆς Περσίας ὢν ἡγεμών. Οὗτος δὲ ἀρχιατροῦ τινος ἦν υἱὸς Νοὺχ-ἐφέντη καλουμένου, καὶ ἐκ παιδικῆς ἡλικίας ἐπὶ πολλαῖς βασιλικαῖς χρηματίσας ὑπηρεσίαις γνωστὸς μὲν καὶ ἄλλοις πολλοῖς ἐγένετο, μάλιστα δὲ δυσὶν Ἀρμενίοις, τούτῳ τῷ Σεχπόζῃ καὶ ἑτέρῳ τινὶ Σιρίνῃ λεγομένῳ, ὃς τῷ πατρῴῳ αὐτοῦ ὑπηρετηκὼς ἦν οἴκῳ. Ταυτηνὶ οὖν τὴν ὑπατείαν ἴδιον εἶναι καιρὸν τῆς ἀνταρσίας αὐτῶν ἡγούμενοι ἐπιχειρῆσαι προεθυμήθησαν, ἀλλ' ἀναφανδὸν μὴ τολμήσαντες κρύβδην πως καὶ ὑφάλως ἐφάψασθαι τοῦ πράγματος προὔκριναν. Καὶ δὴ σκέψεως γενομένης ἔδοξε τοῖς Ἀρμενίοις βουλῇ τοῦ Σεχπόζῃ ἀναφορὰν ποιησαμένοις ἀποδοῦναι τῷ ὑπάτῳ, ἦν δὲ ἡ ἀναφορὰ μετὰ τοιᾶσδε περιλήψεως. «Ἐπειδὴ ἐν τῷ γένει ἡμῶν ἐκ τῶν παλαιῶν βασιλέων ἀνέκαθεν προνόμιά τινα δέδονται βασιλικοῖς ἐπιγεγραμμένα χερσὶ τῶν ὁμοφύλων γενῶν προεδρεύειν καὶ ὑποκείμενα ταῦτα ἔχειν, οἱ Ῥωμαῖοι δὲ πλεονεξίᾳ κινούμενοι λάθρα πως καὶ ἄνευ ἡμετέρας εἰδήσεως παραχαράξαι τὰ τοιαῦτα ἐτόλμησαν, δεόμεθα τῆς κραταιᾶς βασιλείας ὅπως ἐκ τῶν κωδίκων ἐξελθόντων τῶν ἀρχαίων ἡμῶν θεσπισμάτων δοθῇ ἡμῖν παρὰ τοῦ βασιλικοῦ ἐλέους ὁρισμὸς συστατικὸς τῶν ἡμετέρων ἀρχαίων προνομίων».

7. Ταύτης τοίνυν δοθείσης τῆς ἀναφορᾶς προσέταξεν ὁ ὕπατος ἐκ τῶν κοινῶν κωδίκων ἐξελθεῖν τὰ ὑπὲρ τῶν Ἀρμενίων δεδομένα γράμματα. Λαβόντες δὲ οἱ Ἀρμένιοι τὴν ἀναφορὰν παρήγαγον τῷ μπεϊλεκτζῇ-ἐφέντῃ (οὗτος γὰρ ἐστὶν ἐπιστάτης τῶν κοινῶν κωδίκων)· ὁ δὲ τῷ ρεΐζ-ἐφέντῃ ἐνδειξάμενος τὴν ἀναφο-

ρὰν καὶ ἐπὶ χεῖρας δοὺς καὶ ἀναγνώσεως ἀξιώσας προσετάγη ἀντιγράψαι τε καὶ δοῦναι ὅσα περ περὶ ταύτης τῆς ὑποθέσεως εἴτε ὑπὲρ ἡμῶν εἴτε καὶ περὶ τῶν Ἀρμενίων σημειοῦσιν οἱ κώδικες. Ἐρευνήσας δὲ τούτους καὶ μηδὲν ἄλλο εὑρὼν εἰ μὴ τρεῖς τινας ὁρισμοὺς ὑπὲρ ἡμῶν ὄντας ὑπογράψαι παρέδωκε. Τῶν δὲ ὁρισμῶν τούτων ὑπὲρ ἡμῶν ὄντων, ἀσυμφώνων δὲ τοῖς Ἀρμενίοις, τῶν γραμματικῶν τις παρήγαγεν ἡμῖν διηγησάμενος τὰς καθ' ἡμῶν σκευωρίας. Ἡμῶν δὲ μὴ ὄντων ἐν τῷ τότε καιρῷ ἐν Βασιλευούσῃ (ἀπεληλύθειμεν γὰρ ἐν Ἱεροσολύμοις), ὁ ἡγούμενος ἡμῶν λαβὼν τὴν μετὰ τῶν σημειωμάτων ἀναφορὰν καὶ ἄλλην ὁμοίαν ποιησάμενος ἐδεδώκει τῷ ὑπατικῷ βήματι. Δευτέρου ἄνευ λόγου ὁρισμὸς δέδοται ἀναφορᾶς δοθείσης ἐκ τοῦ ρεΐζ-ἐφέντη, καὶ τοῦτον τὸν ὁρισμὸν ἀπεστάλκει ἡμῖν ὁ ἐν Βασιλευούσῃ ἡγουμενεύων (Διονύσιος δὲ ἦν ὄνομα αὐτῷ) καὶ ἐν τῷ τοῦ κριτοῦ κώδικι ἐν Ἱεροσολύμοις ἐσημειώσαμεν μηδέν τι ἄλλο ποιήσαντες. Οἱ δὲ Ἀρμένιοι κατ' αὐτῶν ἰδόντες τὸ ἐγχείρημα ἑτέραν ἐτράποντο. Πανδημεὶ συλλεγέντες τῷ βασιλεῖ ἐδεδώκεσαν ἀναφορὰν προσκλαιόμενοι ὡς ὑφ' ἡμῶν ἀδικοῦνται, καί τοι γε τοσούτους ἔχοντες ὁρισμοὺς βασιλικούς, πολλούς τε καὶ διαφόρους ἀρχαίων βασιλέων, ἡμῶν δὲ μηδένα ἐχόντων ὁρισμόν, εἰ μὴ μόνον ἐκ συναρπαγῆς καιροῦ χρημάτων δυνάμει κρυφίως λαμβανόντων. Μετὰ δὲ ταῦτα ἐδέοντο τοῦ βασιλεύοντος ὁρισμὸν δοθῆναι ἐπὶ τῷ θεωρηθῆναι τὰ τούτων γράμματα ἐπὶ τοῦ Ῥούμελη-καζασκέρη Μπουραντὲρ-ζαντὲ-Μεχμὲτ-ἐφέντη, καὶ ἀναφορὰν ποιῆσαι εἰ ἀληθῆ εἰσιν ἅπερ ταῖς χερσὶ κατέχουσι βασιλικὰ γράμματα, ἔτι δὲ καὶ παρὰ τοῦ κάλφα τῶν ἐπισκόπων ἐξελθεῖν τὰ ὑπὲρ αὐτῶν ἐν τοῖς κώδιξιν αὐτοῦ σημειώματα.

8. Ταῦτα οὖν ἰδὼν ὁ βασιλεὺς καὶ ἀδεκάστους νομίσας τόν τε καζασκέρην καὶ τὸν κάλφαν διώρισεν ἐν τῇ ἀναφορᾷ αὐτῶν θεωρηθῆναι ἀμφοτέρων τῶν γενῶν τὰ γράμματα καὶ ἀναφορὰν γενέσθαι. ἔτι δὲ καὶ ἐκ τοῦ κώδικος τῶν ἐπισκόπων ἐξελθεῖν εἴ τι αὐτοὶ ἔχωσιν ὑπὲρ αὐτῶν σημείωμα. Μετὰ τούτου τοίνυν τοῦ ὁρισμοῦ ἀπελθόντες εἰς τὸν ὕπατον Ἀλῆ-πασᾶν καὶ τοῦτον ἢ τῇ τοῦ Σεχπόζη εὐνοίᾳ ἢ καὶ χρήμασιν ἀπατήσαντες προστάξαι τον

τε καζασκέρην καὶ τὸν κάλφαν ἐποίησαν ἐπὶ τῷ τὰ τοῖς Ἀρμενίοις συμφέροντα ἐνεργῆσαι. Ἀπήγαγον οὖν τὰ ἅπερ αὐτοὶ ἔσχον γράμματα· ὁ δὲ ταῦτα ἰδὼν ἴσα ὄντα ἐκ τῶν ἡμετέρων ἐξαχθέντα, μεταβεβλημένου μόνου τοῦ ὀνόματος, καὶ μηδὲν περὶ ἡμῶν ἐρευνήσας, καί τοι γε δεδεκασμένος ὤν, ἀλλ' οὖν καὶ τῆς θείας οὕτως οἰκονομησάσης προνοίας — οὐ γὰρ συνέφερεν ἐν τῷ τότε μηδὲν περὶ τούτου κινῆσαί τε καὶ διασεῖσαι, τῶν πραγμάτων ἐπ' αὐτοῖς πάντων ὄντων — ἀναφορὰν δέδωκε τῷ ὑπάτῳ ὡς ἑωράκει ἄρα τὰ τῶν Ἀρμενίων γράμματα καὶ ὡς ἀληθῆ εἰσιν, μηδὲν ἄλλο εἰπὼν εἰ μὴ κατάλογόν τινα ποιησάμενος τῶν ὧν εἶπον ὡς ἔχουσιν αὐτοὶ θεσπισμάτων. Εἶτα ἀπελθόντες καὶ εἰς τὸν τῶν ἐπισκόπων κάλφαν, προστεταγμένον ὑπὸ τοῦ ὑπατου ὄντα, καὶ χρυσίνοις πολλοῖς ἐμπλήσαντες ἐξήγαγον καὶ ἐκ τοῦ κώδικος ἐκείνου θέσπισμα βασιλικὸν τοῦ τὴν Ἱερουσαλὴμ λαβόντος σουλτὰν Σελίμη, μήτε ἀρχὴν βασιλικῆς ἔχον ἐπιγραφῆς οὔτ' ἄλλο τι διακριτικὸν σημεῖον, εἰμὴ μόνον ὡς ἐν παλαιῷ καταστίχῳ εὑρηται (καὶ ἐξ εἰκασίας τοῦ βασιλέως ἐκείνου εἶναι ἐμπεδώσαντες) ἐν χάρτῃ τινὶ κεκολλημένῳ, πάμπαν ὡς ἐδόκει τοῦ καταστίχου ἀλλοτρίῳ. οὐκ αὐτοῦ ἀλλ' ἄλλου τινὸς πρὸ αὐτοῦ τὸ τέχνασμα τοῦτο μηχανησαμένου, ὡς μετὰ ταῦτα ὁ αὐτὸς δικαιολογούμενος ὡμολόγησε. Πλέον δὲ πάντων τὸ ἀπατῆσαν τὸν κάλφαν τοῦτο ἦν. Ἔθος ἐστὶ πάντα τὰ τοῖς ἐκκλησιαστικοῖς ἀναφερόμενα γράμματα βασιλικὰ τοῖς ἐκείνου κώδιξι σημειοῦσθαι καὶ φυλάττεσθαι, οὐδὲν δὲ τῶν ἡμετέρων εἶναι περὶ ταύτης τῆς ὑποθέσεως.

9. Ἐξαγόντες τοίνυν καὶ τοῦτον τὸν ἐξ ἡμισείας ὁρισμὸν ἐκ τοῦ τῶν ἐπισκόπων κώδικος, μετὰ τῆς ἀναφορᾶς τοῦ τῆς Ῥούμελης κριτοῦ τῷ ὑπάτῳ ἐκομίσαντο· ὁ δὲ ταῦτα ἰδὼν ὁρισμὸν γενέσθαι προσέταξεν ἔχοντα τήν τε ἀναφορὰν αὐτῶν, τὸ τοῦ κριτοῦ ἰλάμιον, καὶ τὸ ἐκ τοῦ κώδικος ἐξαχθὲν σημείωμα. Ἐντεῦθεν πρώτη ἀρχὴ τῆς τῶν Ἀρμενίων ὑψαυχένου ἀλαζονείας ἐγένετο· μετὰ γὰρ τὸ γενέσθαι τὸν ὁρισμὸν ἰδία ἀναφορᾷ τῷ βασιλεῖ ἀπεστάλκει αὐτὸν ὁ ὕπατος, ὁ δὲ βασιλεὺς μηδένα ὁρῶν τὸν ἀντικείμενον τῷ πράγματι, τῷ τε ὑπάτῳ πιστεύσας καὶ ἀληθῆ εἶναι νομίσας

τά τε παρ' αὐτοῦ λεγόμενα καὶ τὴν τοῦ κριτοῦ ἀναφορὰν καὶ τὸ ἐκ τοῦ κωδικος τῶν ἐπισκόπων ἐξαχθὲν σημείωμα, ἰδία ὑπογραφῇ τουτονὶ κατησφαλίσατο τὸν ὁρισμόν. Ἦν δὲ ἡ περίληψις αὐτοῦ τοιάδε. «Ὁ τῶν Ἀρμενίων ἐν Ἱεροσολύμοις πατριάρχης Κηρκόρης καὶ οἱ περὶ αὐτὸν μοναχοί τε ὑποκείμενοι Ἀρμένιοι, καὶ ὁ ἐν Κωνσταντινουπόλει τῶν Ἀρμενίων πατριάρχης Ὀβανέζης μετὰ τῶν περὶ αὐτὸν μοναχῶν τε καὶ ὑπηκόων, ἀναφορὰν ἐδεδώκεσαν ἡμῖν ὡς ἀδικοῦσιν αὐτοὺς οἱ Ῥωμαῖοι ἐπί τισι προνομίοις καὶ ἰδίοις αὐτῶν πράγμασι, τούς τε ὁμοφύλους καὶ ὁμοπίστους αὐτοῖς Ἀβυσινοὺς Κόπτας τε καὶ Σύρους βίᾳ κατέχοντες καὶ ὑποκειμένους αὐτοὺς εἶναι λέγοντες, ἔν τε τῇ τοῦ μεγάλου σαββάτου λιτανίᾳ μηδεμίαν ἔχειν αὐτοὺς κοινωνίαν καὶ μετοχήν· ἔνθεν τοι καὶ καιροῦ τυχόντες κρύφα καὶ μηδὲν ἄλλο ἐμφανίσαι δυνάμενοι ὁρισμοὺς κατὰ καιροὺς συνήγαγον, ἐξ οὗπερ συνέβη μετὰ καιρὸν ἀπαλλοτριωθῆναι τοὺς Ἀρμενίους τῶν ἰδίων αὐτῶν πραγμάτων τε καὶ μοναστηρίων, καίτοι γε ἀνέκαθεν μὲν ἔχοντας ὑφ' ἑαυτοὺς τάς τε ὁμοπίστους φυλὰς καὶ κοινὴν τὴν εἰς τὸν τοῦ Χριστοῦ τάφον εἴσοδον ἐκ παλαιῶν θεσπισμάτων παρὰ τῶν πάλαι βασιλευσάντων ἀλληλοδιαδόχως δοθέντων, ἀπό τε τοῦ Ἀλῆ Ὦμερ Σαλαδίνου καὶ τῶν λοιπῶν μέχρι τοῦδε βασιλέων, καὶ ἐν τοῖς κώδιξιν ὄντων σεσημειωμένων. Προσταγῆς τοίνυν γεγονυίας τῷ τε τῆς Ῥούμελης κριτῇ ἐπὶ τῷ θεωρῆσαι τὰ τούτων γράμματα, τῷ τε τῶν ἐπισκόπων κάλφα ἐπὶ τῷ ἐξαγαγεῖν ἐκ τῶν παλαιῶν κωδίκων τὰ ὑπὲρ αὐτῶν σημειώματα, ἐγένετο ἀναφορὰ τοῦ κριτοῦ μετὰ τὸ θεωρῆσαι τὰ τῶν Ἀρμενίων γράμματα, ὡς ἄρα εἰσὶν ἀληθῆ καὶ ὡς ἀνέκαθεν αὐτοῖς ἦσαν δεδομέναι αἵ τε τρεῖς διαληφθεῖσαι φυλαὶ ὡς ὁμόπιστοι καὶ ἡ κοινότης τῆς πρὸς τὸν τάφον τοῦ Χριστοῦ εἰσόδου· ἔτι δὲ καὶ ἐκ τοῦ κώδικος τοῦ τῶν ἐπισκόπων κάλφα ἐξεβλήθη σωμείωμα τοῦ προγόνου ἡμῶν καὶ ἀοιδίμου βασιλέως σουλτὰν Σελὴμ τοῦ τὴν Ἱερουσαλὴμ λαβόντος, ὡς ἄρα ἀνέκαθεν καὶ ἐν αὐτῇ τῇ ἁλώσει τοῖς Ἀρμενίοις εἰσὶ δεδομένα τὰ διαληφθέντα ἔθνη καὶ ὑποκείμενα εἰσὶ τῷ ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Ἰακώβου καθημένῳ πατριάρχῃ τῶν Ἀρμενίων αὐτά τε καὶ οἱ τόποι αὐτῶν,

καὶ ὡς οἱ Ἀρμένιοι ἐκληρονόμουν ἀποθνήσκοντας τοὺς τῶν ἐθνῶν τούτων ἀνθρώπους· ἔτι δὲ καὶ ἐξ ἀναφορᾶς τῶν ἐπὶ τῆς οἰκοδομῆς τῆς τρούλλης ἐπιστατησάντων ἔγνωσται κοινὴν εἶναι τὴν εἴσοδον πρὸς τὸν τοῦ Ἰησοῦ τάφον Ῥωμαίοις τε καὶ Ἀρμενίοις, πάλαι μὲν Ἀβυσινῶν οὖσαν ἰδίαν· μεταπεσόντων δὲ τούτων ἐπὶ τοῖς Ἀρμενίοις μετέπεσε καὶ ἡ περὶ τῆς εἰσόδου ἀδιαφορία. Ἔνθεν τοι καὶ κοινὴν εἶναι ὁμολογοῦσι καὶ φιλίως μέχρι τοῦδε διάγουσι, πρῶτον καὶ δεύτερον μηδέποτε διακρίναντες. Ταῦτ' ἄρα καὶ ἡμεῖς τοῖς πρὸ ἡμῶν βασιλεύσασιν ἑπόμενοι ἀποφαινόμεθα τοὺς μὲν ὁρισμοὺς οὕσπερ κρύβδην παρὰ τῶν πρὸ ἡμῶν βασιλευσάντων προέλαβον οἱ Ῥωμαῖοι καὶ ὃν ἐπὶ τῆς ἡμετέρας στεφηφορίας ἀνεκαίνισαν ἀκύρους εἶναι, ὡς ἐναντίους τῆς ἀρχαίας συνηθείας καὶ τῶν πάλαι βασιλικῶν θεσπισμάτων, εἶναι δὲ καὶ αὖθις τὰ διαληφθέντα τρία ἔθνη Ἀβυσινοὺς Κόπτας καὶ Σύρους, τούς τε τόπους καὶ τὰ προσκυνήματα αὐτῶν, ὑπὸ τὴν τῶν Ἀρμενίων ἐξουσίαν, μηδενὸς τὸ παράπαν ἐναντιωμένου ἢ ὅλως ἀντιλέγοντος, ἀλλὰ πάντων ὑποταττομένων καὶ κλινόντων τὴν κεφαλὴν ἐπὶ τῷ ἡμετέρῳ βασιλικῷ σημείῳ». Δέδοται δὲ τὸ βασιλικὸν τοῦτο θέσπισμα κατὰ τὸ ,αρμς^{ον} ἔτος ὀθωμανικόν (1734).

10. Τούτου τοίνυν τοῦ θεσπίσματος γενομένου, ἡμεῖς μὲν ἐν Ἱεροσολύμοις ὄντες ὀλβημίαν ἔσχομεν εἴδησιν, οἱ δ' ἐνταῦθα χριστιανοὶ καὶ μάλα διεταράττοντο καὶ συλλογὰς ἐποιοῦντο πολλὰς ἐπὶ τῷ ἀναφορὰν δοῦναι τῷ βασιλεῖ καὶ προσκλαύσασθαι ἐπὶ τῇ γεγονυίᾳ ἀδικίᾳ. Ἀλλ' οὐκ ἀτέλεστον ἦν· πρός τίνα γὰρ ἡ ἀντιπαράστασις, τῶν πλειόνων ὄντων κεκορεσμένων ὑπὸ τῶν ἁρμενικῶν χρημάτων; Πλὴν ταῦτα τὸ κοινὸν μὲν ἀγνοοῦν πλῆθος πρὸς ὁρμὴν διηγείρετο, οἱ μείζους δὲ καὶ προεστῶτες τοῦ γένους ἡμῶν εἰδότες σαφῶς τὴν τῶν πραγμάτων κατάστασιν ἀναχαιτίσαι τε καὶ ἀναστεῖλαι τὴν τοῦ πλήθους προεθυμοῦντο ὁρμήν· τίς γὰρ ἦν ἱκανὸς τότε τοῖς Ἀρμενίοις ὅλως λαλῆσαι καὶ ἀντειπεῖν; Οὗτοι μόνοι ὡς ἐκ μοναρχικῆς ἀξίας προσέταττον, οὗτοι θανάτους ἠπείλουν πατριαρχῶν καὶ πάντων τῶν ἁπλῶς ἀντιλεγόντων αὐτοῖς. Μίαν τοίνυν πρὸς συστολὴν τοῦ πλήθους εὗρον δικαιολογίαν, ὡς

" ἀπόντος τοῦ πατριάρχου τῶν Ἱεροσολύμων οὐκ ἔξεστιν ἐγχειρίσαι τῷ πράγματι· οὔτε γὰρ τὰ ὑπὲρ ἡμῶν ἡμεῖς ἔχομεν γράμματα, τήν τε ἔκβασιν ἀμφίβολον εἰδότες ἀπόντος τοῦ πατριάρχου ἀνάρμοστον καὶ πάντῃ ἀπαδὸν ἐστιν ὅλως ἐπιχειρῆσαι ἡμᾶς". Ἀνεστάλη τοίνυν ἐκ τούτου ἐπὶ ποσὸν ἡ ὁρμὴ μετὰ πολὺν κρότον καὶ θόρυβον.

11. Διασκεδασθέντος δὲ τοῦ πλήθους οἱ μὲν ἡμέτεροι διὰ ταχυδρόμου τὰ ἐν Βασιλευούσῃ γεγονότα ἀπήγγειλαν ἡμῖν ἐν Ἱεροσολύμοις οὖσιν, πέμψαντες καὶ τὸ ἴσον τοῦ ὑπερ παρέλαβον οἱ Ἀρμένιοι θεσπίσματος· ἐλήλυθε δὲ πρὸς ἡμᾶς ἡ ἀγγελία τῇ πέμπτῃ τῆς μεγάλης ἑβδομάδος. Ἐδεδίειμεν δὲ μὴ τῷ τῶν Ἀράβων πλήθει—συνειλεγμένοι γὰρ ἦσαν διὰ τὸ τῶν ἡμερῶν αἰδέσιμον—ἐξάγγελτον γεγονὸς νεωτερισμός τις γένηται· τοῦτο δὲ αὐτὸ ὑπερεφοβοῦντο καὶ οἱ Ἀρμένιοι, ἀποστασίαν δεδιότες καὶ θάνατον αὐτῶν φοβούμενοι. Λαβόντες οὖν τὸν ὁρισμὸν οἱ Ἀρμένιοι πρῶτον μὲν διεπρεσβεύσαντο, εἶτα δὲ καὶ μόνοι πρὸς ἡμᾶς ἐληλύθασι δεόμενοι μὴ διαφημισθῆναι τῷ κοινῷ τὴν τοῦ ὁρισμοῦ φήμην· ὁ δὲ βαρδαμπέτης αὐτῶν ὑποκριτὴς ὢν ἐς τὰ μάλιστα, δάκρυα τοῖς ὀφθαλμοῖς ἐπιρρέοντα ἔχων καὶ ἀπατῆσαι τοὺς μὴ εἰδότας τὴν φύσιν αὐτοῦ δυνάμενος, ἐθρήνει ἐκόπτετο ὤμνυε μηδὲν εἰδέναι, τοὺς αἰτίους κατηρᾶτο. Καὶ τέλος τὸ παρ' αὐτοῖς λεγόμενον Εὐαγγέλιον ἐκ τοῦ κόλπου αὐτοῦ ἐξαγαγὼν καὶ ὀμώσας ὡς οὔτε ἐβούλετο οὔτε βούλεται νεωτερισμόν τινα ποιῆσαι τῆς παλαιᾶς συνηθείας, ἀλλ' " ὡς ἀνέκαθεν διάγομεν, οὕτω καὶ νῦν μεθ' ὅρκου ὑπόσχομαι". Ταύτης τοίνυν τῆς ὁρκωμοσίας γεγονυίας, ἡμεῖς μὲν μόνοι ἐγινώσκομεν τὴν αἰτίαν καί τινες τῶν τοῦ μοναστηρίου προεστώτων, τοῖς δὲ ἔξωθεν οὐδεὶς ἐξήγετο λόγος δεδιότες τὴν τοῦ πλήθους ἀταξίαν καὶ τῶν Ἀράβων τὸ ἀκατάσχετον· ὡσαύτως δὲ ποιεῖν ἐδόκουν καὶ οἱ Ἀρμένιοι. Ἐκ συμφώνου τοίνυν εἰσήλθομεν ἐν τῷ ἁγίῳ τάφῳ ὡς ἔθος τῇ μεγάλῃ παρασκευῇ, τῇ δ' ἑφεξῆς εἴτε ἐκ προπαρασκευῆς εἴτε καὶ παρ' ἄλλου τινος μαθὼν ὁ τῆς Ἱερουσαλὴμ κριτὴς προσέταξε τοῖς Ἀρμενίοις κομίσαι αὐτῷ τὸ τοῦ βασιλέως θέσπισμα, ἀναγνῶναί τε καὶ ἐν τῷ τοῦ κριτηρίου σημειῶσαι κώδικι.

12. Ἐν τούτῳ γοῦν μηχανήν τινα πολιτευσάμενοι ἠρώτησαν τὸν δεσπότην ἡμῶν εἰ καὶ αὐτῷ δοκεῖ ἀγαγεῖν τὸν ὁρισμὸν τῷ κριτῇ ἀπαιτοῦντι, ὁ δ' ὑπολαβὼν ἔφη αὐτοῖς "εἰ μὲν ἡ καρδία ὑμῶν καθαρὰ ἦ, ἀγάγετε· τί γὰρ ἐκ τῶν τοῦ κώδικος σημειώσεων, ὑμῶν μὴ βουλομένων νεωτερίζειν; εἰ δὲ δόλον τινὰ ἐπινοεῖτε, τί ἡμῖν; Ὁρᾶτε μέντοι γε μή τι νεωτερίσαντες ὁρμήν τινα κινήσητε καὶ μετὰ ταῦτα ἀνόνητα καὶ ἀνωφελῆ μεταγνώσησθε". Τούτων τοίνυν εἰρημένων τῶν λόγων ἐξῆλθον οἱ Ἀρμένιοι, καὶ κομίσαντες τῷ κριτῇ τὸν ὁρισμὸν ἀνέγνωσαν· καὶ ἀναγνωσθεὶς ἐσημειώθη τῷ κώδικι. Σκοπὸς δὲ ἦν τοῖς Ἀρμενίοις καί τινα νεωτερισμὸν κατ' αὐτὴν ποιῆσαι τὴν ἡμέραν, ἀλλ' ὁ φόβος κατέσχε τὴν ὁρμήν. Τέλος δ' οὖν ὡς σύνηθες ἐλήλυθε καὶ ἡ ὥρα, ἐν ᾗ ἦν ὁ πᾶς φόβος. Ἔθος δ' ἐν ἐκείνῃ τῇ τοῦ μεγάλου σαββάτου ἡμέρα πάσας τὰς ἐν τῷ ἁγίῳ τάφῳ φυλὰς πλὴν Λατίνων παραγίνεσθαι ἄδειαν λαμβάνειν τῆς ἐπὶ τὴν λιτανείαν ἐξόδου. Ἐν τούτῳ γοῦν ἠλπίζομεν τῶν Ἀρμενίων πεῖραν λαβεῖν, ἀλλ' οὐδέν τι ἐνεωτέρισαν· ἦλθον γὰρ ὡς ἔθος ἅπασαι αἱ φυλαὶ καὶ καθημένου τοῦ πατριάρχου ἡμῶν ἐν τῇ κέλλῃ αὐτοῦ ἡσπάσαντο τὴν δεξιὰν αὐτοῦ καὶ τὴν προσήκουσαν ὡς αὐτοῖς ἔθος ἔλαβον ἄδειαν. Εἶθ' οὕτω κατελθόντων, σημείου φανέντος ἐπὶ τῆς τρούλλης ἐξῆλθε πρῶτος ὁ μητροπολίτης ἡμῶν καὶ μετ' αὐτὸν οἱ Ἀρμένιοι καὶ καθεξῆς αἱ φυλαὶ πᾶσαι κατὰ τὴν τάξιν αὐτῶν, καὶ οὕτως εἰσῆλθον ἐν τῷ ἁγίῳ τάφῳ καὶ ἐξῆλθον μηδέν τι νεωτερίσαντες. Μετὰ δὲ τὴν τοῦ πάσχα ἑορτὴν κατήλθομεν εἰς Ἰόππην εἰρηνικῶς τε καὶ ἀταράχως, κἀκεῖθεν εἰς πλοῖον ἐμβάντες ἤλθομεν εἰς Βασιλεύουσαν.

13. Σκεπτόμενοι δὲ τὰ πράγματα ἐν τοιάδε ὄντα τάξει σχολὴν ἤγομεν, μόνα τὰ γράμματα ἡμῶν ἀναθεωροῦντες καὶ εὐκρινοῦντες, ὅσα δηλαδὴ ἐπὶ τῆς τοιᾶσδε ὑποθέσεως ἁρμόζοντα ἦν· ἐγράψαμεν δὲ καὶ ἐν Ἱεροσολύμοις εἴ τι ἀναγκαῖον εὕροιεν γράμμα πρὸς ἡμᾶς ἀποστεῖλαι. Ἐρευνώντων δὲ τῶν ἐκεῖσε τά τε γράμματα καὶ νομικὰς ἀποφάσεις περὶ πάντων τῶν συμφερόντων ἡμῖν, μουσουλμάνος τις τῶν Ἱεροσολυμιτῶν σεχ-Φεδὴς καλούμενος, εἴδησιν λαβὼν τῆς ἐρεύνης καὶ τῶν γραμμάτων, τῷ τῶν Ἀρμενίων

βαρδαμπέτῃ Κηρκόρῃ παρέσχε τὴν εἴδησιν πωλήσας αὐτὴν χρυσίνοις πολλοῖς· οἳ δὲ νομίσαντες σκοπὸν ἔχειν ἡμᾶς περὶ τοῦ ἁγίου Ἰακώβου ἀγωγὴν κινῆσαι—ἦσαν γὰρ καὶ μεταξὺ τῶν ἄλλων γραμμάτων καὶ νομικαί τινες ἀποφάσεις καὶ κρίσεως ἀποδείξεις, ὡς ἀνέκαθεν δι' ἐνοικίου ἐκάθηντο ἐπί τε τοῦ Γερμανοῦ Σωφρονίου καὶ Θεοφάνους τῶν πατριαρχῶν—ἔνθεν τοι καὶ φοβηθέντες ἀναφορὰν ἐκ τε τοῦ κριτοῦ τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐκεῖσε ἐγχωρίων λαβόντες (πωλοῦσι γὰρ οὗτοι χρήμασι τὰς σφραγῖδας αὐτῶν) ἀπέπεμψαν ἐν Βασιλευούσῃ. Ἡμῶν δὲ μηδεμίαν περὶ τούτων ἐχόντων εἴδησιν, κρύφα δευτέραν ποιοῦσιν ἀναφορὰν καὶ τὸ τοῦ προτέρου ὁρισμοῦ ἀπαιτοῦσι σημείωμα ἐκ τοῦ τῶν ἐπισκόπων κώδικος· τούτου δὲ ἐξαχθέντος κατά τε τὴν ἀναφορὰν αὐτῶν καὶ τὴν τοῦ τῆς Ἱερουσαλὴμ κριτοῦ, ἔτι δὲ καὶ τὴν ἐνσφράγιστον τῶν Ἱεροσολυμιτῶν, δεύτερον, ὡς αὐτοὶ ἠβούλοντο, γράφουσιν ὁρισμόν, ὃν καὶ ἤγαγον τῷ βασιλεῖ, καίτοι γε μηδὲν περὶ τούτων εἰδότι· ἀλλ' οὖν τῇ ἀλλεπαλλήλῳ ταύτῃ ζητήσει ἐπαπορήσας ὑπέγραψε καὶ τοῦτον τὸν ὁρισμόν.

14. Ἡ δὲ τούτου περίληψις τοιάδε ἐστί. «Τῷ τῆς Δαμασκοῦ ἡγεμόνι καὶ τῷ τῆς Ἱερουσαλὴμ κριτῇ γνωστὸν ἔστω ὅτι ὁ νῦν τῶν Ἀρμενίων πατριάρχης ἐν Κωνσταντινουπόλει καὶ τῶν ὑπ' αὐτὴν ἐπαρχιῶν Ὀβανέζης, καὶ ὁ ἐν Ἱεροσολύμοις πατριάρχης τῶν Ἀρμενίων καὶ τῶν ὑπ' αὐτὴν ἐπαρχιῶν Κηρκόρης, καὶ οἱ μητροπολῖται αὐτῶν ἱερωμένοι καὶ καλόγηροι καὶ οἱ λοιποὶ Ἀρμένιοι οἱ ὑποκείμενοι τῷ κράτει ἡμῶν, οἱ εὑρισκόμενοι ἐν Ἱερουσαλὴμ καὶ τοῖς ἄλλοις πεφυλαγμένοις τόποις τῆς βασιλείας ἡμῶν, ἀναφορὰν τῷ αὐτοκρατορικῷ μου κριτηρίῳ δεδώκασι, μεθ' ἧς ἐδήλουν ὡς ὁ Ἀλὴς καὶ ὁ Ὠμέρης ἐδεδώκει αὐτοῖς ἀκτιναμέν, ὡσαύτως δὲ καὶ οἱ μετ' αὐτοὺς βασιλεῖς ὁρισμοὺς παρέσχον διαλαμβάνοντας ὅτι τῶν ὁμογενῶν ἐθνῶν τῶν ἀνέκαθεν τοῖς Ἀρμενίοις ὑποκειμένων τὰς ἐν τῇ Ἱερουσαλὴμ ἐκκλησίας καὶ μοναστήρια κτήματά τε καὶ χώματα καὶ τόπους, ὥνπερ κατ' ἔθος μετέσχον, ὑπὸ τὴν ἐξουσίαν δεῖ εἶναι τῶν Ἀρμενίων καὶ ὑπὸ τοῦ πατριάρχου αὐτῶν τοῦ καθημένου εἰς τὴν ἀρχαίαν τε καὶ μεγάλην ἐκκλησίαν τοῦ

ἁγίου Ἰακώβου δεσπόζεσθαι· τὰ δὲ ῥηθέντα ὁμογενῆ ἔθνη κατὰ τὴν τοῦ κώδικος περίληψιν Ἀβυσινοί εἰσι Κόπται τε καὶ Σύροι. Ἔνθεν τοι καὶ ὁ ἐμὸς λαμπρὸς πρόπαππος σουλτὰν Σελήμης μετὰ τὸ λαβεῖν τὴν Ἱερουσαλὴμ ἰδὼν τοὺς διαληφθέντας ἀκτινα-
5 μέδες, τάς τε ἀποφάσεις, κατὰ τὸν αὐτὸν προσεπεκύρωσε τρόπον καὶ τὰ ἴσα τούτων διατηρήσας ὁμοίως διεβεβαίωσε, γράμμα αὐτοῖς παρασχὼν ἀνακτορικὸν καὶ ἴσον τοῦ ἐν τῷ εὐτυχεστάτῳ ταμείῳ καταστίχου· ἐφεξῆς δὲ καὶ ὁ ἀοίδιμος σουλτὰν Σουλεϊμάνης ἐδωρήσατο αὐτοῖς θέσπισμα μετὰ βασιλικῆς ἐπιγραφῆς γεγραμμε-
10 νον, καὶ καθεξῆς καὶ οἱ μετὰ ταῦτα βασιλεῖς ὡσαύτως δεδώκασιν αὐτοῖς ὁρισμὸν μετὰ βασιλικῶν ἐπιγραφῶν. Πρὸς τούτοις δὲ ἐδεδηλώκεσαν, ὡς ἔχουσι διάφορα γράμματα ἀποφάσεις τε νομικὰς καὶ ὡς ἐν ἔτει ,αξγ' (1652) τῇ ζ' σελήνης Σαμπὰν ἐδέδοτο τοῖς τε Ῥωμαίοις καὶ Ἀρμενίοις ἴσον βασιλικοῦ καταστίχου ἐπὶ τῷ μὴ
15 μίγνυσθαι ἀμφοτέρων τῶν φυλῶν τὰ πράγματα καὶ διακεχωρισμένα εἶναι· προσέτι δὲ ἐν ἔτει ,αξς' (1655) ὁ ἀοίδιμος βασιλεὺς σουλτὰν Μωαμέτης δι' ἰδίας αὐτοῦ ἐπιγραφῆς ὁρισμὸν δέδωκεν αὐτοῖς ἐπὶ τῷ κρατεῖν καὶ ἐξουσιάζειν πάντα τὰ προῤῥηθέντα ἔθνη τε καὶ ἐκκλησίας αὐτῶν. Ἐξ ἐκείνων
20 δὲ τῶν χρόνων μέχρι τοῦδε ἦρχον οἱ ῥηθέντες Ἀρμένιοι τῶν ἄνωθεν φυλῶν καὶ κτημάτων αὐτῶν. Ἐπεὶ μέντοι γε τό τε ἴσον τοῦ ἀρχαίου βασιλικοῦ καταστίχου, τό τε αὐτοκρατορικὸν σημεῖον τοῦ τὴν Ἱερουσαλὴμ χειρωσαμένου σουλτὰν Σελήμη, τά τε ἐν τοῖς αὐτοῖς κώδιξι σημειώματα τὰ μετὰ ταῦτα δωρηθέντα αὐτοῖς ἐν
25 παλαιῷ ἐμεμενήκεσαν καταστίχῳ, ἐξ ἐκείνου τοῦ χρόνου οὔτε εὐκαίρου καιροῦ τυχόντες οὔτε δυνάμεως ἔκ τινων περιστατικῶν ἀνανεῶσαι οὐκ ἴσχυσαν τὰ δωρηθέντα αὐτοῖς βασιλικὰ θεσπίσματα· ἔνθεν τοι καιροῦ τυχόντες οἱ Ῥωμαῖοι ἀγνοοῦντος τοῦ βασιλικοῦ κράτους ἐν κώδιξιν ἐσημείωσαν προνόμιά τινα, διαλαμβάνοντα ὡς
30 οἱ Ἀβυσινοὶ Σύροι τε καὶ Κόπται ὑποτελεῖς εἰσι τοῖς Ῥωμαίοις, μὴ ἐξαρκούμενοι τοῖς ὁμογενέσιν αὐτῶν ἔθνεσι Σέρβοις Ἴβηρσι καὶ Ῥώσσοις καὶ τοῖς αὐτῶν κτήμασι, καί τοι γε ταῦτα τὰ τρία ἔθνη καὶ τὰ κτήματα αὐτῶν γεγραμμένα εἰσὶν ἐν τοῖς κώδιξιν ὑπὸ

τὴν ἐξουσίαν εἶναι τοῦ τῶν Ἀρμενίων πατριάρχου κατὰ τὰ ἀρχαῖα προνόμια, ὡς ἀνέκαθεν ὁμογενῆ καὶ ὑποτελῆ ὄντα αὐτοῖς. Οἱ δὲ Ἀρμένιοι περὶ τούτου μηδεμίαν εἴδησιν ἔχοντες οὐκ ἠδυνήθησαν ἐπομένως δεῖξαί τε καὶ δηλῶσαι τοὺς οὓς εἶχον κεκρυμμένους ὁρισμούς. Ἐν τούτῳ δὲ καὶ οἱ Ῥωμαῖοι ἐρίζοντες ἦσαν περὶ τῆς τοῦ ἁγίου φωτὸς ὑποθέσεως, ἐπὶ τῷ μὴ γίνεσθαι δηλαδὴ τὴν εἰς τὸν ἅγιον τάφον εἴσοδόν τε καὶ ἔξοδον κοινὴν καὶ ἰσότιμον, καίπερ ἀνέκαθεν οὕτως ἐπικρατησάσης τῆς συνηθείας, ἀλλὰ προτέρους αὐτοὺς εἶναι τῶν Ἀρμενίων. Κατὰ δὲ τὰς ἀναφορὰς τοῦ τε ἐπιστάτου τῆς οἰκοδομῆς τοῦ ἁγίου τάφου, τοῦ κριτοῦ καὶ τῶν ἐκ τοῦ βασιλικοῦ κράτους ἀπεσταλμένων, καὶ τοῦ τῆς Ἱερουσαλὴμ κριτοῦ, θεωρηθέντος ἐν τῷ καιρῷ τῆς οἰκοδομῆς καὶ δηλωθέντος τοῦ βασιλικοῦ ὁρισμοῦ τοῦ κατὰ καιρὸν κρυπτομένου κεκώλυται ἡ τοῦ ἁγίου φωτὸς ἐκβολὴ καὶ τὰ ἐν τοῖς βασιλικοῖς κώδιξι σεσημειωμένα τῶν ὁρισμῶν σημειώματα ἐξηλείφθησαν. Ἐν δὲ τῷ ,αρμβ ἔτει (1729—1730) ἐπὶ τῶν ἡμερῶν τοῦ πρώην βασιλεύοντος σουλτὰν Ἀχμέτη γενομένης στεφηφορίας αὐτοκρατορικῆς, κατὰ τὰ ἀρχαῖα προνόμια δέδοται αὐτοῖς ὁρισμὸς βασιλικῷ θεσπίσματι καὶ ἰδιοχείρῳ ἐπιγραφῇ· οἱ δὲ Ῥωμαῖοι τοὺς οὕσπερ εἰλήφεσαν καὶ ἔκρυπτον ὁρισμούς, εἰ καὶ ὁ τόπος αὐτῶν ἐξηλειμμένος ἦν, μιᾷ μηχανῇ ἀνενέωσαν. Ἔνθεν τοι ἐν ἔτει ,αρμς' (1734) δεδώκασιν οἱ Ἀρμένιοι ἀναφορὰν τῷ ἡμετέρῳ ὑπάτῳ καὶ προσκλαιόμενοι τοῦτο ἐδήλωσαν, ὡς οἱ Ῥωμαῖοι αἴτιοί εἰσι συγχύσεως· ἔνθεν τοι καὶ προσταγὴ ἐγένετο βασιλικὴ καὶ ὁ τῆς Ῥούμελης κριτὴς ἐθεώρησε τοὺς κεκρυμμένους τε καὶ ὑπογεγραμμένους ὁρισμοὺς τοῦ τε Ἀλῆ καὶ τῶν λοιπῶν καὶ τὰ τούτων γράμματα, καὶ τῷ βασιλικῷ κράτει ἀναφορὰν ἀπεστάλκει ἐπὶ τῷ ἐξαλειφθῆναι ἐκ μέρους αὐτοῦ τά τε τῶν κωδίκων σημειώματα τὰ ἐναντίως τῇ ἀρχαίᾳ συνηθείᾳ ληφθέντα καὶ τῷ ἐσφραγισμένῳ ὁρισμῷ βασιλικὴν σημειωθῆναι ἐπιγραφὴν τῷ δοθέντι αὐτοῖς. Πρὸς τούτοις δὲ καὶ ὁ τῶν Ἱεροσολύμων κριτὴν ἀναφορὰν ἐπεποιήκει, ὡς ἐκ τῆς περιλήψεως πάντων τῶν ἐν τῷ νομικῷ κριτηρίῳ συναχθέντων σημειωμάτων καὶ ἔκ τινων μυσουλμάνων τῶν τὴν ἀλήθειαν λαλούντων ἔδοξαν οἱ τῶν Ῥωμαίων

λόγοι ἐναντίοι εἶναι τῇ ἀρχαίᾳ συνηθείᾳ, καὶ ὅτι κατὰ πάντα νενίκηνται. Διὰ τὸ εἶναι μέντοι γε τοὺς Ῥωμαίους κατὰ πάντα τοῖς Ἀρμενίοις ἀντικειμένους, ἀποσημείωσιν δεῖ γενέσθαι τῶν ἀκτιναμέδων, οὓς ὁ σουλτὰν Σελήμης ὁ τὴν Ἱερουσαλὴμ λαβὼν καὶ ὁ μετ' αὐτὸν σουλτὰν Σουλεϊμάνης, καὶ τῶν λοιπῶν βασιλικῶν σημείων, ἅπερ αὐτοῖς δεδώρηνται ἐν τῷ τῆς αἰχμαλωσίας καιρῷ· τά τε σημειώματα τῶν βασιλικῶν ὁρισμῶν καὶ τῶν ἴσων τοῦ βασιλικοῦ καταστίχου (ἃ Ἀρμενίοις τε καὶ Ῥωμαίοις δέδονται) ἐν παλαιῷ σεσημειωμένα καταστίχῳ, καὶ τὸ δοθὲν σημείωμα τοῦ μετὰ βασιλικῆς ἐπιγραφῆς γεγραμμένου ὁρισμοῦ ἐν νέῳ καταστίχῳ γραφῆναι. Ταῦτα τοίνυν μετὰ τὸ ἀνενεγκεῖν τοὺς Ἀρμενίους καὶ δεηθῆναι, δέον κατὰ τὸν προρρηθέντα τρόπον τά τε βασιλικὰ θεσπίσματα καὶ τὰ ἐν νεαραῖς σημειώματα καὶ τοὺς βασιλικοὺς ὁρισμοὺς τοὺς παρὰ τῶν ἐκλάμπρων προγόνων ἡμῶν δοθέντας, τό τε ἀρχαῖον ἴσον τοῦ βασιλικοῦ καταστίχου καὶ τὸ μετὰ ταῦτα γεγονός, τά τε παλαιὰ σημειώματα ἀποσημειωθῆναι, καὶ δοθῆναι αὐτοῖς κατ' αὐτὰ νέον βασιλικὸν ὁρισμὸν διαλαμβάνοντα ἄρχειν αὐτοὺς κατὰ τὰ παλαιὰ προνόμια τῶν τοῦ ἁγίου τάφου ἐκκλησιῶν καὶ μοναστηρίων, κτημάτων τε καὶ χωμάτων ὧν κατ' ἔθος κοινωνοῦσι, Κοπτῶν τε καὶ Σύρων καὶ Αἰθιόπων, ὁμογενῶν καὶ ὑποκειμένων ἐθνῶν τοῖς Ἀρμενίοις, μετὰ τῶν κτημάτων ἀφιερωμάτων καὶ πραγμάτων αὐτῶν· τὴν δὲ ἀρχαίαν τῶν Ῥωμαίων ἀντίστασιν κωλυθῆναί τε καὶ ἀνατραπῆναι ἐν τοσούτῳ, ὥστε ἐὰν ἐν τοῖς μετέπειτα χρόνοις τρόπῳ τινὶ ἐναντίον τῶν ῥηθέντων δοθείη αὐτοῖς ὁρισμός, ἢ ἐπί τινι χρόνῳ εἰς ἔριν κινηθέντες καὶ ἑπομένως ὁρισμόν τινα κατὰ τούτων δείξωσι, μήτε ἐνεργεῖσθαι μήτε κῦρός τι ἔχειν, ἀλλὰ τὰ προνόμια καὶ τὰ σημειώματα τῶν Ἀρμενίων κατέχεσθαί τε καὶ εἰς τὸ διηνεκὲς ἀσφαλῆ φυλάττεσθαι. Ἐπειδὴ τοίνυν ὁ πρώην τῆς Ἱερουσαλὴμ κριτὴς κατὰ τὴν προτέραν ἀναφορὰν τὴν περὶ τοῦ ἁγίου φωτὸς γεγονυῖαν ὁμοίαν ἄλλην καὶ αὐτὸς ἐποιήσατο σαφηνίζων, ὡς ἐρωτήσας εἰδήμονάς τινας ἐβεβαιώθη ὅτι ἀρχαῖον ἦν ἔθος μετὰ τὸ φανῆναι τὸ ἅγιον φῶς κατὰ τὴν τοῦ πάσχα ἡμέραν ὁμοῦ γίγνεσθαι τὴν εἰς τὸν ἅγιον τάφον εἴσοδον καὶ μὴ τὸν ἕνα πρῶτον τὸν δ' ἔσχατον εἶναι, ὥσπερ

καὶ ἐν κεκρυμμένῳ σημειώματι εὕρηται, καὶ ὡς ἡ ἀναφορὰ τῶν Ῥωμαίων ψευδὴς ἐστίν, ὡσαύτως δὲ καὶ ὁ νῦν τῆς Ἱερουσαλὴμ κριτὴς Ἐσεὶτ Μουσταφᾶς ἀναφορὰν δευτέραν ἐποιήσατο, ὡς οἱ ῥηθέντες Ἀβυσινοὶ Κόπται τε καὶ Σύροι ἀνέκαθεν τοῖς Ἀρμενίοις ἦσαν ὑποτελεῖς καὶ ὁμογενῆ ἔθνη αὐτοῖς, καὶ ὡς κατὰ τὴν ἡμέραν τοῦ πάσχα, ὅτε ἡ ἐπιφάνεια γίνεται τοῦ ἁγίου φωτός, ὅ τε τῶν Ῥωμαίων πατριάρχης καὶ ὁ τῶν Ἀρμενίων ἢ οἱ ἐπίτροποι αὐτῶν ἅμα ποιοῦσι τὴν εἰς τὸν τάφον εἴσοδόν τε καὶ ἔξοδον καὶ οὐδεὶς ἐστι τοῦ ἄλλου πρῶτος ἢ ἔσχατος, ὡς πέπεισται ἐρωτήσας ὑπό τε τῶν θεωρῶν καὶ πιστῶν μουσουλμάνων καὶ ἐν ἀληθείᾳ λαλούντων, ὑπό τε τῶν ἐν Ἱεροσολύμοις οἰκούντων Ἀβυσινῶν Κοπτῶν τε καὶ Σύρων καὶ ἐν τῷ κριτηρίῳ ἐλθόντων καὶ ὁμολογησάντων ὡς καὶ πρὸ τοῦ σουλτὰν Σελήμη καὶ μετὰ ταῦτα ὁμογενῆ ἦν ἔθνη τοῖς Ἀρμενίοις καὶ ὑποτελῆ· καὶ ἐπειδὴ οἱ Ἀρμένιοι, κατά τε τὸ ἀρχαῖον ἔθος καὶ κατὰ τοὺς μετὰ βασιλικῆς ἐπιγραφῆς γεγραμμένους ὁρισμοὺς καὶ κατὰ τὴν τῶν ἄνωθεν εἰδημόνων ἐγχωρίων Μουσουλμάνων μήνυσιν, τῶν τριῶν ζητοῦσιν ἄρχειν ὁμογενῶν ἐθνῶν καὶ ὑποτελῶν αὐτοῖς, καταπαῦσαί τε δεῖ τοὺς λόγους καὶ ἀντιστάσεις τῶν Ῥωμαίων. Ἐν ἔτει ,αρμζ' (1734) τῇ κ' τῆς σελήνης Σαμπὰν ἐθεωρήθη εἰς τὸ τερκενάρι τοῦ βασιλικοῦ ὁρισμοῦ καὶ ἐν τῷ ἀρχαίῳ καταστίχῳ τὸ γεγονὸς κατὰ τὸν ἐκδοθέντα ὁρισμόν, καὶ σεσημείωται οὕτως· Θεία τοῦ ὑψίστου Θεοῦ βοηθεία ἐλθόντων ἡμῶν ἐν Ἱερουσαλὴμ τῷ οἴκῳ τοῦ Θεοῦ καὶ Βηθλεὲμ [1] τῇ κε' τῆς σελήνης Σεφὲρ, ἠνεῴχθησαν αἱ πύλαι καὶ ἐλήλυθε πρὸς ἡμᾶς ὁ τῶν Ἀρμενίων πατριάρχης Σερκίζης μετὰ πάντων τῶν μοναχῶν αὐτοῦ καὶ τῶν ὑπηκόων καὶ ἡμῖν ὑπετάγησαν· ἔχοντες δὲ προνόμια ἴδια ἐδεήθησαν ἵνα κατ' αὐτὰ ὃς ἂν τύχῃ πατριάρχης εἶναι τῶν Ἀρμενίων, ἄρχῃ τῶν τε ἐκκλησιῶν μοναστηρίων, προσκυνημάτων τε τῶν τε ἐκτὸς καὶ ἐντός, τῶν τε ἐκκλησιῶν καὶ τῶν τῶν προσκυνημάτων

1. «Πέτ-τ-οὐλλάχ, ὄχι πέτ-τ-οὐλάχμ· τὸ μὲν γὰρ οἶκον Θεοῦ δηλοῖ, τὸ δὲ Βηθλεέμ, καὶ εἶναι λάθος μεταφρασμένον· οὐ γὰρ ἐν τῷ ὁρισμῷ πέτοουλλάχμ γέγραπται, ἀλλὰ πέτ οὐλλάχ, ὅπερ ὡς εἴρηται δηλοῖ οἶκον Θεοῦ· οἱ γὰρ οἰκουμενοὶ σφόδρα εὐλαβοῦνται τὴν Ἱερουσαλὴμ καὶ οἶκον Θεοῦ αὐτὴν ἐπονομάζουσι».

οἴκων, ὥνπερ αὐτὸς ἀνέκαθεν ἦρχεν. Καὶ οὕτω κατὰ τὰς ἀποφάσεις τοῦ τε Ὁμέρη καὶ κατὰ τοὺς δοθέντας ὁρισμοὺς ἐπὶ τῶν ἡμερῶν τῶν πάλαι ἀοιδίμων βασιλέων, ἐπείπερ τοῦ τάφου τοῦ Ἰησοῦ καὶ τῆς Βηθλεὲμ καὶ τῆς πρὸς ἄρκτον πύλης καὶ τῆς μεγάλης τοῦ ἁγίου Ἰακώβου ἐκκλησίας καὶ τοῦ ὄρους τῶν Ἐλαιῶν καὶ τῆς φυλακῆς τοῦ Χριστοῦ καὶ τοῦ Ναπλοὺς καὶ τῶν Αἰθιόπων καὶ Κοπτῶν καὶ Σύρων τῶν ὁμογενῶν ἐθνῶν καὶ ὑποτελῶν αὐτοῖς ἄρχεσθαι δεῖ ὑπὸ τοῦ πατριάρχου τῶν Ἀρμενίων τοῦ καθημένου ἐν τῇ μεγάλῃ τοῦ ἁγίου Ἰακώβου ἐκκλησίᾳ, ὑπ' οὐδενὸς δὲ ἄλλου κατεξουσιάζεσθαι γένους, δέδωκα οὖν αὐτοῖς τὸ αὐτοκρατορικὸν τοῦτο σημεῖον, δι' οὗ ἐντέλλομαι κατ' αὐτὸ πάντα ἐνεργεῖσθαι, δηλαδὴ τὸν ἐν τῇ ῥηθείσῃ ἐκκλησίᾳ τοῦ ἁγίου Ἰακώβου κατοικοῦντα πατριάρχην ἄρχειν τε καὶ ἐξουσιάζειν κατὰ τὸ παλαιὸν ἔθος τῶν τε ἔνδον καὶ ἔξω ἐκκλησιῶν, μοναστηρίων τε καὶ προσκυνημάτων, ἔτι δὲ τῶν Αἰθιόπων Κοπτῶν τε καὶ Σύρων ὁμογενῶν καὶ ὑποτελῶν ὄντων αὐτοῖς, θεωρεῖν τε τὰς ὑποθέσεις αὐτῶν, ἄρχειν τε καὶ ἀποκαθιστᾶν καὶ τὰς συντεινούσας ὑποθέσεις τῶν τόπων αὐτῶν θεωρεῖν, λαμβάνειν τε τὴν περιουσίαν τῶν ἀποθανόντων μητροπολιτῶν ἐπισκόπων πρεσβυτέρων τε καὶ μοναχῶν καὶ τῶν ὑποτελῶν αὐτοῖς καὶ τῶν λοιπῶν Ἀρμενίων, καὶ οὐδὲν ἔθνος κατὰ τὴν ἐπικρατήσασαν συνήθειαν μηδαμῶς αὐτοῖς ἐνοχλεῖν (τοσοῦτον τοῖς ὑποτελέσι καὶ ὁμογενέσιν ἔθνεσιν αὐτῶν, ὅσον καὶ ταῖς ἐκκλησίαις μοναστηρίοις τε καὶ προσκυνήμασι καὶ ἄλλοις ἱεροῖς αὐτῶν τοποις τοῖς οὖσιν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν), ἄρχειν τε τοῦ τάφου τῆς Παναγίας τοῦ ἐκτὸς τῆς Ἱερουσαλήμ, τῆς Βηθλεὲμ ἐν ᾗ ὁ Χριστὸς ἐτέχθη, τῶν δύο μανουαλίων καὶ τῶν κανδηλῶν τῶν ἐν τῇ θύρᾳ τοῦ ἔνδον τάφου καὶ τῶν κανδηλῶν τῶν ἐν τῇ πύλῃ τῆς τρούλλης καὶ τῶν ἔνδον τῆς τρούλλης καὶ τῶν λαμπάδων ἃς καίουσι, καὶ τῶν θυμιατηρίων καὶ τοῦ ἔνδον τοῦ τάφου κατὰ τὴν θρησκείαν αὐτῶν φωτός, καὶ τῆς λιτανείας ἣν περιιστάμενοι ποιοῦσιν, ὅτε ἔνδον τοῦ κουβουκλίου εἰσέρχονται μετὰ τῶν ὁμογενῶν αὐτοῖς καὶ ὑποκειμένων ἐθνῶν τοῦ φωτὸς φαινομένου, καὶ τῶν ἄνω καὶ κάτω μερῶν τῶν ἔνδον τῆς πόλης,

τῶν δύο θυρίδων, τῶν προσκυνημάτων καὶ ἱερῶν μερῶν τῶν ἐντὸς εὑρισκομένων, τοῦ φρέατος καὶ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἰωάννου τῆς κειμένης ἐν τῇ αὐλῇ τοῦ ἁγίου τάφου, καὶ τῆς ἐκκλησίας τῆς οὔσης ἐγγὺς τοῦ ἁγίου Ἰακώβου, φυλακῆς τοῦ Χριστοῦ λεγομένης, καὶ τῶν ἄλλων μοναστηρίων καὶ κοιμητηρίων τόπων τε καὶ οἴκων τῶν ἐγγὺς τοῦ σπηλαίου Βηθλεέμ, καὶ τῶν οἴκων τῶν ξένων, ἀμπελώνων κήπων τε καὶ ἐλαιώνων, καὶ ἁπλῶς εἰπεῖν τῶν ῥηθεισῶν ἐκκλησιῶν καὶ μοναστηρίων καὶ προσκυνημάτων καὶ ἱερῶν τόπων τῶν ὑποκειμένων αὐτοῖς, ὥσπερ ἀρχῆθεν διώρισται ὑπὸ τοὶς Ἀρμενίοις τελεῖν· τοὺς δὲ ἐρχομένους Ἀρμενίους εἰς προσκύνησιν τῶν ἐκκλησιῶν αὐτῶν καὶ ἀπερχομένους ἐν τῷ ὕδατι τοῦ Ἰορδάνου ταῖς τε πανηγύρεσιν αὐτῶν προσκυνήμασί τε καὶ περιηγητικοῖς τόποις μηδαμῶς παρενοχλεῖν τοὺς δυνάστας καὶ ἐξουσιαστάς, καὶ κατὰ τὸ δοθὲν βασιλικὸν γράμμα ἐνεργεῖσθαι τὰ πάντα καὶ οὐδενὶ τρόπῳ τὰ λοιπὰ ἔθνη παρενοχλεῖν αὐτοὺς ἐπὶ τοῖς δοθεῖσι προνομίοις· οὐδένα δὲ ἐκ τῶν τέκνων μου ἢ ἐκ τῶν μεγάλων ὑπάτων ἢ ἐκ τῶν κοινῶν ἢ ἐκ τῶν μεγάλων ἡγεμόνων ἢ ἐκ τῶν ἐξουσιαστῶν καὶ τῶν λοιπῶν τῶν ἐν ἐξουσίᾳ ὄντων οὐδενὶ τρόπῳ ταράττειν ταυτηνὶ τὴν ὑπόθεσιν, οὔτε ἐναντίον τι τῶν ἄνωθεν ποιῆσαι. Ὃς δ' ἂν τοὐναντίον δράσῃ, κατηριθμημένος εἴη μετὰ τῶν κολαζομένων". Ταῦτα διελάμβανεν ὁ ἐν ἔτει 923 (1517) δοθεὶς ὁρισμός, οὗπερ τὸ ἴσον ἐκ παλαιοῦ σεσημείωται καταστίχου. Ἤδη δὲ ὁ τῶν Ἀρμενίων πατριάρχης Σερκίζης ἦλθεν ἐν Βασιλευούσῃ καὶ ἀναφορὰν ἐδεδώκει διαλαμβάνουσαν, ὅτι κατὰ τὰ θεσπίσματα τοῦ τε Ὄμαρ καὶ τῶν πάλαι σουλτάνων καὶ βασιλέων δεσπόζειν αἰτεῖ τῶν τε ἐν τῇ Ἱερουσαλὴμ ἐκκλησιῶν καὶ μοναστηρίων καὶ ἄλλων ἱερῶν τόπων ὑποκειμένων αὐτοῖς, ἔτι δὲ καὶ τῶν ὁμογενῶν ἐθνῶν καὶ ὑποκειμένων αὐτοῖς, ὧνπερ ἀνέκαθεν εἶχον. Ἐπειδὴ οὖν ὁ μακαρίτης πατήρ μου σουλτὰν Σελήμης θεία βοηθεία τοῦ Ὑψίστου καὶ τοῦ ἀποστόλου αὐτοῦ ἔλαβε τὴν Ἱερουσαλὴμ καὶ ἀνεωχθεισῶν τῶν τῆς πόλεως θυρῶν ἀπῆλθεν εἰς Βηθλεέμ, ὁ δὲ ῥηθεὶς πατριάρχης μετὰ τῶν ὑπηκόων ἐνεφανίσθη αὐτῷ τῷ πατρί μου καὶ μεθ' ὑποκλίσεως τὴν δουλικὴν ἀπέδωκεν

αὐτῷ προσκυνησιν και ἀνεφερεν ὅτι αἱ ἐκκλησίαι καὶ τὰ μοναστήρια και οἱ ἱεροι τόποι οἱ ἐν τοῖς ἱεροῖς θεσπίσμασι γεγραμμένοι, καὶ τὰ ἐντὸς ἔτι καὶ ἐκτὸς προσκυνήματα καὶ οἶκοι καὶ τὰ ὑποκείμενα καὶ ὁμογενῆ ἔθνη Κόπται τε Ἀβυσινοὶ καὶ Σύροι οἱ ἐν τῇ ἐκκλησίᾳ τῶν Ἀρμενίων ὑποκείμενοι τῷ πατριάρχῃ τῶν Ἀρμενίων τῶν ἐν τῇ παλαιᾷ καὶ μεγάλῃ ἐκκλησίᾳ τοῦ ἁγίου Ἰακώβου καθημένων, ὑπὸ τὴν αὐτῶν εἶσιν ἐξουσίαν καὶ οὐδεὶς ἄλλος τῶν διαληφθέντων τόπων μετέχει, ζητεῖ πάλιν ὡσαύτως ἄρχειν αὐτῶν κατὰ τὰ πάλαι θεσπίσματα· ἔνθεν τοι ἐπειδὴ ὁ ἀοίδιμος πατὴρ ἡμῶν κατὰ ταὐτὰ ὁρισμῷ βασιλικῇ ἐπιγεγραμμένῳ χειρὶ ταῦτα προσεκύρωσε καὶ ἴσῳ βασιλικοῦ καταστίχου, διαλαμβάνοντι ὅτι " ὡς πρῶτον ἦρχον, οὕτως ἄρχειν καὶ νῦν μηδενὸς ἀντιλέγοντος ", μετὰ δὲ τὴν ἐντεῦθεν ἀπαλλαγὴν τοῦ ἀοιδίμου πατρός μου ἐδεήθη ὁ ῥηθεὶς καὶ τῆς ἡμετέρας βασιλείας ὅτι κατὰ τὸ δοθὲν τότε βασιλικὸν θέσπισμα καὶ νῦν ἐπικυρωθῆναι μηδένα ἀντιλέγειν, καὶ τὴν μετ' ἐπιγραφῆς βασιλικῆς νεαρὰν ἣν ὁ πατήρ μου τοῖς Ἀρμενίοις ἐδωρήσατο ἀνακαινισθῆναι, ὅθεν κἀγὼ δίκαιόν τε καὶ εὔλογον κρίνας βέβαιόν τε καὶ ἀσφαλῆ δέδωκα αὐτοῖς τὸν ὑπέρτατον τοῦτον καὶ αὐτοκρατορικόν μου ὁρισμόν, δι' οὗ ἐντελλομαι ὅτι αἱ ῥηθεῖσαι ἐκκλησίαι μοναστήριά τε καὶ προσκυνήματα καὶ ἄλλοι περιηγητικοὶ τόποι καὶ τὰ ὁμογενῆ καὶ ὑποκείμενα αὐτοῖς ἔθνη μετὰ πάντων τῶν γεγραμμένων κτημάτων αὐτῶν καὶ τῶν ἀνέκαθεν αὐτοῖς ἑπομένων, ὡς ἔκπαλαι διώρισται ὑπὸ τὴν ἐξουσίαν τοῦ ῥηθέντος εἶναι πατριάρχου, περὶ ταύτης δὲ τῆς ὑποθέσεως μηδένα ἀντιλέγειν, οὔτε βασιλέων τέκνα οὔτε συμβούλους βασιλικοὺς οὔτε σουλτάνους ἢ χαλιφέδας ὑπάτους τε καὶ ἡγεμόνας καὶ ἄλλους ὅσους λοιποὺς δούλους τοῦ κράτους ἡμῶν, καὶ ἐν περιλήψει οὐδένα κατὰ πάντα τρόπον καὶ κατὰ πᾶσαν αἰτίαν ἀντιλέγειν ἢ παρενοχλεῖν τοῖς Ἀρμενίοις. Ὃς δ' ἂν ἐναντίος φανῇ, ἔχοι ἀντίδικον καὶ ἐχθρὸν τὸν ὕψιστον Θεόν, ἔν τε τῇ ἀναστάσεως ἡμέρα ὑπὸ πλήθους τῶν τιμωρούντων κολάζοιτο». Οὗτός ἐστιν ὁ μετὰ τῶν ἄνωθεν συνθηκῶν δοθεὶς ὁρισμός, γεγραμμένος ἐν παλαιῷ καταστίχῳ κατὰ τὸ 927 (1521) ἔτος· σεση-

μείωται δὲ καὶ τοῦ καταστίχου ἴσον τὸ τοῖς Ἀρμενίοις δοθὲν ἐν ἔτει 924 (1518). Ἐθεωρήθησαν καὶ οἱ κώδικες καὶ εὑρηται ἐν αὐτοῖς Σερκίζης πατριάρχης ἐν Ἱερουσαλὴμ καὶ τῶν Ἀρμενίων, τοῦ ἁγίου τάφου καὶ τῆς Βηθλεέμ, τῆς πρὸς βορρᾶν πύλης, τοῦ ἁγίου Ἰακώβου, τοῦ Ναπλοὺς καὶ τῶν ἐθνῶν Ἀβυσινῶν Σύρων καὶ Κοπτῶν τῶν ὑποκειμένων τῇ ἐκκλησίᾳ αὐτῶν, ἣν ἔχουσι μετὰ τῶν ἑπομένων αὐτοῖς, τοῦ δὲ τῶν Ἀρμενίων πατριάρχου τῶν ὑποκειμένων εἰς τὴν αὐτῶν ἐκκλησίαν ἄρχειν, τῶν Ἀβυσινῶν δηλαδὴ Σύρων καὶ Κοπτῶν, τοῦ τε τάφου καὶ τῆς Βηθλεὲμ καὶ τῆς πρὸς βορρᾶν πύλης καὶ τῆς τοῦ ἁγίου Ἰακώβου ἐκκλησίας καὶ τοῦ Ναπλούς· ἃ καὶ γεγραμμένα εἰσὶ καὶ σεσημειωμένα ἐν κώδικι τοῦ δοθέντος ἴσου ἐν ἔτει ,αξ' (1653) τῇ ιζ' τῆς σελήνης τῆς καλουμένης Σαμπάν. Ἐθεωρήθη ἔτι ἐν τῷ κώδικι καὶ τὸ δοθὲν τοῖς Ῥωμαίοις ἴσον τοῦ καταστίχου ἐν ἔτει 922 (1516), καὶ διελάμβανε περὶ τοῦ πατριάρχου τῶν Ῥωμαίων τῆς Ἱερουσαλὴμ καὶ τῶν σεβασμίων τόπων, ὅτι αἵ τε ἄνω καὶ κάτω ἀψῖδες αἱ κατὰ μεσημβρίαν, αἱ ἐν τῇ ἐκκλησίᾳ τῆς Ἱερουσαλήμ, καὶ ὁ ἅγιος τάφος μετά τε τῶν ἑπτὰ τῆς Παναγίας ἀψίδων τῶν ἄνω καὶ κάτω, ἥ τε Βηθλεὲμ μετὰ τοῦ τόπου ἐν ᾧ ὁ Χριστὸς ἐτέχθη, μετὰ τῶν μανουαλίων κανδηλῶν τε καὶ τῶν ἑπομένων αὐτοῖς, ἐν τῇ ἐξουσίᾳ εἰσὶ τοῦ πατριάρχου Σωφρονίου· καὶ ἐν ἔτει ,αμβ' (1633) τῇ δ' τῆς σελήνης καλουμένης Ζιλχιτζὲ δέδοται ἴσον καταστίχου, καὶ ἐν ἔτει ,αξ' (1653) τῇ ιζ' τῆς σελήνης Σαμπὰν σεσημείωται τό τε ἴσον τοῦ καταστιχου, ὃ ἦν γεγραμμένον ἐν παλαιῷ καταστίχῳ, διαλαμβάνον ὡς ἄνωθεν. Ἔνθεν τοι κατὰ τὴν ἀναφορὰν αὐτῶν καὶ τὸ ἐκ τοῦ κώδικος σημείωμα, κατά τε τὰς τῶν κριτῶν τῆς Ἱερουσαλὴμ ἀναφοράς, προσταγὴ γέγονε γραφῆναι τά τε ἐν τῷ κώδικι σημειώματα καὶ τὰ προνόμια ἐπὶ τῷ δῆλα γενέσθαι τῷ βασιλικῷ κράτει, τὰς δὲ ἀναφορὰς κρατηθῆναι· κατὰ δὲ τὴν ἡμετέραν προσταγὴν ἐν οἰκείῳ σεσημείωται τόπῳ· δεδήλωνται δὲ καὶ τετήρηνται. Καὶ δὴ κατὰ τὸν αὐτὸν τρόπον δέδοται περὶ αὐτῆς τῆς ὑποθέσεως ὑπέρτατος ὁρισμὸς ἐπὶ τῷ ἐνεργεῖσθαι ὡς ἄνωθεν. Ἐντέλλομαι τοίνυν, ἐρχομένης τῆσδε τῆς ἱερᾶς μου ἀποφάσεως

τῆς περὶ ταύτης διαλαμβανούσης τῆς ὑποθέσεως, ὅπως ποιήσητε κατὰ τὴν ἡμετέραν προσταγὴν κατὰ τὰ ἅπερ ἔχουσιν ἱερὰ θεσπίσματα καὶ αὐτοκρατορικὰ γράμματα τῶν πρώην βασιλέων, κατὰ τὴν νεαρὰν καὶ κατὰ τὸ ἴσον τοῦ βασιλικοῦ καταστίχου καὶ κατὰ τὰ παλαιὰ τούτων προνόμια τῶν ἐκκλησιῶν καὶ μοναστηρίων κτημάτων τε καὶ χωμάτων, ὧν κατὰ τὸ πάλαι ἔθος μετέσχον, ἄρχειν καὶ νῦν· ἔτι δὲ τῶν Ἀβυσινῶν Σύρων τε καὶ Κοπτῶν τῶν ἀνέκαθεν ὁμογενῶν καὶ ὑποκειμένων αὐτοῖς ἐθνῶν, μετὰ πάντων τῶν κτημάτων καὶ κληρονομιῶν αὐτῶν καὶ τόπων, τοὺς Ἀρμενίους ἄρχειν καθὰ καὶ τὸ πάλαι ἦσαν αὐτῶν προνόμια· τοὐντεῦθεν δὲ ἄλλον περὶ τῆς αὐτῆς ὑποθέσεως μὴ δοθῆναι ὁρισμόν, ἀλλὰ τὸ προνόμιον τοῦτο καὶ σημείωμα τὸ κῦρος εἰς τὸ διηνεκὲς ἔχειν καὶ ἐνεργεῖσθαι ἀσφαλῶς, ἐπειδὴ ἐν οἰκείῳ σεσημείωται τόπῳ· τοὺς δὲ Ῥωμαίους ἐναντίον τῶν ἁγίων ὁρισμῶν τῶν τε πρότερον καὶ μετὰ ταῦτα δοθέντων ἐὰν βουληθῶσί ποτε ἔριν ποιῆσαί τινα καὶ τρόπῳ τινὶ ὁρισμὸν παραστήσωσι, μηδαμῶς ἔχειν τὸ κῦρος καὶ δύναμιν. Οὕτω σταθεροὺς τοίνυν εἶναι ὑμᾶς δεῖ ταύτῃ τῇ ἁγία μου προσταγῇ καὶ πειθηνίους τῷ ἱερῷ τούτῳ σημείῳ. Ἐν ἔτει ,αρμζ' (1734) εἰς τὰς ς' τοῦ Τζουμαζιλαχίρ».

16. Τούτου δὲ γεγονότος τοῦ ὁρισμοῦ ἡμεῖς οὐδεμίαν εἴχομεν εἴδησιν. Τῶν ἐν τῇ τοῦ ὑπάτου δὲ αὐλῇ γραμματικός τις ἐμήνυσεν ἡμῖν διὰ τοῦ γενικοῦ ἑρμηνέως, ὡς ἄρα οἱ Ἀρμένιοι καὶ ἄλλον πεποιήκασιν ὁρισμὸν ἐπιγεγραμμένον χειρὶ βασιλικῇ· περὶ τίνος δὲ καὶ τί διαλαμβάνει ἀγνοεῖν ἔφησεν. Ἔδει μὲν οὖν ἡμᾶς σκέψασθαι τὸ πρακτέον ἐπὶ τῷ τὸν ὁρισμὸν εἰς χεῖρας λαβόντας ἰδεῖν τε καὶ ἀναγνῶναι τὸ ἐν αὐτῷ περιεχόμενον, τοῖς ὅλοις δὲ ἠμηχανοῦμεν διὰ τὸ μὴ δῆλον ἔτι γεγονέναι, μήπω ἐν τοῖς κώδιξιν ἀντιγραφέντα· ἔτι δὲ καὶ ἐν τῷ κοινῷ κώδικι οὐκ ἤγαγον οἱ Ἀρμένιοι ἀλλ' ἐν τῷ (κώδικι τοῦ) τῶν ἐπισκόπων κάλφα, ὃς ὅλος αὐτῶν ἦν, πολλῷ ὠκειωμένος χρυσίῳ. Ἐπέμψαμεν τοίνυν τινὰ τῶν ἡμετέρων, ὡς δῆθεν ἀγνοοῦντα καὶ ἄλλο τι ζητοῦντα, κατασκοπεῦσαι ἐν τῷ τοῦ κάλφα κώδικι· ἀλλ' ἔτι ἀσημείωτος ἦν. Ἔνθεν τοι καὶ δυσχερὴς ἦν ἡ τούτου εὕρεσις. Τέλος δ' οὖν μακρό-

ἴσεν ἔγνω ὁ παρ' ἡμῶν ἀποσταλεὶς τοῦ πράγματος ἅψασθαι καὶ πυθέσθαι εἰ τοιοῦτός τις ἐγένετο ὁρισμὸς καὶ εἰ παρ' αὐτοῖς· ἦν γάρ τις τῶν τοῦ κάλφα οἰκείων εὔνους τῷ παρ' ἡμῶν ἀποσταλέντι. Τοῦτον τοίνυν ἐρωτήσας ὁ ἡμέτερος ἔφη "σὺ μὲν εἶ φίλος ἐμὸς καὶ πάλαι συνήθης, κἀμέ τε οἶδας σιγᾶν ἐπιστάμενον καὶ πρὸς οὐδένα τὸν λόγον ἐκφέροντα· εἰπέ μοι τοίνυν εἴ τις νέος ὁρισμὸς τῶν Ἀρμενίων ἐγένετο, καὶ εἰ δυνατὸν καὶ ἀναγνῶναί μοι δός· ἦν δέ γε ὑπολάβῃς ὅτι πρὸς τὸν τῶν Ῥωμαίων πατριάρχην τὸν λόγον ἐκφέρω, τοῦτο παρὰ σοὶ κεῖται· εἰ μὲν γάρ σοι ἀργυρίων δεῖ, ἐγὼ μὲν ἀναγνοὺς καὶ κρύφα ἀντιγράψας προσφέρω ὡς παρὰ σοῦ τῷ πατριάρχῃ καὶ κερδανεῖς (εὖ οἶδα) σὺ ἀργύριον ὡς ἐφικτόν". Ὁ δὲ τῇ τε φιλίᾳ χαρισάμενος καὶ τῷ χρυσῷ δελεασθείς, κλέψας νυκτὸς ἐκ τοῦ τοῦ κάλφα κόλπου τὸν ὁρισμὸν παρήγαγε πρὸς ἡμᾶς καὶ οὕτως ἀντεγράψαμεν αὐτόν. Ἀναγνόντες δὲ ἡμεῖς μετέπειτα ἔγνωμεν ὅσα ἐς ἀνοήτου κακίας καὶ κενοδόξου οἰήσεως συλλέξαντες ἐπεφόρησαν, μὴ λογισάμενοι τὴν τοῦ πράγματος ἀπόβασιν, καὶ ὡς οὐκ εἰς μακρὰν τἀπίχειρα ἀποτίσουσι τῆς κακίας. Ἀπονενοημένους δὲ καὶ εἰς τὸ κακὸν παντάπασιν ἐπιρρέψαντας γνόντες ἑτέραν ἔγνωμεν τραπέσθαι, ἐφ' ᾧ μὴ καὶ ἄλλα πλείω καὶ ἀνήκεστα ἡμῖν διαπράξωνται — πονηρὰ γὰρ φύσις δυνάμεως ἐπειλημμένη δημοσίους ἀπεργάζεται συμφορὰς — καὶ τὴν μὴ δακνομένην χεῖρα ἀσπάσασθαι ἔγνωμεν. Προσποιηθέντες τοίνυν περὶ τῶν πεπραγμένων μηδὲν εἰδέναι ἀπερχόμεθα πρὸς αὐτοὺς διαπρεσβευόμενοι καὶ εἰρήνην αἰτοῦντες, οἳ δὲ μεγαλαυχοῦντές τε καὶ βρενθυόμενοι μεγάλα ἐκόμπαζον· ἡμεῖς δὲ ὑπεμένομεν τῷ κύκλῳ καὶ τῇ τοῦ καιροῦ φορᾷ συμπεριφερόμενοι· οὐδὲ γὰρ ἦν ἄλλως ποιῆσαι "τῶν γὰρ φυλῶν τῶν ἐθνῶν ὁμοπίστων οὐσῶν ἡμῖν καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον ἀναθεματιζουσῶν, ποίαν" ἡμῖν ἔλεγον "κοινωνίαν εἶναι μεταξὺ ὑμῶν τε καὶ τῶν φυλῶν"; Προβαλόντων δὲ καί ποτε ἡμῶν περί τε τῶν ἐν ταῖς χερσὶν ἡμῶν θεσπισμάτων καὶ ἄλλων δικαιολογιῶν, μηδ' ἀπολογίας ἐπὶ τοῖς λεγομένοις ἠξίουν ἡμᾶς πῇ μὲν ἐπὶ τὸν Σεχπόζην, πῇ δὲ ἐπὶ τὸν Ὕπατον, πῇ δὲ ἐπὶ τοὺς βασιλικοὺς κώδικας, πῇ δὲ καὶ ἐπὶ τὸν βασιλέα αὐτὸν

(παραπέμποντες)· "ὁ Σεχπόζης ἐπίσταται, ὁ ὕπατος, οἱ βασιλικοὶ κώδικες, ὁ βασιλεύς". Τοιαῦτα ὁρῶντες βρενθυομένους οὐκ εἰς μακρὰν τὴν πτῶσιν αὐτῶν εἶναι προὐμαντευόμεθα. Καὶ ταῦτα μὲν πρὸς τοῖς ἄλλοις παραβαλλόμενα φορητὰ εἶναι ἐδόκει· ἦν δέ τις αὐτῶν βαρταμπέτης, ὃς πρὸς ἡμᾶς ἐπεστέλλετο, ἀνὴρ ἄνους φύσει καὶ ὑπέροφρυς — Γιακούπης δὲ ἦν ὄνομα αὐτῷ — καὶ χλευάζειν ἐπειρᾶτο ἡμᾶς ὑπομειδιῶν καὶ πυθόμενος "ὑμῶν ἐστιν ὁ ἅγιος Ἰάκωβος; ὑμέτεραί εἰσιν αἱ φυλαί"; Καὶ ἄλλοι τοιοῦτοι λῆροι πολλοί· ἡμεῖς δὲ σιγὴν ἐξασκήσαντες μηδέν τι ἄλλο ἐλέγομεν, εἰ μή γε ὅτι "οὐδὲν εἰρήνης κρεῖττον" καὶ τὰ τούτοις παραπλήσια, δεδιότες μή τι γε πρός τι τῶν ἀτοπωτέρων αὐτοὺς παροξύναντες μεῖζόν τι κακὸν ἑαυτοῖς προμνηστευσώμεθα.

17. Ἡσυχίαν οὖν ἦγομεν τὸν καιρὸν πραγματευόμενοι. Μετὰ πολλοὺς τοίνυν λόγους ἔγνωσται φιλίαν ὑποποιήσασθαι καὶ διὰ γραμμάτων εἰ δυνατὸν τοῦτο ἐπιστηρίξαι· ἴσως γὰρ γράμματα πρὸς ἀλλήλους πίστεις τε ὄντες καὶ λαβόντες κατεστέλλομεν αὐτῶν τὴν ὁρμήν. Τούτου δὲ τὸ ἐνδόσιμον ἐδεδώκει ἐπιστολή τις, ἣν ἀπεστάλκει ὁ ἀπὸ Ἱεροσολύμων βαρταμπέτης, ἀνὴρ φύσει ὕπουλος ὑποκριτής τε ὑπέρ τινα ἄλλον καὶ ἱκανὸς καταρραδιουργῆσαί τε καὶ πρὸς ἑαυτὸν ἑλκῦσαι λαὸν βάρβαρον. Ἐγεγράφει τοίνυν ἡμῖν καὶ τῶν ὅρκων ἀνεμιμνήσκετο, οὓς ἐν Ἱεροσολύμοις ἔμπροσθεν τοῦ δεσπότου ἡμῶν ἐποιήσατο, καὶ ὡς ἐν τούτοις μένει· "κατὰ τὴν ἀνέκαθεν ἐπικρατήσασαν συνήθειαν, ὡς καὶ οἱ πρὸ ἡμῶν διῆγον". Ταύτην τοίνυν ἡμεῖς τὴν ἐπιστολὴν λαβόντες ἐπιχειρῆσαι ἔγνωμεν καὶ τὰ τῆς εἰρήνης προβαλεῖν. Ἀπελθὼν οὖν ἐγὼ πρὸς αὐτοὺς τοιάδε λέγειν ἠρξάμην· "Βέλτιον μὲν εἰρήνης οὐδέν, ὥσπερ οὐδὲ μάχης χεῖρον· ἡ μὲν γὰρ οἰκοδομῆς, ἡ δὲ φθορᾶς πρόξενος. Ἐντεῦθεν καὶ οἱ μᾶλλον ἐπὶ συνέσει ἐπαινούμενοι ἀντὶ πολλῶν ταύτην ἐξελέξαντο, ὡς τὸ διηνεκές τε καὶ μόνιμον ἔχουσαν. Ποσάκις μεταξὺ τῶν δύο γενῶν αἱ διαφοραὶ αὗται ἐγένοντο; ποῖον ἀγαθὸν ἐκ τούτων ἐγένετο; δαπάναι ἀνωφελεῖς, μάχαι ἐπιβλαβεῖς, πίστεως διασυρμοὶ καὶ ἄλλ' ἄττα, ὅσα τε καὶ λεγόμενα καὶ ἀκουόμενα ἀηδίαν παρέχει, καὶ ταῦτα διὰ πείρας μᾶλλον ἔγνωσται ἢ διὰ λόγων.

Ἑξήκοντα σχεδὸν ἔτη εἰρηνικῶς ἡμῶν τε καὶ ὑμῶν διαγόντων, ποία βλάβη ἐγένετο; ἀφ' οὗ δὲ ταῦτα προὐχώρησαν, πόσα χρήματα ἐδαπανήθησαν; καὶ πρὸς τί τέλος μὲν οὐκ οἶδα, ὅτι δὲ πρὸς οὐδὲν ἀγαθὸν σαφῶς ἐπίσταμαι. Ἄγετε δὴ εἰ βουλητὸν εἰρήνην γενέσθαι μεταξὺ ἡμῶν τε καὶ ὑμῶν ὡς ἂν δόξῃ λυσιτελέστερον". Ὁ δὲ πρὸς ταῦτα βύθιον ἀνοιμώξας, ἀκούσας μάλιστα καὶ ἀναμνησθεὶς τοῦ πλήθους τῶν γεγονότων, "οὐ παρ' ἐμοῦ" ἔφη "εἶναι τὴν αἰτίαν, ἀλλὰ παρὰ τοῦ ἡγουμένου ὑμῶν Διονυσίου· οὗτος γὰρ τῆς ὑποθέσεως καὶ τῆς διαφορᾶς ἀρχηγὸς ἐγένετο". Καί τοι γε ἐπὶ τούτῳ ὁ βαρταμπέτης Ὀβανέζης σαφῶς ἐψεύδετο, ἀλλὰ τοῦ καιροῦ ἐναντιουμένου καὶ ἄκοντες συνωμολογοῦμεν. Καὶ ὅτι μὲν ἐψεύδετο δῆλον· οὗτοι γὰρ πρὸ ἐτῶν σχεδὸν ἓξ, πρὸς τῷ τέλει τῆς τοῦ σουλτὰν Ἀχμέτη βασιλείας, τὰ τοιαῦτα σκευωρεῖν ἤρξαντο· ἐξ ἐκείνου καὶ γὰρ πρῶτον παρέλαβον ὁρισμὸν καὶ κρύφα κατεῖχον· μετὰ δὲ ταῦτα τῶν σκήπτρων ἐπὶ τὸν σουλτὰν Μαχμούτην μεταπεσόντων, τὸν διαληφθέντα ὁρισμὸν διὰ βασιλικῆς ἐπιγραφῆς ἀνεκαίνισαν. Ἐντεῦθεν καὶ τρίτον ποιῆσαι προθυμηθέντων, ἐκώλυσεν ὁ ἡγούμενος ἡμῶν ἀνακαινίσας ἕνα τῶν προδοθέντων ἡμῖν ὁρισμῶν, ἐκ τῶν κοινῶν κωδίκων ἐξαγαγὼν τὸ σημείωμα, δι' ἀναφορᾶς τοῦ ῥεΐζ-ἐφέντη ἐπιβεβαιωθέντα· καὶ τόνδε τὸν ὁρισμὸν ψευδῶς αἴτιον εἶναι ἔλεγον τῆς αὐτῶν ἀνταρσίας. Μετὰ δὲ ταῦτα καὶ αὐτὸς τῆς εἰρήνης ἐπαινέτης ἦν καὶ τῷ Σεχπόζῃ ἔφη κοινῶσαι τὸν λόγον, ἤν γε καὶ αὐτῷ δοκῇ.

18. Αὕτη τοιγαροῦν τῆς μεταξὺ εἰρήνης πρώτη ἀρχὴ ἡμῶν τε κἀκείνων τὸν καιρὸν πραγματευομένων, ἡμῶν μὲν ὅτι ἐπὶ τοῖς Ἀρμενίοις τὸ πᾶν ἦν, καὶ εἴ γε ἐπὶ πλέον ἐκινοῦμεν τὰ πράγματα, δέος ἦν μὴ καὶ τὰ ἐκ παλαιοῦ δοθέντα ἡμῖν βασιλικὰ θεσπίσματα τῶν ἡμετέρων χειρῶν ἁφαρπάσωσιν· ἐκείνων δὲ ὅτι κατὰ μικρὸν ἐκτανθῆναι βουλομένων ἀδύνατον ἦν εὐθὺς ἐπιχειρῆσαι, μὴ παλαιωθέντων τῶν εἰς χεῖρας αὐτῶν γραμμάτων. Ἐκοινολογεῖτο οὖν ἡ εἰρήνη καὶ οὐδὲν ἄλλο ἦν διὰ στόματος εἰρήνης ἐκτός, ἡμῶν τε κἀκείνων τὰ αὐτὰ διαπρεσβευομένων, τοῦ τε γενικοῦ ἑρμηνέως ἐμφρόνως πάνυ τὰ ἴσα ἐνεργοῦντος πρὸς τὸν Σεχπόζην ἐφ' ᾧ τὸ

τοῦ ὑπερηφάνου γαῦρόν τε καὶ σφριγῶν ἐκλεᾶναί τε καὶ καθομαλίσαι. Ἐνδόντος δὲ τοῦ Σεχπόζη — ἐξ αὐτοῦ γὰρ καὶ μόνου τὸ πᾶν ἐξήρτητο — καιρὸς ἤδη διώρισται συνελθεῖν τε ἡμᾶς τε καὶ αὐτοὺς καὶ περὶ τῆς εἰρήνης διαλεχθῆναι· ἀλλ' ἀνεβάλλετο παρὰ τῶν Ἀρμενίων ὁ χρόνος, καὶ πῇ μὲν τὸν νοσοῦντα ὑπεκρίνετο, πῇ δὲ τὸν Σεχπόζην ἐρέσθαι ἔλεγε περὶ τοῦ τῶν ἐλευσομένων ἀριθμοῦ καὶ τινα δεῖ συνελθεῖν καὶ ἐν τίνι τόπῳ γενέσθαι τὴν συνέλευσιν. Ἐν τούτοις μὲν οὖν χρόνος ἱκανὸς ἐτρίβετο, τέλος δ' οὖν διώρισται τόπος ὁ τοῦ γενικοῦ ἑρμηνέως οἶκος· οἱ διαλεχθησόμενοι, ἐξ ἡμῶν μὲν ὁ δεσπότης ἡμῶν μετ' ἐμοῦ, ὁ γενικὸς ἑρμηνεὺς καί τινες τῶν ἐκ τοῦ γουναρικοῦ ρουφετίου· ἐξ αὐτῶν δὲ ὁ Ὀβανὲζ βαρταμπέτης, ὁ Γιακοὺπ βαρταμπέτης, ἐπίτροπος ὢν τοῦ ἐν Ἱεροσολύμοις βαρταμπέτου Κυρκορῆ, ὁ Σεχπόζης καὶ τρεῖς ἕτεροι τῶν ἀρμενικῶν προεστώτων.

19. Συνήλθομεν οὖν καὶ μετὰ τοὺς συνήθεις χαιρετισμοὺς προλογίζεσθαι ὁ ἡμέτερος ἤρξατο δεσπότης, ἐλέγχων τε ἅμα καὶ αἰτιώμενος καὶ τῶν πρὸ τούτου χρόνων ἀναμιμνησκόμενος ὅτε εἰρήνη βαθεῖα ἦν καὶ οὔτε ὁρισμῶν ἐδεόμεθα οὔτε φιλοτίμου τινὸς καὶ ὑψηλῆς περιεργίας, ἀλλ' ἀδιακρίτως καὶ ἁπλῶς μετ' εὐνοίας διήγομεν, καὶ οὔτε ἐκ τῶν ἡμετέρων οὔτ' αὖ ἐκ τῶν Ἀρμενίων διαφορά τις ἐγένετο· "νῦν δὲ τὰ πρότερον σχεδὸν ἐν λήθῃ βληθέντα ἀνεμοχλεύσατε καὶ τὸν κεκρυμμένον ἐν τῇ αἰθάλῃ σπινθῆρα εἰς μέσον ἐκβαλόντες τοσήνδε πυρκαϊὰν καὶ φλόγωσιν ἐξήψατε, ὥστε σχεδὸν ἔριν διηνεκῆ καὶ λογομαχίαν ἀδιάλειπτον ἐν ἀμφοτέροις τοῖς γένεσιν προὐξενήσατε, καὶ ὥσπερ τινὰς ἐπιθανατίους ἐχθροὺς κατεσκευάσατε, ὥστε μηδὲ ὁρᾶν ἀνεχομένους ἀλλήλους. Καὶ εἴ γε τι κέρδος περιεγίγνετο, εἶχεν ἄν τινα ἀπολογίαν τὸ πρᾶγμα· περὶ γὰρ τοῦ ἰδίου κέρδους τάχα τι καὶ τῶν ἀτοπωτέρων ἀποτολμήσειέ τις· εἰ δὲ καὶ περὶ βλάβης ὁ πόνος, τί τούτου εἴη ἂν ἀνοητότερον; Σκέψασθε οὖν τὰ μετὰ ταῦτα· ἡμεῖς μὲν γὰρ ἄνητοί ὄντες ἀποθνήσκομεν, ἀλλά γε τοῖς μεθ' ἡμᾶς ἐσομένοις ἀναθέματος καὶ βλασφημιῶν αἴτιον καταλείψομεν". Ἐνταῦθα κατασιγάσαντος τὸν λόγον τοῦ δεσπότου ἡμῶν, ὁ γενικὸς ἤρξατο ἑρμη-

νεύς· "Ἡμεῖς μὲν συνήλθομεν ἐνθάδε περὶ εἰρήνης διαλεχθησόμενοι, δοκῶ δὲ μηδὲν διαπράξασθαι εἴ γε καί τινων ἀντιλογιῶν μὴ προβληθεισῶν εἰς μέσον. Ἐπεὶ δὲ αἱ αἰτιολογίαι αὗται ἐκ τῆς ἀρχαίας οὖσαι συνηθείας δηλωθῆναι ἀδύνατόν ἐστιν ἄνευ ἀρχαίων γραμμάτων, δεῖ εἰς μέσον ἀγαγεῖν ἀμφοτέρων τῶν ἐθνῶν τὰ γράμματα, καὶ τούτων ἀναγνωσθέντων διαλυθήσεται ἡ μεταξὺ ἔρις καὶ πέρας ἕξει ἡ διαλλαγή· εἰ δὲ ἁπλῶς γε οὕτως καὶ ἀνερευνήτως γένηται, ὡς ἐμοὶ δοκεῖ ἄκυρος καὶ ὡς τὸ μηδὲν λογισθήσεται".

20. Τούτου τοίνυν ῥηθέντος ἐξήγαγεν ὁ Σεχπόζης τὸ προγραφὲν βασιλικὸν θέσπισμα, ὅπερ ἀναγνοὺς ὁ γενικὸς ἑρμηνεὺς "ὑμεῖς μὲν" ἔφη, "ὦ Ἀρμένιοι, πάντα συναγαγόντες προσεποιήσασθε καὶ οὕτωσὶ ἀπηγγείλατε τῷ βασιλεῖ, ὃς τοιόνδε ἡμῖν ἐδεδώκει ὁρισμὸν ἐναντίον τῆς ἀρχαίας συνηθείας καὶ τῆς τῶν πάλαι βασιλευσάντων ἀποφάσεως". Καὶ ταῦτα εἰπὼν ἀνέγνω καὶ ἓν ἐκ τῶν ἡμετέρων θεσπισμάτων, ὅπερ παραβαλὼν καὶ λεπτομερέστερον ἐπεξηγήσας ἀπέδειξε δυοῖν θάτερον, ἢ τὰς ἐν ταῖς ἡμετέραις χερσὶ ἀποφάσεις ψευδεῖς εἶναι ἢ αὐτοὺς σαφῶς καταψεύδεσθαι. Ἐνταῦθα θρασυνθέντων τῶν Ἀρμενίων καὶ λόγοις θρασυτέροις ἀπολογησαμένων — παρεβοήθει γὰρ αὐτοῖς ὁ καιρὸς ἐς τὰ μάλιστα — μικρὸν κατεσίγασεν ὁ γενικὸς ἑρμηνεύς. Εἶτα αὖθις ἀπελογήσατο· "εἰ τοίνυν ὑμεῖς τοῦτον κατάσχητε τὸν ὁρισμὸν καὶ εἰς πρᾶξιν ἀγαγεῖν τὰ γεγραμμένα βούλησθε, ἴστε σαφῶς ὡς οὐδέποτε διαλλαγησόμεθα· εἰ δὲ διαλλαγὴν βούλεσθε, πολλοί εἰσιν οἱ περὶ ταύτης τρόποι. Δύο δὲ εἰσιν οἱ μᾶλλον ἐξαίρετοι, ἢ τοῦτον ὃν ἐποιήσατε ὁρισμὸν σφραγίσαντες ἀποκλείσατε — καὶ ἐπεί, ὡς λέγετε, ἔστιν ἐν ὑμῖν γράμματα ἀρχαῖα, σὺν τοῖς ἀρχαίοις ἐκείνοις εἰρηνιαίως διάγωμεν — ἢ καὶ ἡμεῖς ἕνα τῶν ἡμετέρων ἀνανεοῦμεν καὶ οὕτω διαφυλαττόμεθα. Σκέψασθε οὖν τίς ὁ παρ' ὑμῖν αἱρετώτερος τρόπος δοκεῖ».

21. Ἤρξαντο οὖν ἁρμενιστὶ λαλεῖν οἱ Ἀρμένιοι· ἦν δὲ ἡ διάλεξις αὐτῶν ὅτι ἤν γε τοῦτον τὸν νέον ὁρισμὸν παραιτήσωσι, πρὸς οὐδὲν ἕτερον ἔχουσι σφᾶς αὐτοὺς ἐπιστηρίξαι· εἰ δέ γε καὶ ἡμᾶς

ἀνακαινίσαι ὁρισμόν τινα ἐάσωσιν, εὔδηλον ὅτι ὁ ἐκείνων ἀκυρωθήσεται. Περὶ τούτου οὖν διαλόγου πολλοῦ γενομένου ἔδοξεν αὐτοῖς ἀπατῆσαι ἡμᾶς καὶ στέρξαι μὲν τὸ καὶ ἡμᾶς ἀνανεῶσαι ἕνα τῶν ἡμετέρων ὁρισμῶν, ἐντυχεῖν δὲ τῷ ὑπάτῳ καὶ ὡς αὐτοὶ βούλονται γενέσθαι τὴν ἀνανέωσιν. Καὶ μετὰ ταύτην τὴν λογοτριβὴν ἀπεκρίνατο ὁ Σεχπόζης ὅτι "τὰ μὲν δύο γένη περί τε τῶν ἐθνῶν προνομίων τε καὶ τόπων ὡς ἀνέκαθεν διῆγον, καὶ εἰς τὸ ἑξῆς οὕτως ἔστωσαν· καὶ ὑμεῖς δὲ ἀνακαινίσατε ὃν ἂν βούλεσθε ὁρισμόν, κἀγώ τε ἔσομαι ὑμῖν βοηθὸς εἰς ταυτηνὶ τὴν ἀνακαίνισιν". Ἐπὶ τούτοις οὖν ἐγένετο ἡ διαλλαγὴ καὶ ἀπεφάνθη ἐξ ἑκατέρων τῶν μερῶν ἐνσφράγιστά τε καὶ ἐνυπόγραφα γενέσθαι γράμματα διαλαμβάνοντα βεβαίαν εἶναι τὴν ἀρχαίαν συνήθειαν, ἁπλῶς οὕτω καὶ ἀνωνύμως, τοσόνδε μόνον περιέχοντα ὅτι "στέργομεν ἀμφότεροι ὥσπερ ἀρχῆθεν διήγομεν καὶ τὴν παροῦσαν εἶναι διαγωγήν". Ἐξήλθομεν οὖν διαλυθείσης τῆς συνελεύσεως ἕκαστος πρὸς τὰ ἴδια. Σκέψις οὖν ἐγένετο περὶ τῆς τοῦ γράμματος συνθέσεως, καὶ γνώμης κοινωνήσαντες τῷ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Νεοφύτῳ καὶ τῇ λοιπῇ τῶν ἀρχιερέων ὁμηγύρει συνετέθη τὸ ἔγγραφον τόνδε τὸν τρόπον.

22. Ὡς ἄρα "ἀρχῆθεν οὐ διέλειπεν ὁ τῆς εἰρήνης ἐχθρὸς κατὰ τῆς εἰρήνης ἐπιχειρεῖν καὶ ταράττειν τοὺς ὁπωσδήποτε ἐν εἰρήνῃ ὄντας καὶ εἰρηναίως διάγοντας· ἀλλὰ καὶ οἱ τῆς εἰρήνης μαθηταὶ παραχρῆμα ταύτην ἀποβαλόντες τὴν εἰρήνην προείλοντο. Ἐπειδὴ τοίνυν καὶ μεταξὺ τῶν δύο φυλῶν Ῥωμαίων τε καὶ Ἀρμενίων συνέβη κατὰ τούσδε τοὺς χρόνους σκάνδαλον παραπεσεῖν καὶ διαταράξαι τὰ ἔθνη ἀμφότερα, ἡμεῖς ὁ τῶν Ῥωμαίων πατριάρχης Μελέτιος καὶ ὁ τῶν Ἀρμενίων βαρταμπέτης Κηρκόρης ἔτι ἐν Ἱεροσολύμοις ὄντες, πρὸς ἀναίρεσιν τοῦ σατανικοῦ σκανδάλου ἔγνωμεν δι' ὅρκου ἀποβαλεῖν πᾶν νεοφανὲς καὶ ἀσύνηθες νεωτέρισμα ἐξ ὁποιασοῦν πεισμονῆς ὁπώσποτε γεγονός, καὶ στέρξαι τῇ ἀρχαίᾳ συνηθείᾳ καὶ διάγειν ὥσπερ οἱ πρὸ ἡμῶν πατριάρχαι, τὰ δὲ ἀήθη καὶ νεοφανῆ ἄκυρα εἶναι εἰς τὸ παντελὲς καὶ ὡς μηδὲ τὴν ἀρχὴν γεγονότα. Ἐλθόντες ἐν τῇ βασιλευούσῃ τῶν πό-

λεων, ἵνα καὶ ἐνταῦθα ἐπικυρωθῇ ἡ ἐκεῖσε γεγονυῖα συμφωνία, συνήλθομεν καὶ ἐνταῦθα ἡμεῖς μὲν μετὰ τῶν προεστώτων τοῦ γένους ἡμῶν, ὁ δὲ τῶν Ἀρμενίων βαρταμπέτης Ὀβανέζης μετὰ τῶν προεστώτων τοῦ γένους αὐτοῦ· καὶ λόγων πολλῶν προβληθέντων περὶ τῆς διαλλαγῆς ἔδοξε καὶ ἐνταῦθα στέρξαι τὴν γεγονυῖαν ἐν Ἱεροσολύμοις συνθήκην. Καὶ δὴ στέργομεν τὴν ἀρχαίαν συνήθειαν καὶ βεβαίαν εἶναι ἀποφαινόμεθα ἐν πάσῃ διαφορᾷ καὶ ἐθίμῳ, τάξει ἐκκλησιαστικῇ τε καὶ ἐξωτερικῇ, ἔν τε ταῖς λιτανείαις καὶ τοῖς ὑποκειμένοις ἔθνεσι καὶ τόποις, καὶ μηδέν τι νεωτερίζειν ἐναντίον τῆς ἀρχαίας συνηθείας. Ἵνα δὲ τὸ βέβαιον ἔχῃ, τῇ ἰδίᾳ σφραγῖδί τε καὶ ὑπογραφῇ τὴν παροῦσαν ἔνδειξιν ἐπιβεβαιοῦντες ἀποφαινόμεθα ὡς ἀνεξάλειπτον εἶναι τὴν γεγονυῖαν συνθήκην· ἥτις γέγραπται μὲν τρόπῳ εἰρήνης, οὐχὶ δὲ πρὸς τὸ μεταφρασθῆναι καὶ σκάνδαλον προμνηστεύσασθαι. Δέδοται ἐν ἔτει ,αψλε', ἐν Βασιλευούσῃ».

23. Τοῦτο τοίνυν γεγραφότες ἡμεῖς ἐν σχεδίῳ τὸ γράμμα δεδώκαμεν τῷ γενικῷ ἑρμηνεῖ. Καὶ αὐθις χρόνου τριβὴ καὶ ὑπεροψία πολλὴ καὶ βαρβαρικὴ θρασύτης οὐχ ἡ τυχοῦσα, καὶ τὸ «σήμερον» καὶ «αὔριον» παρηκολούθει καὶ οὐδὲν πέρας ἐδηλοῦτο. Ἡμεῖς δὲ καὶ τὴν ἀναβολὴν δεδιότες καίτοι καὶ ἄλλο ὑποτοπάζοντες τὸν γενικὸν ἑρμηνέα παρεβιαζόμεθα, ὁ δὲ τὸν Σεχπόζην κατηνάγκαζεν, ἐκεῖνος δὲ τὸν βαρταμπέτην, καὶ ἐπὶ τοῦτο τρεῖς μῆνες παρῆλθον ὁλόκληροι καὶ οὐδὲ τὴν ἀρχὴν ἐπεχείρησαν. Τέλος δ' οὖν μετὰ τὴν τοσούτου χρόνου παρέλευσιν συνέθεντο καὶ αὐτοὶ σχέδιον συμφωνητικοῦ γράμματος τοιοῦτον μέντοι γε οἷον αὐτοὶ ἐβούλοντο, τῆς παρελθούσης συνθήκης πανπάπασιν ἐπιλαθόμενοι, καὶ ἀπέστειλαν οἰόμενοι ὡς ἄρα οὕτως ἀνερευνήτως καὶ ἀμεταφράστως ἀποδεξόμεθα. Τοῦτο τοίνυν λαβόντες ἡμεῖς ἤσθημεν, ἀλλ' οὖν γε τινὰ τῶν ἡμετέρων μεταπεμψάμενοι εἰδότα μετ' ἀκριβείας τὴν τῶν Ἀρμενίων διάλεκτον καὶ μεταφράζειν εὖ ἐπιστάμενον δεδώκαμεν αὐτῷ τὸ παρὰ τῶν Ἀρμενίων σημειωθὲν σχέδιον, ὅπερ μεταφράσας εἰς τὴν τετριμμένην καὶ κοινὴν οἰθωμανικὴν διάλεκτον καὶ παρασχὼν ἡμῖν αὐτολεξεὶ οὕτω διηρμηνευμένον ἀνέ-

γνωμεν καὶ οὐδὲν ἄλλο τι ἔσχε γεγραμμένον, εἰμὴ ὅπερ καὶ ἐν τῷ θεσπίσματι ἐσημειοῦτο, ἄργειν δηλαδὴ τοὺς Ἀρμενίους τῶν Ἀβυσινῶν Σύρων τε καὶ Κοπτῶν, τοῦ τε ἁγίου Ἰακώβου καὶ τῆς εἰς τὸν ἅγιον τάφον εἰσόδου, ἀδιαφόρου οὔσης. Ὡς δὲ τοῦτο εἴδομεν μεταπεφρασμένον οὕτωσί, παρέσχομεν τῷ γενικῷ ἑρμηνεῖ· ὁ δὲ τῷ Σεχπόζῃ παρέσχεν ἐλέγξας αὐτὸν ἱκανῶς ὡς ἐπιλαθόμενον τῆς προτέρας συνθήκης καὶ τῶν συμφωνηθέντων πάντη ἀσύμφωνα γράφοντα. Ὁ δὲ ὤμνυε μηδεμίαν ἔχειν εἴδησιν τῶν γεγραμμένων, οὔτε μὴν ἑωρακέναι τὸ παρὰ τοῦ βαρταμπέτη σημειωθὲν σχέδιον· καὶ ἐπὶ τούτοις ἀγανακτῶν κατὰ τῶν ἰδίων καὶ πολλὰ κατειπὼν αὐτῶν καὶ λαβὼν τὸ σχέδιον δέδωκε τῷ ἰδίῳ γραμματικῷ, καὶ ἐκ τοῦ ἡμετέρου μεταφράσας αὐτολεξεὶ ἔπεμψεν ἡμῖν λέγων «εἰ τοῦτο ἀρεστόν ἐστι, σφραγισθῆναι καὶ ὑπογραφῆναι». Πεμφθέντος δὲ καὶ τούτου τοῦ σχεδίου ἡμῖν καὶ ἀναγνωσθέντος οὐδὲν ἀντείπομεν, ἀλλὰ δόντων ἡμῶν καὶ αὖθις αὐτὸ τῷ γενικῷ ἑρμηνεῖ καὶ ἐπειπόντων ὅτι ἀρεστόν ἐστιν, ἔδωκεν αὐτὸς τῷ Σεχπόζῃ καὶ ὁ Σεχπόζης ἔπεμψεν αὐτὸ τοῖς ἰδίοις βαρταμπέτοις ἐπὶ τῷ σφραγῖσαι· οἱ δὲ λαβόντες τὸν χάρτην καὶ σκηψάμενοι μικρὸν εἶναι καὶ ἐπὶ τῷ σφραγισθῆναι τόπον μὴ ἔχοντα, εἰς ἄλλον τινὰ μείζονα χάρτην ἀντέγραψαν. Καὶ ἀντιγράψαντες καὶ αὖθις ὅσα περ αὐτοὶ ἠβούλοντο προσέθηκαν ἐναντία τῆς γεγονυίας συνθήκης· λαβόντες δὲ καὶ αὖθις ἡμεῖς καὶ ἀναγνόντες νενοθευμένον ἔγνωμεν τὸ γραμμάτιον. Ἔνθεν καὶ αὖθις διὰ τοῦ γενικοῦ ἑρμηνέως ἐπεπέμψαμεν· ὁ δὲ ἐπὶ τῇ δυστροπίᾳ ἀγανακτήσας καὶ καθ' ἑαυτὸν ὑβρίσας τε καὶ ἐπιπλήξας καὶ τὰς ἐν τῷ γράμματι προσθήκας ἐξαλείψας πρὸς ἀντιγραφὴν παρέσχε.

24. Συνέβη δὲ κατ' ἐκεῖνο καιροῦ καὶ ἄλλο τι τοιόνδε. Προ χρόνων ἤδη ἱκανῶν διηρέθη τὸ τῶν Ἀρμενίων γένος, τὸ μὲν εἰς ὅπερ ἦν ἀρχῆθεν μεῖναν, ὅσον δηλαδὴ βάρβαρον, τὸ δὲ ἐπὶ τὴν δυτικὴν ἐκκλησίαν μεταπεσόν, ὅσον εὐγενές τε καὶ χρήσιμον (καὶ οἱ πλείους τῶν τοῦ Ἀρμενίων γένους ἐγκριτων ἔκ τε τῶν ἐκκλησιαστικῶν καὶ τῶν λαϊκῶν ἐπὶ τοὺς δυτικοὺς ῥέπουσι)· καὶ τοῦτο καταμηνυθὲν τῇ βασιλικῇ αὐλῇ ἐξ ἀμφοτέρων τῶν μερῶν πρὸς

ἔριν ἐγένοντο. Οἱ μὲν γὰρ Ἀρμένιοι τῶν λατινοφρονησάντων κατηγοροῦν ὡς παραιτησαμένων τὸ ἀρχαῖον αὐτῶν σέβας καὶ ἐπὶ τὸ νέον τοῦτο τῶν Λατίνων ὑποκλινάντων· ἔσχον δὲ περὶ τούτου καὶ νομικὴν ἀπόφασιν (φετιφὰς δὲ οὕτω καλεῖται) οὑτωσὶ διαλαμβάνουσαν· «τὸν μὴ ἐμμένοντα τῇ ἰδίᾳ θρησκείᾳ, ἢ ὀθωμανίσαι ἢ θανατοῦσθαι». Οἱ δὲ τῆς ἐναντίας μοίρας ἔλεγον τοὺς Ἀρμενίους παρατραπῆναι τῆς ἀρχαίας παραδόσεως καὶ τοὺς οὕσπερ τὰ εἰς τὸν Χριστὸν πιστεύοντα ἔθνη διδασκάλους ὁμολογοῦσι καὶ ἀποδέχονται βλασφημοῦσιν αὐτοὶ καὶ ἀναθεματίζουσι· «τούτων τοίνυν ἡμεῖς μὴ ἀνεχόμενοι δίκην αἰτοῦμεν ἐπὶ τῷ σαφηνισθῆναί τε καὶ δηλωθῆναι τοὺς τὸ ἀρχαῖον ἔθος παραβαίνοντας καὶ τῇ παλαιᾷ μὴ ἐμμένοντας θρησκείᾳ, καὶ κατὰ τὴν νομικὴν ἀπόφασιν ἢ ὀθωμανίσαι ἢ θανατωθῆναι». Ἀμφιβόλου τοίνυν προβληθείσης τῆς δίκης καὶ τῶν λατινοφρόνων σφοδρῶς ἐπὶ τούτῳ ἐνισταμένων, ἔτι δὲ καὶ ἐκκλησίας καὶ ἴδιον βαρταμπέτην αἰτούντων, ὁ τότε ὕπατος, ἵνα μὴ ἐπὶ πλέον ἡ περὶ τούτου ὑπόθεσις ἐκτανθῇ, προσέταξε τῷ γενικῷ ἑρμηνεῖ διὰ βασιλικοῦ ὁρισμοῦ παραγενέσθαι εἰς τὸν βαρταμπέτην καὶ προστάξαι μὴ διασπᾶν καὶ διαιρεῖν τὸ ἀρχῆθεν ἡνωμένον ἔθνος ἀλλὰ εἰρηνεῦσαί τε καὶ τὴν σύγχυσιν καθομαλίσαι.

25. Παραγενόμενος τοιγαροῦν ὁ γενικὸς ἑρμηνεὺς εἰς τὸν βαρταμπέτην ἔσχε μεθ' ἑαυτοῦ καὶ τὸ συμφωνητικὸν ἐκεῖνο γράμμα ἄνευ τινὸς προσθήκης, ἀλλ' ἁπλῶς οὕτω καὶ κατὰ τὴν προγεγονυῖαν συνθήκην γεγραμμένον. Μετὰ τὴν ἀνάγνωσιν τῆς τοῦ ὑπάτου προσταγῆς δέδωκεν αὐτῷ καὶ τὸ συμφωνητικὸν ἐκεῖνο γράμμα, ὅπερ ἀναγνοὺς καὶ μηδόλως ἔχων ἀντειπεῖν ὑπέγραψέ τε δυσὶν ὑπογραφαῖς καὶ σφραγῖσι κυρωσάμενος, καὶ τούτῳ τῷ τρόπῳ πέρας εἴληφει ἡ τοῦ συμφωνητικοῦ γράμματος γραφή τε καὶ ἐπικύρωσις. Μετὰ τοῦτο δὲ μηδὲν ἄλλο καινότερον οὐδὲ μὴν ἀσφαλέστερον ποιῆσαι ἔχοντες τὸ ἴσον τοῦ συμφωνητικοῦ γράμματος ἐν Ἱεροσολύμοις ἔγνωμεν πέμψαι, ὅπως ἰδόντας τοὺς Ἀρμενίους τὴν ἐνταῦθα γεγονυῖαν συνθήκην μηδὲν ἕτερον διαπράξασθαι καὶ εἰς τὸ ἑξῆς ἡσυχίαν ἄγειν, τὸν χρόνον διδάσκαλον καὶ κηδεμόνα προστησάμενοι· τὸ γὰρ μὴ ἄλλως γενέσθαι δυνάμενον μόνῃ τῇ

τοῦ χρόνου τριβῆ ἐξιᾶσθαι δύναται. Τούτου τοίνυν γεγονότος, μηδεμίαν ἄλλην ὑπηρεσίαν ἔχοντες ἔγνωμεν περιήγησίν τινα εἰς τὰς πέριξ τῆς Βασιλευούσης ποιήσασθαι, ἵνα καὶ τριβὴν δῶμεν τῷ χρόνῳ καί τινα ἐπικουρίαν πρὸς τὰ χρειώδη προσπορισώμεθα. Ἀπήλθομεν τοίνυν ἐντεῦθεν ἐς Μουντανία τῆς Βιθυνίας κἀκεῖθεν εἰς Προῦσαν, ἔνθα καὶ χρόνον τινὰ διατρίψαντες καὶ παρὰ τῶν ἐκεῖσε χριστιανῶν βοήθειαν τινα λαβόντες καὶ πρὸς ὁδὸν ὄντες ἐμάθομεν τὴν τοῦ ὑπάτου πτῶσιν καὶ τὴν τοῦ Σεχπόζη* ἐν τοῖς τοῦ κουροπαλάτου δεσμοῖς ὥσπερ κατάδικον δέσμιον. Ἀλλὰ τῆς τοῦ νέου ὑπάτου φήμης ἀμφιβόλου οὔσης καὶ ἄλλου μὲν ἄλλον ἄλλου δ' ἄλλον ὕπατον φημιζόντων, ἡ κίνησις ἡμῶν ἐκωλύετο. Διώρισται δὲ ἐπιτηρητὴς τῆς ὑπατικῆς αὐλῆς ὁ τζαουσίων ἀρχηγὸς Ἀϊβὰζ Μεεμὲτ-πασᾶς. Προσμένοντες δὲ ἡμεῖς τὴν τοῦ γνησίου ὑπάτου ἔλευσιν καὶ τίς ποτ' ἂν εἴη καὶ πότε ἐλεύσεται ἀγνοοῦντες κατήλθομεν εἰς Κῖον, ἔνθα καὶ ἠκούσαμεν βεβαίως τὸ τοῦ ὑπάτου ὄνομα· ἦν δὲ ὁ τῆς Βαβυλῶνος ἡγεμὼν Ἰσμαὴλ-πασᾶς ὁ ἐξ Ἰβηρίας, καὶ τούτου τὴν ἔλευσιν προσεμένομεν. Ἀπὸ Κίου δὲ διήλθομεν εἰς Ἐλεγμούς, εἶτα εἰς Μουντανία. Ἐκεῖ δὲ ὄντων ἡμῶν ἠγγέλθη τὸν ὕπατον εἰς Βασιλεύουσαν ἐλθεῖν καὶ μετὰ φόβου πολλοῦ παρὰ τῶν μεγιστάνων προσδεχθῆναι· ὀραστήριος γὰρ καὶ ἀπηνὴς παρὰ πᾶσιν ἐλέγετο. Ὀλίγων δὲ διελθουσῶν ἡμερῶν ἤλθομεν καὶ ἡμεῖς ἀπὸ Μουντανίων εἰς Βασιλεύουσαν καὶ τῆς ὑποθέσεως ἀρχὴν ποιήσασθαι προεθυμήθημεν.

26. Βουλῆς δὲ γενομένης μετὰ τῶν ἐγκριτωτέρων τοῦ γένους ἡμῶν ἔγνωμεν πρῶτον εἰς μέσον ἀγαγεῖν τὰ ἀρχαῖα τῶν βασιλέων θεσπίσματα, τάς τε νομικὰς ἀποφάσεις τὰς πρὸς τοῦτο ἀνηκούσας καὶ ἐν ἐνὶ ἰδίῳ τόπῳ βαλεῖν, ὥστε ἐμπαρασκεύους πρὸ τοῦ ἀγῶνος εἶναι. Διεχωρίσαμεν δὲ ταῦτα· πρῶτον τὸ τοῦ Ὁμὲρ υἱοῦ Χατὰπ τοῦ τὴν Ἱερουσαλὴμ πρώτου λαβόντος ἐν ὀθωμανικῷ πεντεκαιδεκάτῳ ἔτει ἀπὸ Μωάμεθ· δεύτερον θεσπίσματά τινα τῶν τῆς Αἰγύπτου βασιλέων, ἅπερ καὶ εἰς ὀθωμανικὴν ἐκ τῆς ἀραβικῆς μετεφράσαμεν διάλεκτον· τρίτον τὸ τοῦ τὴν Βασιλεύουσαν χειρωσαμένου σουλτὰν Μεχμέτη, γεγραμμένον ἐν ἔτει ωξα' (1456—1457)· τέ-

ταρτον το τοῦ τὴν Ἱερουσαλὴμ λαβόντος σουλτὰν Σελήμη ἐν ἔτει 933 (1526)· ἕκτον τὸ τοῦ σουλτὰν Μουράτη ἐν ἔτει ,αμδ' (1637) καὶ τὴν τῶν κριτῶν ἀπόφασιν, ἣν ἐδεδώκεσαν ἡμῖν κρίναντες ὑπὸ τὴν βασιλικὴν τούρλην· ἕβδομον τὸ τοῦ σουλτὰν Μεχμέτη ἐν ἔτει ,αξβ' (1652) καὶ ἑτέραν αὖθις νομικὴν ἀπόφασιν τῶν κριτῶν τῶν τὴν μεταξὺ κρινάντων διαφοράν, καὶ ἐκ τῶν τῆς Ἱερουσαλὴμ κριτῶν ἀποφάσεις τέσσαρας περὶ τοῦ ἁγίου Ἰακώβου διαλαμβανούσας· δύο σημειώματα μετὰ βασιλικῆς ἐπιγραφῆς καὶ τῆς τῶν καλεμίων σφραγῖδός τε καὶ ὑπογραφῆς, τὸ μὲν ἐκ τῶν τοῦ βασιλικοῦ ταμείου κωδίκων, τὸ δὲ ἐκ τοῦ τῶν ἐπισκόπων κάλφα, ἀμφότερα δὲ γεγραμμένα κατὰ τὸ 924 (1518), ἅπερ ἀπέξεσαν οἱ Ἀρμένιοι ἐκ τοῦ ἡμετέρου ὀνόματος καὶ ἐν τῷ ἰδίῳ ὀνόματι προσεγράψαντο. Ταῦτα τοίνυν διαχωρίσαντες τὰ γράμματα ἀρχὴν ποιήσασθαι τοῦ πράγματος ἔγνωμεν· ἀλλ' ἀμέσως οὕτωσὶ καὶ ἀπερισκέπτως ἐπιχειρῆσαι εὐλόγου μὴ φανέντος μικρὸν κατέσχομεν ἑαυτοὺς ἐφ' ὅσον τινὰ τῶν τῆς αὐλῆς μεγιστάνων εὑρεῖν, οὐ μόνον πρὸς τὴν ἐπιχείρησιν ἱκανὸν ἀλλὰ καὶ συνετὸν εἶναι καὶ τοῖς πράγμασιν ἐσκεμμένως ἐπιχειροῦντα, ἵνα τὸν αὐτὸν καὶ σύμβουλον ἅμα καὶ βοηθὸν σχῶμεν τῆς ὑποθέσεως, πρὸς τούτοις καὶ τοῦ δικαίου ἀντιλήπτορα καὶ πρὸς τὸ δίκαιον μόνον ἀφορῶντα· οὐ γάρ τινα ἀδικῆσαι ἠβουλόμεθα, ἀλλὰ τοῦ δικαίου προασπιστοῦ ἐδεόμεθα· καθωπλισμένοι γὰρ ἦμεν τοσούτοις βασιλικοῖς θεσπίσμασι. Ἐν τούτοις μὲν οὖν ἦμεν ἡμεῖς.

27. Ἦν δὲ ἐν τῷ τότε τῆς ὑπάτου ἀρχῆς οἰκονόμος ἀνήρ τις Χαλισσᾶς τοὔνομα, γενναῖος μὲν τὴν ψυχὴν δίκαιος δὲ ταῖς συμβαινούσαις ὑποθέσεσιν ἐπὶ τοσοῦτον ὡς μηδὲ κεραίαν τοῦ δικαίου παραλείπειν ἀτέλεστον, ἴσος ἔν τε ταῖς εὐτυχίαις καὶ δυσπραγίαις, ἐπὶ σοφίᾳ καὶ ἐπιστήμαις ἐν πᾶσι τοῖς ἀξιωματικοῖς διαλάμπων, παντοίαις ἀρεταῖς κεκοσμημένος· χαρακτῆρά τε καὶ εἰκόνα τῆς ἀξιωματικῆς καταστάσεως εἰπὼν ἂν τις αὐτὸν οὐκ ἂν ἁμάρτοι. Οὗτος εἶλκε μὲν τὸ γένος ἐκ Βερροίας τῆς Συρίας· τοῦτο δέ ἐστι τὸ νῦν λεγόμενον Χαλέπι. Καὶ αὕτη μὲν ἡ πόλις τοῦτον ἐγέννησεν, ἔθρεψε δὲ ἄλλη Οὔρφα λεγομένη· Ἔδεσσα δὲ αὕτη ἐκα-

λειτο παλαι. Ἐλθων δε εις ἡλικιαν πολλῶν πολεων πολίτης ἐγένετο, ἐκ πασῶν τὰ τῆς παιδείας ἄνθη ἀποδρεψάμενος καὶ τὰ ἤθη κοσμῶν, τὰς μελίσσας ἐν τούτῳ μιμούμενος εἰς ἄνθη ποικίλα ἐφιζανούσας καὶ τοῖς πτεροῖς ἀποματτομένας τὸν ἐν τοῖς ἄνθεσι χνοῦν πρὸς ὕλην τοῦ μέλιτος. Ἔνθεν τοι καὶ τοῖς ἐπὶ παιδείᾳ καὶ ἐπιστήμαις διαβοήτοις ἐγγυμνασθεὶς καὶ ἐφ' ἱκανοῖς χρόνοις ὁμιλήσας αὐτοῖς, νοὸς ὀξύτητι καὶ φύσεως ἐπιτηδειότητι ἐς ἄκρον παιδείας ἐληλακὼς καὶ ἐπιστημῶν ὡς ἐφικτὸν ἐγκρατὴς γενόμενος καὶ καλλιγραφίαν ἀσκήσας ὑπέρ τινα ἄλλον ἐν τῇ Βασιλευούσῃ τῶν πόλεων παρεγένετο οἷά τις φορτηγὸς ναῦς, οὐ φόρτου φθειρομένου ἀλλ' ἀρετῆς καὶ παιδείας ἀνάπλεως, ὅπερ ἐστὶ χρῆμα ἀΐδιον καὶ τοῖς μετέπειτα ἐσομένοις μνημονευόμενον καὶ ἀθανάτοις αἰῶσι συμπαρεκτεινόμενον. Ἦν δὲ ἐν τῷ τότε ἡ λαμπρὰ τοῦ Ἰμπραΐμ-πασᾶ ὑπατεία, ἥπερ τὸ λαμπρόν τε καὶ εὐγενὲς τῇ φήμῃ διαδοθὲν καὶ μέχρι περάτων γῆς ἐκτανθὲν προσεκαλεῖτο τοὺς ἐπ' ἀρετῇ διαβοήτους· πρὸς γὰρ τοῖς ἄλλοις καὶ τοῦτο ἦν αὐτῷ τἀγαθόν, τοὺς ἐπὶ χρηστότητι καὶ παιδείᾳ διαβοήτους εὐμενῶς καὶ μεγαλοφρόνως ἀποδέχεσθαί τε καὶ τῆς προσηκούσης ἀξιοῦσθαι τιμῆς τε καὶ ἀξίας· ἔνθεν τοι καὶ πάντας τοὺς ἐπί τι εὐδοκιμοῦντας πρὸς ἑαυτὸν ὥσπερ μαγνήτης προσείλκυεν.

28. Ἐλθόντα δὲ καὶ τοῦτον καὶ τοῖς ἐν Βυζαντίδι εὐδοκίμοις ὁμιλήσαντα καὶ ὅσον ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα καὶ ἐξ ὄνυχος ὁ φασι τὸν λέοντα ἐνδειξάμενον, καὶ διὰ ταῦτα ἐν τοῖς πάντων ὄντα στόμασιν, ὄντα τε καὶ φημιζόμενον γνωσθῆναι καὶ τῷ τότε τῆς ὑπάτου ἀρχῆς οἰκονόμῳ (Μουαμέτης δὲ ἦν αὐτῷ ὄνομα), ὑφ' οὗ καὶ προσκληθῆναι λέγεται (ἦν γὰρ καὶ οὗτος τῶν συνετωτάτων) καὶ ἐν ἀξιώματι προβληθῆναι οἷῳ εἰκὸς ἦν ὑποδεῖξαι τὴν τοῦ ἀνδρὸς ἀρετήν. Τοῦτο μὲν οὖν τὸ ἀξίωμα κατὴπ-ἐφέντης παρὰ τοῖς Ὀθωμανοῖς λέγεται, δύναται δὲ ἑλληνιζόμενον καὶ ἐκ τῆς ἧς ἔχει ἐπιστασίας ὑπογραφόμενον εἶναι τῶν ἐπὶ τοῖς βασιλικοῖς ταμείοις κωδίκων ἐπιστάτην, ἔχοντα καὶ ἄλλους ὑφ' αὑτόν, ἐξ ὧν εἷς ἐστι καὶ ὁ τῶν ἐπισκόπων κάλφας λεγόμενος, ὃς καλεῖται οὕτως, ὡς παρ' αὐτῷ ὄντων πάντων τῶν ὑπὸ τοῦ βασιλεύοντος τοῖς

ὑπὸ πᾶσαν τὴν ἐπικράτειαν ἐπισκόποις διδομένων θεσπισμάτων. Διῳκησε δὲ τὸ δοθὲν αὐτῷ λειτούργημα μετὰ τοσαύτης πίστεως ὁμοῦ καὶ συνέσεως, ὥστε θαυμάζειν πάντας μάλιστά γε πάντων τὸ ἀδωροδόκητον· τὸ γὰρ δωροδοκεῖσθαι ὡς μὴ ὂν γενναίας τε καὶ πεπαιδευμένης ψυχῆς ἴδιον ἀπεμφαῖον ἡγεῖτο καὶ πάμπαν ἀλλότριον. Διὰ ταῦτα τοίνυν ἐπὶ μείζοσι προὐχώρει τοῖς πράγμασι—τῶν εὐνουστάτων γὰρ τῷ τότε οἰκονόμῳ ἦν—ἔν τε βουλῇ καὶ τῇ τῶν πραγμάτων διοικήσει, ὡς ἔνι γε συνετώτατα ἅμα καὶ δικαιότατα κοινωνῶν. Καὶ ταῦτα μὲν μέχρις ὁ λαμπρὸς ἐκεῖνος ἤνθει τῆς ὑπατείας σύνδεσμος· πνεύματι δὲ τοῦ βιαίου καὶ σφοδροτάτου βορρᾶ ἐκείνου, τοῦ τῆς ἀποστασίας φημὶ καὶ τὸν ἀρχικὸν λειμῶνα ἀπομαράναντος καὶ δίκην δρεπάνου ταρταρείου ριζόθεν τὰ τοῦ χρυσοῦ ἐκείνου λειμῶνος ἄνθη ἀποθερίσαντος, οὗτος μὲν ἡσυχίαν ἦγεν πόρρωθεν τὸ τέλος καραδοκῶν καὶ τὴν τῆς ὀχλώδους ὁμίχλης διασκέδασιν. Τριῶν δὲ ἢ τεσσάρων παρελθουσῶν ἡμερῶν καὶ τὸν σουλτὰν Ἀχμέτη τοῦ βασιλικοῦ ἀφαιρεθέντος κράτους, ἀναδησαμένου δὲ τοῦτο τοῦ νῦν δικαιοτάτου καὶ πολυχρονίου βασιλέως ἡμῶν σουλτὰν Μαχμούτη, προεβιβάσθη ἐπὶ τὸν τῆς ὑπατείας βαθμὸν ὁ ἀπὸ σπαθαρίου Μεχμὲτ-πασᾶς· καίτοι γε δραστήριος ὢν πλὴν ἀλλ' ἡ τοῦ χρόνου στάσις ἀνθεῖλκε τὸ δραστικὸν καὶ ὑπείκειν ἐποίει ἀτακτοῦντι ὄχλῳ. Μικροῦ τοίνυν διελθόντος χρόνου πάλιν ἐζητεῖτο ὁ Χαλισσᾶς· τὸ γὰρ καλὸν κἂν ἐν παραβύστῳ τύχῃ που κείμενον, πλὴν τοὺς εἰδότας οὐ λανθάνει· εἰ γὰρ μαργαρίτης ἐν μυχοῖς ζητεῖται θαλαττίοις, κεκρυμμένος ἐν ὀστρέοις ὤν, πολλοῦ γε καὶ δεῖ ἄνδρα τοιοῦτον λήθῃ παραδοθῆναι. Ζητεῖται τοίνυν παρὰ τοῦ ῥηθέντος ὑπάτου καὶ ἐπιστολογραφεὺς τούτου προχειρίζεται διὰ τὸ ἄγαν καλλιγράφον εἶναι.

29. Μέχρι μὲν οὖν τινος ἐν τούτῳ οὗτος τῷ λειτουργήματι. Καθῃρέθη μὲν ὁ Μεχμὲτ πασᾶς μετὰ τὴν τῶν ἀποστατῶν ἀναίρεσιν, ἀντ' αὐτοῦ δὲ ὁ ἀπὸ θυρωρῶν Ἰμπραΐμ-πασᾶς ἐπὶ τὴν ὕπατον προεβιβάσθη ἀρχήν, ἀνὴρ καὶ οὗτος συνετῶς ὡς ἐδόκει διοικῶν τὴν ἀρχήν· καὶ οὗτος ἐπὶ τῷ αὐτοῦ λειτουργήματι κατέσχε τὸν Χαλισσᾶν καὶ ἐν ὑπολήψει πολλῇ, ὡς ἐλέγετο, διὰ τὸ γνώ-

ριμον εἶναι τὴν τούτου ἀρετὴν πᾶσι σχεδὸν τοῖς ἐπ' ἀξιώμασιν οὖσι βασιλικοῖς. Καθαιρεθέντος μέντοι γε τοῦ Ἰμπραΐμ-πασᾶ καὶ τῆς ὑπατικῆς ἀρχῆς μεταπεσούσης ἐπὶ τὸν Ὀσμὰν-πασᾶ ἐς Δαμασκὸν ὁ Χαλισσᾶς φυγαδεύεται, οὐδοτιοῦν ἄλλου ἕνεκεν εἰμὴ ὅτι γε ἐπ' ἀρετῇ διετεθρύλλητο, τοῦτ' αὐτό γε παθὼν ὅπερ καὶ Ἀριστείδης ἐκεῖνος ὁ ἐπικληθεὶς δίκαιος ἐν Ἀθήναις· κἀκεῖνος γὰρ τοιοῦτόν τι παθὼν ἰδίαις χερσὶ τὴν καθ' αὑτοῦ ψῆφον προσέγραψεν· ἔθος γὰρ ἦν Ἀθηναίοις ἐμμέτροις ψήφοις ἀποφαίνεσθαι περὶ τῶν καταδικασθησομένων, καί τις τῶν χωρικῶν γράφειν μὴ εἰδὼς κέραμον λαβὼν κατὰ τύχην ἐντυχάνει τῷ Ἀριστείδῃ, οὗτινος καὶ ἐδεήθη γράψαι ἐν τῷ κεράμῳ τὸ "ἐξοστρακίζεται ὁ Ἀριστείδης", καὶ τόνδε μετὰ προσηνοῦς λέγεται φάναι τῆς φωνῆς "ἑώρακας σύποτε τὸν Ἀριστείδην", καὶ τὸν χωρικὸν ὑποβαλόντα εἰπεῖν ἑωρακέναι μὲν οὔ, ἀκούειν δ' αὐτὸν ἐπὶ δικαιοσύνῃ αἰτιώμενον. Τούτου τοιγαροῦν καὶ μόνου ἕνεκα καὶ τὸν Χαλισσᾶν ἐξωσθῆναι ἐς Δαμασκὸν ὁ πᾶς λόγος κατέχει, τῷ μὲν πάθει ὁμοιοπαθοῦντα, τῇ δὲ τῆς ψυχῆς γενναιότητι πολλῷ τῷ μέτρῳ ὑπερβαλόντα· τὸν μὲν γὰρ Ἀριστείδην καί τι παθεῖν ἐπὶ τῷ δυστυχήματι λέγεται καὶ ἀγανακτῆσαι ἐπὶ τῇ συμπεσούσῃ ἀδικίᾳ, τοῦτον δὲ πάντῃ ἄτρωτον τὴν ψυχὴν καὶ ἀπαθῆ διαμεῖναι καὶ μηδαμῶς ἐπὶ τῷ δυστυχήματι καταπεσεῖν ἢ ὅλως ἀθυμῆσαι· ἔργον γὰρ τοῦτο ἡγεμονικῆς καὶ γενναίας ψυχῆς μήτε ἐν ταῖς εὐτυχίαις ὑπεραίρεσθαι, μήτε ἐν ταῖς δυσπραγίαις καταφέρεσθαί τε καὶ ἀθυμεῖν, ὥστε δικαίως καὶ τὸν ἀκούοντα εἰπεῖν ὡς "οὗτος μόνος μόνης ψυχῆς γενναιότητα ἐνδεικνύμενος τὰ ἐκτὸς ταύτης, πλούτους τε καὶ ἀξίας, μηδὲν εἶναι λογίζεται"· οὐδὲν γὰρ τούτων λογικὴν ψυχὴν ὑποτάττειν καὶ κρατεῖν δύναται· εἰκόνα γὰρ Θεοῦ οὖσάν τε καὶ δημιουργηθεῖσαν ἀνάλωτον εἶναι δεῖ πάθεσι· τῇ τε τῆς θείας εὐδαιμονίας εἰκόνι ἐνορῶντα τὸν νουνεχῆ καὶ ἐχέφρονα καὶ τοῖς τοῦ δικαίου νόμοις ἀφοσιωμένον ἔχοντα τὸ φρόνημα, εὐτυχίας τε καὶ δυστυχίας μηδὲν πρὸς ψυχὴν εἶναι νομίζοντα, ἀπαθῶς τὰ ἐμπίπτοντα φέρειν. Φορητὰ δὲ ἦν αὐτῷ πάντα τὰ ἐπισυμβαίνοντα δυστυχήματα· ἐνεδυναμοῦτο τῇ ἀσπίδι τῆς φρονήσεως, ἣν τινα

ὡς ἰσχυρὰν περικεφαλαίαν τοῖς πᾶσιν ἐνθέμενος οὐδὲν ἡγεῖτο τὰ τῆς τύχης βέλη· ἀνεμώλια γὰρ ταῦτα πάντα τοῖς βεβηκότα νοῦν καὶ ἀκράδαντον ἔχουσι ψυχήν. Ὅθεν καὶ τοιαύτῃ φρονήσει ἕλκων τε ὁμοῦ καὶ περιφέρων τὸ τῆς τύχης ἄστατον οὐδὲν ἡγεῖτο εἶναι ἐν αὐτῷ μόνιμόν τε καὶ σταθερόν· κύκλος γὰρ οὗτος ἀπαγὴς καὶ ἀβέβαιος. Οὕτως αὐτὴν περιγράφουσιν οἱ ταύτην ἀσφαλῆ εἶναι νομίσαντες καὶ ἐκ ταύτης μόνης ἀπατηθέντες τῆς ὑπολήψεως, ἐπαγιοῦντο δὲ μᾶλλον ἐπὶ τὸν τοῦ δικαίου κύβον, ἀσφαλῆ τῷ ὄντι καὶ ἀδιάσειστον· τετράγωνος γὰρ οὗτος ὤν, ἐφ' ὅπερ ἂν τραπείη, ἀσάλευτον ἔχει τὴν μονιμότητα μένων ἀεὶ ὁ αὐτός. Καὶ ὅσον ἡ τῆς τύχης φορὰ καταβαλεῖν αὐτὸν ἠγωνίζετο, τοσοῦτον αὐτὸς ἀνθίστατο τῇ τῆς ψυχῆς γενναιότητι· τὸ μὲν γὰρ ταῖς τῶν πραγμάτων συμμεταβάλλεσθαι μεταβολαῖς ἀστάτων ἐστί, τὸ δὲ παγίως ἐν τοῖς αὐτοῖς ἐρηρεῖσθαι γενναιοφρόνων, ταὐτὸν εἰπεῖν τῶν ἀξιωματικὴν ἐχόντων ψυχήν· πολεμηθῆναι μὲν γὰρ τὸν τοιοῦτον δυνατόν, ἡττηθῆναι δὲ ἀδύνατον. Τοῦτο μὲν οὖν τῶν τοῦ Χαλισσᾶ ἐγκωμίων τὸ μέγιστον· οὐ γὰρ τοσούτου θαύματος ἄξιον τὸ ἐν γαληνιῶντι καιρῷ μὴ σαλεύεσθαι, ἀλλ' ἔνθα τοὺς μικροψύχους συμβαίνει καθυποβάλλεσθαι, ἐν τούτῳ τοὺς γενναίους τε καὶ μεγαλόφρονας ὑψοῦσθαί τε καὶ ἐπαίρεσθαι· τοῦτον γὰρ οὐδὲ φόβος οἷός τε ταπεινοῦν, οὔτε ἀρχὴ μεταβάλλειν ἐπίσταται, οὔτε ἀρχῆς ὄγκος ἐπαίρειν τε καὶ τοῖς ἐναντίοις οἷός καταφέρειν, ἀλλ' ἦν ὁ αὐτὸς ἔν τε τοῖς εὐτυχήμασιν ὁμοῦ καὶ δυστυχήμασι περιμένων τὴν τοῦ δικαίου ἀπόφασιν.

30. Ἐν τούτοις μὲν οὖν ὄντος τοῦ Χαλισσᾶ ἐκπέπτωκε τῆς ὑπατείας ὁ Ὀσμὰν-πασᾶς καὶ ταύτην ἐπανελάβετο ὁ προρρηθεὶς Ἀλὴ-πασσᾶς, ὃς καὶ ὑπὸ τῶν Ἀρμενίων ἡπάτητο, ἐς βάθος μὴ ἐξερευνήσας τὸ δίκαιον ἀλλὰ πιστεύσας μόνον, ὡς εἴρηται, τῇ τῶν Ἀρμενίων οἰκειότητι· πολλὰ γὰρ καὶ μόνη ἡ ὑπόληψις δύναται τοῖς κρατοῦσι μάλιστα· ἦν γάρ τις ἀληθείας πρός τινα λάβῃ ὑπόληψιν, δημοσίους ἀπεργάζεται συμφορὰς καὶ ταῦτα δίκαια εἶναι νομίζων τὰ πραττόμενα, ὡς ἐπεπόνθει καὶ ὁ προρρηθεὶς ὕπατος, ἀνὴρ τά τε μὲν ἄλλα συνετός, ἀπατηθεὶς δὲ τῇ τοῦ Σεχπάζη ὑπολήψει, ὡς προείρηται. Ἀνελθὼν τοίνυν εἰς τὴν ὕπατον ἀρχὴν ὁ

διαληφθεὶς ὕπατος, οὐ πολλαῖς ὕστερον ἡμέραις τὸν Χαλισσᾶν ἀπὸ Δαμασκοῦ ἐπανεκαλέσατο· ἐλθόντα δὲ τοῦτον ὡς εἰκὸς ἄνδρα ἐπιστήμονα ὑποδέχεσθαι καὶ φιλοφρονεῖσθαι ὑπεδέξατο καὶ ἐς τὸ τοῦ μαλιὲ-τεσκερετζῆ λειτούργημα προεβίβασεν· ἔστι δὲ τοῦτο ἐξελληνιζόμενον τῶν βασιλικῶν προσόδων γραφεύς, τάττεται δὲ ὑπὸ τὸν ἐπιστάτην τῶν βασιλικῶν προσόδων· τευτερδάρης δὲ οὗτος καλεῖται τῇ ὀθωμανικῇ διαλέκτῳ. Πρὸς τοῦτο τοίνυν διορισθεὶς τὸ λειτούργημα, ὡς ἀπήτει ἡ τάξις ὑπούργει, μηδὲν ἐλλείπων τῷ ὑπηρετήματι· ἀλλὰ καν τούτῳ ἡ τῶν ἠθῶν κοσμιότης ἡλίου δίκην ἀνέλαμπε καὶ ἡ περὶ τὴν παιδείαν ἀρετὴ ἠκτινοβόλει τοῖς τῶν ὁρώντων ὄμμασιν, ὥστε πάντας ἀνθέλκειν πρὸς τὴν τούτου εὔνοιαν. Καὶ ταύτην μὲν οὖν παρῆλθε τὴν τάξιν καὶ αὖθις ἐς τὴν ὑπατικὴν αὐλὴν ὁ ὕπατος ἔλαβε, καὶ τῷ τοῦ τεσκερετζῆ ἀξιώματι αὐτὸν ἐτιμήσατο· ἔστι δὲ τὸ τοῦ τεσκερετζῆ ἀξίωμα τοιόνδε. Ἐπὰν ἐπὶ βήματος κάθηται ὁ ὕπατος, δύο οὗτοί εἰσι καὶ ὁ μὲν ἐκ δεξιῶν ὁ δὲ ἐξ εὐωνύμων τοῦ ὑπάτου ἵσταται καὶ τὰς διδομένας ἀναφορὰς ἀναγινώσκουσι καὶ τὰς μὲν αὐτοὶ τὰς δὲ καὶ ὁ ὕπατος αὐτὸς βεβαιοῖ· ἔχουσι δὲ καί τι ἄλλο. Πρὸ τοῦ τὸν ὕπατον ἐν τῷ βήματι ἐξελθεῖν, κάθηνται οὗτοι μετὰ τοῦ τῶν τζαουσίων ἀρχηγοῦ καὶ ὅσαι μικραὶ ὑποθέσεις ταύτας αὐτοὶ κρίνουσί τε καὶ βεβαιοῦσι. Εἷς τοίνυν τῶν δύο τούτων καὶ ὁ Χαλισσᾶς ἐγεγόνει, εὐδοκιμῶν ἔν τε ταῖς ἐμπιπτούσαις κρίσεσι καὶ ταῖς λοιπαῖς κατὰ καιρὸν ἐπισυμβαινούσαις ὑποθέσεσιν, ὥστε γνωστὸν γεγονέναι τοῖς ἀξιωματικοῖς πᾶσιν, οὐ μόνοις τοῖς ἐκτὸς ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐντὸς οὖσι τῶν βασιλικῶν ἀνακτόρων, καὶ πᾶσι διὰ στόματος ἦν τὸ τοῦ Χαλισσᾶ ὄνομα καὶ πᾶσι διεφημίζετο.

31. Ἦν δὲ τότε τοῦ ὑπάτου οἰκονόμος Γκιοὺλ-Ἀχμὲτ-πασᾶς, τοῦ πρὸ χρόνων χρηματίσαντος ὑπάτου Τζόρλου-Ἀλῆ-πασᾶ λεγομένου γαμβρός. Τοῦτον τοίνυν ὁ ὕπατος εἰς ἡγεμόνος ἀξίαν προβιβάσας εἰς Τζίταν πόλιν, ὅριον οὖσαν Αἰθιοπίας τε καὶ Ἀβυσινῶν ἀρχῆς, ἡγεμονεύειν ἀπέστειλεν, ἄνδρα εἰδὼς οὐ μόνον τὰ ἐγγὺς ἀλλὰ καὶ τὰ πόρρω διακυβερνᾶν δυνάμενον. Τοῦτον τοίνυν ἐκπέμψας τὸν Χαλισσᾶν ἐς τὸ τοῦ οἰκονόμου ἀνηγάγετο ἀξίωμα,

τῇ τῆς ἀρετῆς ἀξια μᾶλλον ἢ τῇ τῆς τάξεως ἀκολουθία ἑπόμενος. Εἰς τοῦτο τοίνυν ἀναχθεὶς τὸ ἀξίωμα πολλῷ πλέον ταπεινοῦν ἢ ὑψοῦν ἑαυτὸν ἐπειρᾶτο, μετριοφρονῶν ὡς ἐγέφρων τῷ τοῦ ἀξιώματος ὄγκῳ· τὸ γὰρ μετριοφρονεῖν ἐπ' ἀξιώμασιν διάκενον ὂν ἀλλότριον εἶναι ἔκρινε γενναίας ψυχῆς. Καὶ δὴ ταῦτα πάντα ἐπ' ὀμμάτων βαλὼν πρὸς δύο ταῦτα μόνα ἑώρα, πρός τε τὸ τοῦ βασιλικοῦ κράτους πιστὸν καὶ τὴν τοῦ δικαίου φυλακήν. Καὶ ταύτας μὲν τὰς εἰκόνας ἐν τῷ τοῦ ἡγεμονικοῦ (νοῦ) πίνακι ἐγχαραξάμενος καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἀνεζωγράφει καὶ ἐχρωμάτιζε, ταύτας μόνας φίλας ἡγούμενος, τὰ δὲ λοιπὰ ὡς μηδὲν ὄντα πρὸς τὴν τοῦ Χαλισσᾶ γενναίαν ψυχὴν μακρὰν ἀπεβάλλετο, μόνου τοῦ δικαίου ὡς ἱερᾶς ἀγκύρας ἀντεχόμενος· ταύτην γὰρ οὐ πόρρω εἶναι τῆς αὑτοῦ ἠνείχετο ψυχῆς. βασιλίδα οὖσαν τῶν ἀρετῶν πασῶν, ἡλίου δίκην θάλπουσαν, ὀδηγοῦσαν τε καὶ λαμπρύνουσαν τὸ ἀξιωματικὸν μέγεθος. Ὁ μὲν γὰρ ἥλιος πάντων τῶν οὐρανίων δεσπόζει φώτων, ὡς πάντων ὑπερβάλλων τῷ τοῦ φωτὸς ὑπερβάλλοντι, ἡ δὲ πάσας ὑπεραίρει τὰς ἠθικὰς ἀρετὰς ἔκ τε τοῦ ἐν ᾧ ὑπάρχει ὑποκειμένου καὶ τοῦ περὶ ὃ καταγίνεται καὶ τῶν τούτου ἀποτελεσμάτων· ἐκ μὲν τῆς τοῦ ὑποκειμένου ἀξίας ὡς ἐν τῇ γενναιότητι τῆς ψυχῆς δυνάμει οἰκοῦσα, οὐδὲν γὰρ ταύτης ἀξιώτερον—αὕτη δέ ἐστιν ἡ κατὰ πρόθεσιν θέλησις, ἐν ᾗ ἐν τῇ τῆς δημιουργίας ἀρχῇ, ὡς ὁ μέγας φησὶ Μωσῆς, ἐπεστήρικτο ἡ θεία εἰκὼν καὶ ἐγκεχάρακτο, καὶ τοῦτό ἐστι τὸ αὐτεξούσιον—ἐκ δὲ τοῦ περὶ ὃ καταγίνεταί τε καὶ ἀσχολεῖται, ὡς μᾶλλον ἀρετὴ καὶ κορωνὶς οὖσα τῶν ἀρετῶν ἡ δικαιοσύνη, ἡ γὰρ ἀρετὴ τῶν δυσχερεστάτων οὖσα περὶ τὸ μᾶλλον δυσχερὲς καταγίνεται· ἔχει γὰρ τὸ ἀδωροδόκητον· τούτοις γὰρ μᾶλλον ἁλίσκονται ἄνθρωποι· ἐκ δὲ τῶν ἀποτελεσμάτων, ἐπείπερ αὕτη καὶ μόνη τηρεῖ τὴν τοῦ παντὸς σύστασιν καὶ τῆς τῶν ἀνθρώπων ὁμονοίας τε καὶ εἰρήνης προασπίζεται, δὸς δ' εἰπεῖν ὅτι γε καὶ θεῖον ἔργον· μόνου γὰρ Θεοῦ τοῦ τὰ πάντα εἰδότος ταύτην ἀπαραχάρακτον καὶ ἀπαραμείωτον φυλάττειν ἴδιον, ἀνθρώποις τε τοῖς ὁπωσδήποτε κατὰ τὸ δυνατὸν Θεὸν μιμουμένοις.

32. Οὕτω τοίνυν δικαίως τε ἅμα καὶ ἀδωρολήπτως διακυβερνῶν τὸ ἀξίωμα διετέλει, ἀξίωμα ἔχων ἀπαραχάρακτον· τὸν ἐπὶ δώροις τε προβαλλόμενον ἄνευ δευτέρας ἐρεύνης παραχρῆμα καὶ ἄδικον εἶναι ἀπεφαίνετο. Τοῦτο δὲ καὶ πεῖρα δεδήλωται· ἐκπεσόντος γὰρ μετὰ τρία ἔτη καὶ τοῦ Ἀλῆ-πασᾶ τῆς ὑπατείας, οὐδεὶς εὑρηται μικρόν τι δεδωκὼς τῷ Χαλισσᾶ εἴτ' ἐπ' ἀδίκῳ εἴτ' ἐπὶ δικαίῳ, ἀποδείξας διὰ τούτου ὡς πάντων κρατεῖ ἡ δικαιοσύνη πολλοὺς ἔχουσα τοὺς ἐπαινέτας οὐδένα δὲ τὸν κατηγοροῦντα. Ἐκπεσόντος δὲ καὶ τοῦ Ἀλῆ-πασᾶ ὁ μὲν ἀρχηγὸς τῶν τζαουσίων ἐπιτροπεύει τὴν τῆς ὑπατείας ἀρχήν, ὁ δὲ Χαλισσᾶς ἅτε δὴ εὐδόκιμος φανεὶς διὰ βασιλικοῦ θεσπίσματος ἐπὶ τῷ προτέρῳ αὐτοῦ ἀξιώματι ἀσφαλίζεται, πρὸς δὲ τὸν ἡγεμόνα Βαβυλῶνος Ἰσμαὴλ-πασσᾶν ὁ βασιλικὸς σπαθάριος ἀποστέλλεται ἐπὶ τὴν ὕπατον ἀρχὴν τοῦτον προσκαλεσόμενος. Ἦν δὲ οὗτος τὴν μὲν ἀρχὴν στρατιώτης, εἶτα ἔπαρχος στρατιωτικὸς—τζορβατζὴς δὲ οὗτος ὀθωμανιστὶ καλεῖται—εἶτα δεσμοφύλαξ ἐπὶ τῆς τοῦ Ἰμπραὶμ-πασᾶ ὑπατείας, εἶτα τοῦ πρωτοστράτορος οἰκονόμος καὶ μετὰ ταῦτα πρωτοστράτωρ, τέλος δὲ παραλυθεὶς ἡγεμών τῆς Βαβυλῶνος προχειρίζεται καὶ μετὰ ταῦτα ὕπατος. Ἐλθὼν δὲ οὗτος εἰς Βασιλεύουσαν καὶ τὴν βασιλικὴν σφραγῖδα λαβὼν μετὰ τῆς συνήθους δορυφορίας προπομπευόμενος εἰς τὸ ὑπατεῖον παραγέγονεν, οὐδένα τοῦ ἰδίου ἀξιώματος ἐκβαλών· οὕτως αὐτῷ προστεταγμένον. Ἦν δὲ καὶ ὁ ῥηθεὶς οἰκονόμος ἐπὶ τῷ αὐτοῦ ἀξιώματι, τῇ δικαιοσύνῃ μόνῃ ἐπιστηριζόμενος· διὰ γὰρ ταύτης καὶ μόνης ἐπὶ τοσοῦτον προὐχώρησε καὶ ἀδιασείστως ἐρήρεισται· ὥσπερ γὰρ γῆ τοῖς ἄλλοις στοιχείοις ἐξ ἴσου ταλαντευομένη μόνιμον καὶ ἀκράδαντον ἔχει τὴν στάσιν ἀσάλευτόν τε καὶ ἀμετακίνητον, οὕτω καὶ δίκαιος ἀνὴρ πρὸς τὴν τοῦ δικαίου ἰσότητα σταθμιζόμενος πᾶσι τοῖς ἐμπίπτουσιν ἀνένδοτον ἔχει τὸ φρόνημα, ὥσπερ κέντρον πρὸς τὴν περιφέρειαν ἴσας τὰς ἐξ αὐτοῦ γραμμὰς πάσας ἐκφέρων καὶ τῷ δικαίῳ τὸ δίκαιον ἀπονέμων.

33. Τοῦτον τοίνυν τὸν ἄνδρα τοιοῦτον ἡ φήμη κηρύττουσα καὶ ἡ ὀσημέραι πεῖρα ἀποδεικνύουσα τοῦ ἡμετέρου δικαίου προασπιστήν

τε καὶ ἀντιλήπτορα ἐπικαλέσασθαι ἔγνωμεν, εἰδότες αὐτὸν δικαιοσυνης σταθμόν, καὶ εἴ γε δίκαιον ἔχειν ἡμᾶς ἀποφήνοιε τῆς ὑποθέσεως ἄρξασθαι. Ταύτην τοίνυν τὴν ἡμετέραν πρόθεσιν τῷ γενικῷ ἑρμηνεῖ ἀνηγγείλαμεν ἐφ' ᾧ εὐκαίρου λαβομένω καιροῦ ἀπαγγεῖλαι τῷ ῥηθέντι φιλοδικαίῳ οἰκονόμῳ τὴν ζήτησιν, χρηστοῖς ἐλπίσι τρεφόμενοι ὅτι γε καὶ ἀδωρόληπτος τοῦ δικαίου προασπιστὴς ἀνὴρ δίκαιος ὤν, ὡς καὶ ἐγένετο· ὁ δὲ τά τε ἄλλα τὸν ἄνδρα εἰδὼς τοῦ δικαίου προασπιστήν, ἀλλ' οὖν γε καὶ τῷ ἰατροφιλοσόφῳ Θωμᾷ τὴν γνώμην ἐκοινώσατο, ἅτε ἰατρῷ αὐτοῦ ὄντι καὶ ἐκ παλαιοῦ ὑπηρετηκότι αὐτῷ. Ἀπήγγελται οὖν τῷ Χαλισσᾷ ἡ ζήτησις, ὅτι γε ἠδικήμεθα καὶ ὅτι εἰδότες αὐτὸν ἄνδρα φιλοδίκαιον καὶ μόνην παραμυθίαν τῆς ἡμετέρας πενίας διὰ τὸ ἀδωρόληπτον, τούτου τῶν γονάτων ἁπτόμενοι καὶ τοῖς ποσὶν αὐτοῦ πρόσωπα κλίνοντες καθικετεύομεν μὴ μόνους ἡμᾶς ἠδικημένους παριδεῖν ἐπὶ δικαίῳ τοιαύτην ἔχοντα φήμην, καὶ ταῦτα τοῦ ἡμετέρου δικαίου οὕτω προφανοῦς καὶ σαφοῦς ὄντος· ἡμεῖς γὰρ ἀνέκαθεν· τῆς βασιλείας τῷ ἡμετέρῳ γένει οὔσης, πάντα ἦν ἡμέτερα· ἁλούσης δὲ τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ Ὄμερ υἱοῦ Χατὰπ δεδώρηνται ἡμῖν ὅσα καὶ ἐν τῇ ἐπικρατείᾳ τοῦ γένους ἡμῶν εἴχομεν· μάρτυς δὲ τούτου τὸ ἐν μεμβράναις θέσπισμα. Καὶ μετὰ τοῦτον αὖθις ἁλούσης τῆς Ἱερουσαλὴμ ὑπὸ τῶν τῆς Αἰγύπτου σουλτάνων διάφορα ἡμῖν δέδοται θεσπίσματα μαρτυροῦντα τά τε τοῦ Ὄμερ καὶ τῶν προβασιλευσάντων θεσπίσματα· ἁλούσης δὲ τῆς βασιλευούσης τῶν πόλεων καὶ τῆς Ἱερουσαλὴμ ἔτι ἐν τῇ τῶν Γαβρίνων οὔσης ὑποταγῇ, ὁ τότε ἡμέτερος πατριάρχης πρεσβευσάμενος τῷ ἁλόντι τὴν Βασιλεύουσαν σουλτὰν Μεχμέτῃ ἰδίᾳ χειρὶ ἐπιβεβαιωμένον παρέλαβε θέσπισμα μαρτυροῦν τό τε τοῦ Ὄμερ καὶ τῶν λοιπῶν βασιλέων καὶ ὅσα περ οἱ πρὸ αὐτοῦ δεδώκασι προνόμια ἐπιβεβαιοῦν. Μετὰ δὲ τοῦτο καὶ ὁ σουλτὰν Σελήμης πρὸς ὑποταγὴν τῆς Αἰγύπτου παραγενόμενος καὶ τὰς λοιπὰς ἐν Ἀραβίᾳ χειρωσάμενος πόλεις ἀπῆλθε καὶ πρὸς Ἱεροσόλυμα, ὧν τὰς κλεῖς ἐδεδώκει προσκυνήσας ὁ τότε πατριάρχης, δείξας δὲ καὶ τὰ τῶν προβασιλευσάντων ἀπὸ τοῦ Ὄμερ μέχρις

ἐκείνου θεσπίσματα, ἅπερ καὶ κατησφαλίσατο δι' ἰδίου αὐτοῦ θεσπίσματος τε καὶ ὁρισμοῦ καὶ ἰδιοχείρου βεβαιώσεως. Μετὰ τοῦτο δὲ καὶ τοῦ τούτου υἱοῦ σουλτὰν Σουλεϊμὰν ἐπὶ τὸν πατρῶον θρόνον ἀναβιβασθέντος, οἱ ἡμέτεροι τάς τε τῶν πρὸ αὐτοῦ βασιλευσάντων καὶ αὐτοῦ τοῦ πατρὸς ἀποφάσεις ἐνδειξάμενοι τῆς προσηκούσης ἐπιβεβαιώσεως ἔτυχον μετὰ σφοδρῶν ἀρῶν κατὰ τῶν ἀθετησόντων καὶ ὁπώςποτε ἐναντιωθησομένων τοῖς τε παρὰ τῶν προβασιλευσάντων καὶ παρ' αὐτοῦ δοθεῖσι προνομίοις. Καὶ τούτων μὲν οὕτως ἐχόντων εἰς τὸ ἑξῆς ἡσυχίαν ἦγομεν μηδενὸς παρενοχλοῦντος, μέχρις οὗ σουλτὰν Μουράτης ἐκεῖνος ὁ ἐπὶ πολέμοις τε καὶ τροπαίοις περιβόητος τῶν σκήπτρων ἐγένετο ἐγκρατής. Ἐπὶ τούτου τοίνυν ἀπὸ Περσίας τις ἐλθὼν Γοργόρης καλούμενος, φιλοδοξίαν αὐχῶν ἤρξατο ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν. Αὕτη τοίνυν πρώτη ἀρχὴ τῆς τῶν Ἀρμενίων φιλοδοξίας, ἥτις καὶ ἐς πτώσεως κατήντησε βάραθρα, οὐ μόνον ἀκύρων τε καὶ ψευδῶν φανέντων καὶ ἀποβληθέντων τῶν ὑπὲρ αὐτῶν γραμμάτων, βασιλικῇ τε σφραγῖδι ἐν τῷ βασιλικῷ ἀποκλεισθέντων ταμείῳ. ἀλλὰ καὶ πολλοὺς αὐτῶν κεφαλικῇ καταδικασθέντας ποινῇ, ὡς καὶ ἐν ἄλλοις ἱστορικοῖς βιβλίοις γέγραπται, μεταποιηθείσης τῆς ἀνουστάτης αὐτῶν ὑψαυχένου ἀλαζονείας ἐς ἀχανὲς τῆς πτώσεως βάραθρον καὶ ὅμοια πεπονθότων τῷ πολυθρυλλήτῳ ἐκείνῳ Ἑωσφόρῳ, ὅστις ἐς τὸ μὴ ἀνῆκον αὐτῷ ὕψος αὐτὸν ἀναγαγεῖν πειρώμενος πρὸς τὸ ταρτάρειον κατήχθη τῆς πτώσεως βάραθρον. Ἐπικεκύρωται τοίνυν καὶ παρὰ τοῦ ρηθέντος βασιλέως τὰ ἡμέτερα γράμματα, ἀποβέβληνται δὲ τὰ τῶν Ἀρμενίων καὶ παντάπασιν ἄκυρα καὶ ψευδῆ λελόγισται κρίσει τε καὶ ἀποφάσει τῶν τε τῆς Ἀνατολῆς καὶ Ῥούμελης δύο μεγάλων κριτῶν, ὑπὸ τῇ βασιλικῇ τρούλλῃ γεγονυίας τῆς κρίσεως. Ἀλλὰ τὸ κακὸν ἅπαξ ἀρχῆς λαβόμενον οὐδέποτε παύεται τοῦ εἶναι κακόν. Τελευτᾷ μὲν οὖν ὁ σουλτὰν Μουράτης, παρῆλθόν τε καὶ ἄλλοι βασιλεῖς, ἐπανελάβετο δὲ τὰ βασιλικὰ σκῆπτρα ὁ σουλτὰν Μεχμέτης· καὶ αὖθις ἐπὶ τῆς βασιλείας τούτου ἀγωγὴν οἱ Ἀρμένιοι ἐκινήσαντο. Καὶ ἐπὶ τούτου δὲ βασιλικῇ ψήφῳ ψευδεῖς ἀπηλέγχθησαν καὶ ἐγκριτῶν κριτῶν κρίσει καὶ ἀπο-

φάσει ἀπεβλήθησαν. Ἀπὸ τούτου δὲ μέχρι τοῦ νῦν ἡσυχίαν ἤγομεν, ἐπιβεβαιώσαντος τοῦ βασιλεύοντος δι' ἰδιογράφου αὐτοῦ ὁρισμοῦ τὰ τῶν πάλαι βασιλευσάντων θεσπίσματα. Μετὰ τοσούτους δὲ χρόνους εὐκαιρίας λαβόμενοι οἱ Ἀρμένιοι, οὐκ οἶδ' ὅπως τρόπῳ κλοπιμαίῳ καὶ νῷ ἀλογίστῳ καὶ μέχρι βασιλικῶν ταμείων τὰς χεῖρας ἐκτείναντες, τὰ πρότερα ὡς ψευδῆ ἀποβληθέντα καὶ σφραγισθέντα γράμματα καὶ ὡς ἐνοχλήσεως αἴτια ἀποταμιευθέντα ἐξήγαγον, καὶ οὐ μόνον τοῦτο ἀλλὰ καὶ ἐν τοῖς βασιλικοῖς κώδιξιν ὄντα διὰ καταστίχου ἀποξέσαντες ἑαυτοῖς ὠκειώσαντο· ἔστι γὰρ ἡμῖν ἔκ τε τῶν βασιλικῶν κωδίκων τῶν ἐν τῷ ταμείῳ τοῦ βασιλεύοντος καὶ τοῦ κάλφα τῶν ἐπισκόπων ἀποδείξεις τῶν ἡμετέρων πραγμάτων καὶ ἀρχαίων κτημάτων. Δεόμεθα τοίνυν σοῦ τοῦ δικαιοτάτου αὐθέντου ἡμῶν, ὅπως ἐπιβλέψας διακρίνῃς τὰ ἡμέτερα γράμματα· καὶ εἰ μὲν ἀληθῆ εἰσι, ψευδῆ ἄρα τὰ τῶν Ἀρμενίων· εἰ γὰρ ἀληθὲς τὸ τοῦ σουλτὰν Μουράτη θέσπισμα, ποῦ ἂν εὕροντοσούτων ἐτῶν θεσπίσματα οἱ Ἀρμένιοι; Οὗτος γὰρ πάντα ὡς ψευδῆ ἀπελάβετο καὶ σφραγῖδι σφραγίσας ἀπέκλεισεν. Εἰ οὖν ἐκεῖνα ἀπέκλεισε, πῶς τὰ ἐν τοῖς βασιλικοῖς κώδιξιν ὄντα οὐκ ἀπέξεσε; Δῆλον ἄρα ὡς οὐ μόνον ψεῦσται ἀπεδείχθησαν ἀληθῶν ὄντων τῶν ἡμετέρων γραμμάτων, ἀλλὰ καὶ τοῦ βασιλικοῦ ταμείου κλέπται καὶ τῶν βασιλικῶν κωδίκων παραχαράκται· οὐ τί ἂν ἄλλο εἴη δεινότερον χεῖρας τιθέναι ἐπὶ τοιούτοις, οἷς καὶ τὸ ὁρᾶν κίνδυνος, καὶ ταῦτα ἐν Βασιλευούσῃ τῇ πόλει, καὶ βασιλέα κλέπτειν αὐτὸν καὶ πεφυλαγμένους τόπους συλᾶν; Τούτου τοίνυν ἕνεκα δεόμεθά σου, αὐθέντα δικαιότατε· ἀνάγνωθι τὰ ἐν ταῖς ἡμετέραις χερσὶ βασιλικὰ θεσπίσματα καὶ εἰ ἀληθῆ εἰσι τοῦτο μόνον καθικετεύομεν, τῇ συνήθει καὶ φίλῃ σου δικαιοσύνῃ χρώμενος τῶν δικαίων γενοῦ προασπιστής· εἰ δὲ μή, προσλιπαρεῖν οὐ τολμῶμεν σὲ τὸν τῆς δικαιοσύνης σταθμόν, καίτοι γε φανεροῦ ὄντος τοῦ πράγματος. Πόθεν γὰρ πρὸ ἡμῶν οἱ Ἀρμένιοι; πόθεν πραγμάτων τε καὶ κτημάτων κύριοι; πόθεν καὶ αὐτοῦ τοῦ "πατριάρχης" ὀνόματος κοινωνοί; τοῦτο μὲν γὰρ δίδοται παρὰ τῷ βασιλεῖ τοῖς ὑποκειμένους ὁμοφύλους ἔχουσιν ἐν ᾧ πατριαρχεύουσιν τόπῳ. Δει-

ξατωταν οὗτοι ἢ ἐν Ἱεροσολύμοις ἢ ἐν ἄλλῃ τινὶ κώμῃ ἀραβικῇ ἕνα ἐγχώριον τῆς θρησκείας αὐτῶν, ἢ καὶ τούτου παραιτητέου ὄντος εἰπάτωσαν ἡμῖν τοῦτο τὸ "πατριάρχης" ὄνομα τί δύναται εἰπεῖν καὶ ὁποία λέξις ἐστί".

34. Τούτων δὲ λεγομένων συνέβη καί τι γελοῖον. Ἰεσσᾶς τις ἔμπορος ὢν τοῦ ὑπάτου Ἰουδαῖος τοιούτων ἤρξατο λόγων· "Ἀλλ' ὦ δέσποτα, φησί, συνέβη ποτὲ οὐ πρὸ πολλῶν χρόνων ἐπιβεβαίωσιν ἀπαιτῆσαι τῆς βαρταμπετικῆς αὐτῶν ἀξίας τὸν τῶν Ἀρμενίων βαρταμπέτην· ἦν δὲ παρὰ τῷ τότε οἰκονόμῳ τοῦ ὑπάτου Ἰουδαῖος τις ἔμπορος, ὃς ἔτι ζῇ. Τοῦτον τοίνυν ὁ βαρταμπέτης ὀργάνῳ χρησάμενος πρὸς τὸ ἔργον, προσέμενε τὴν ἀπόφασιν· ἐν τούτῳ δὲ τῷ χρόνῳ συγκατανεῦσαι τὸν οἰκονόμον ἔπεισε καὶ τῷ ὑπάτῳ ἀπαγγεῖλαι. Γένος δὲ ὂν τὸ τῶν Ἀρμενίων ὕφαλον φύσει καὶ κεκρυμμένον τρόποις τισὶ διενοεῖτο ἀναβαλέσθαι τὸν χρόνον, ὡς ἂν πως προσκεκλημένον πρὸς τοῦτο ἔλθοι ὁ βαρταμπέτης· καὶ δὴ τῷ Ἰουδαίῳ μηνύσαντι "οὐ πρὸς καιροῦ εἶναι" ἀπελογήσατο, καὶ ταύτην τὴν ἀπόκρισιν ὁ ἔμπορος δέδωκεν. Ἦλθε δὲ ἡ ῥητὴ ἡμέρα καὶ ὁ ὕπατος ἐζήτει τὸν βαρταμπέτην· μὴ φανομένου δὲ ὀργισθεὶς ὅ τε ὕπατος καὶ ὁ οἰκονόμος τὸν Ἰουδαῖον μεταπεμψάμενοι καὶ ἄκοντα τοῦτον τὴν γλαμύδα ἐνέδυσαν, καὶ ἐφ' ἵππου ἀναβιβάσαντες τῇ τῶν τζαουσίων συνήθει προπομπῇ ἐς τὸ τῶν Ἀρμενίων ἀπέπεμψαν μοναστήριον. Βοῶντος τοῦ Ἰουδαίου ὅτι "ἐγὼ Ἀρμένιος οὐκ εἰμί"· τέλος δὲ καὶ ἄκων παραγέγονε γλαμύδα ἐνδεδυμένος. Καὶ ὁ καλὸς μὲν Ἰουδαῖος ἐκεῖνος ἀντ' Ἰουδαίου Ἀρμένιος ἐγεγόνει, ἀντὶ δὲ ἐμπόρου βαρταμπέτης. Ἐξαίφνης δὲ τὸ τοιοῦτον ἰδόντες οἱ Ἀρμένιοι προσέδραμον τοῖς κρατοῦσι μετ' ἀργυρίων πολλῶν· ἐπὶ τούτοις γὰρ καὶ μόνοις ἐλπίζουσι (ἀρχαῖον ὂν αὐτοῖς ἔθος), ἐξ ὧν καὶ παροιμία τοιάδε "ἀργυραῖς λόγχαις μάχου καὶ πάντων κρατήσεις". Τέλος δὴ κατέπεισαν τοὺς κρατοῦντας τούτῳ μέντοι γε τῷ τρόπῳ, ὡς "εἰ μὲν ὁ Ἰουδαῖος ἑκὼν παραιτεῖται*, εἰ δὲ μή, μενέτω ἐφ' ὅπερ καὶ διώρισται". Ταύτην τὴν ἀπόφασιν λαβόντες προσέφυγον τῷ Ἑβραίῳ καὶ τῆς ἧσπερ ἄκων παρέλαβεν ἐπιστασίας ἑκοῦσαν ἀπήτουν παραίτησιν, ἣν καὶ ἔλαβον

χρήμασι πείσαντες. Ὥστε ταυῦν καὶ ἐν αὐτῇ τῇ θρησκείᾳ αὐτῶν ἐξ ἰουδαϊκῆς ἄρχουσι παραιτήσεως".

35. Τούτου τοίνυν γεγονότος τοῦ διαλόγου καὶ χαριεντισμοῦ φιλοσόφου προξενηθέντος, τότε μὲν ὡς νουνεχὴς οὐδὲν ἀπεφήνατο· οὐ γὰρ δικαίου ἀνδρὸς καὶ τῶν ἄγαν δικαίων ἀκούοντος λόγων πρὶν ἢ καὶ τῶν ἀντικειμένων πειραθῆναι εὐθὺς ἀποφαίνεσθαι· ἀλλὰ νομικῶς τε ἅμα καὶ νουνεχῶς προσέταξεν εἰπὼν "ἀγάγετέ μοι ὧδε τὰ ἐν ταῖς ὑμετέραις χερσὶ τῶν πάλαι βασιλέων θεσπίσματα· πλὴν γε καὶ τοῦτο γινώσκετε, ὡς εἴ γε περὶ δικαίου ἡ κρίσις ἐπὶ χρήμασι μὴ ἐλπίζετε· ἀδωροδόκητος γὰρ ἡ δικαιοσύνη". Ἦγοντο τοίνυν τὰ τῶν βασιλέων θεσπίσματα ἅπαντα ἰδίαις ὑπογραφαῖς τῶν βασιλέων ἐπιγεγραμμένα, ἅπερ προσεχόντως πάνυ καὶ ἐνδοιαζόντως ἀναγνοὺς ἔγνω τήν τε ἀρχαιότητα καὶ ἀλήθειαν. Ἀλλ' οὖν ὡς ἀπεφήνατο "μήτε γὰρ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς, τοῦ ἀληθοῦς καὶ δικαίου ἀξιοῦντος", προσέταξε καὶ τοῖς Ἀρμενίοις ὅπως καὶ αὐτοὶ ἀγάγωσι τὰ ἐπὶ τῷ αὐτῶν συμφέροντι γράμματα· ὡετο γὰρ ἔχειν καὶ αὐτοὺς βασιλέων θεσπίσματα, ὁρῶν ἐν τῷ κατὰ ἀπάτην ληφθέντι βασιλικῷ θεσπίσματι θημονίαν σημειωμένην γραμμάτων· ἦν γὰρ ἄρα θαυμαστὸν καὶ τὸν τότε κριτήν, μήτε ἰδόντα μήτε ἀναγνόντα γράμματα, μήτε τὰ τῆς ἀντικειμένης ἀπαιτήσαντα μοίρας, παραχρῆμα μηνῦσαι τῷ κρατοῦντι ὡς ἑώρακε καὶ ὅτι ἀληθῆ ἐστι. Πρὸς ταῦτα τοίνυν ἀμφίβολον ἔχων τὸν νοῦν ἐζήτησε καὶ τὰ τῶν Ἀρμενίων γράμματα, ἅπερ ἰδὼν καὶ μηδὲν εἶναι νοήσας ἐν ἀμηχανίᾳ ἐγένετο πῶς ἄρα γῆς μέταλλον δικαιοσύνης χρήματος οὐρανίου καὶ θείου κρατεῖν καὶ καθυποτάττειν δύναται. Φανερᾶς μὲν οὖν γεγονυίας τῆς ἀληθείας ταύτης ἔγνω τοῦ πράγματος ἀρχὴν διδόναι τοιάνδε, πρῶτον τοῖς ἐπ' ἀξιώμασιν οὖσι πᾶσι γνωρίσαι τὸ δίκαιον· ὅταν γὰρ διὰ πολλῶν στομάτων φέρεται δύο τινὰ ἀποτελοῦνται, πρῶτον ὅτι κηρύττεται τὸ δίκαιον καὶ κηρυττόμενον πάντων τὰς ἀκοὰς ἐμπιπλᾷ καὶ προκατέχει τὰς διανοίας· προκατεχομένων δὲ τῶν διανοιῶν ῥαδία ἡ τοῦ δικαίου ἔκβασις· ἀνενδότους γὰρ πρὸς δῶρα ποιεῖ ἡ φήμη· καὶ ἦν γε οἱ τῆς ἐναντίας μοίρας χρήμασι καπη-

λεῦσαι τὸ δίκαιον ἀγωνισθῶσι καὶ ἀποκρῦψαι, προϋπαρχούσης τῆς τοῦ δικαίου εἰδήσεως καὶ κροτουμένης ἑτοίμη ἡ ἀπολογία καὶ χρημάτων οὐδεὶς καταλείπεται τόπος· οὐδεὶς γὰρ οὕτω τολμητίας προεγνωσμένου ὄντος τοῦ δικαίου, εἰ γε καὶ πάνυ φιλοχρήματος καὶ φιλοκτέανος ᾖ, τολμήσει ἐκτεῖναι χεῖρα πλεονεξίας καὶ μάλιστα ὑπὸ τοιούτου καὶ ἐπ' ἀξιώματι καὶ ἐπὶ δικαιοσύνῃ διαβοήτου· τοῦ δικαίου φημιζομένου, ἄλλως τε καὶ κηρυττομένου τοῦ δικαίου ἐκ στόματος πρὸς στόμα, ἡ τοιαύτη διαβαίνουσα φήμη καὶ πρὸς αὐτὰ ἐξικνεῖται τὰ ὦτα τὰ βασιλικά, εἴτουν τοῖς τῷ βασιλεύοντι πλησιεστέροις· καὶ πρὶν ἐκ τῶν ἀδικηθέντων προβληθεὶς δεύτερον ὅτι καὶ παραδείγματι ἰδίῳ ἐδείκνυε τὸ ἐπὶ τῷ δικαίῳ ἀδωρόληπτον καὶ τρόπον τινὰ καὶ τοὺς λοιποὺς ἐκαλεῖτο πρὸς μίμησιν· τὸ γὰρ ἐπὶ δώροις μόνοις γινόμενον κρύβδην γίνεται ἄδικον ὄν.

36. Ταῦτα τοίνυν εἰδώς, ὡς ἐκ παλαιοῦ τοῖς τοιούτοις ἐντραφείς τε καὶ αὐξηνθείς, τοῖς πᾶσι τὸν λόγον διεφήμιζεν, οὐ μὴν δὲ ἁπλῶς—οὐ γὰρ καὶ τοῦτο φιλοδικαίου ἀνδρὸς καὶ βουλομένου ἀνέγκλητον ἔχειν τὸ φρόνημα — ἀλλὰ ταῖς χερσὶ κατέχων τὰ τῶν βασιλέων θεσπίσματα μετὰ τοὺς λόγους καὶ ταῦτα ἀνεγίνωσκε μὲν καὶ αὐτὸς καὶ τοῖς ἄλλοις ἀναγινώσκειν παρεῖχε· καὶ ἐφ' ἑκάστῳ τὴν προσήκουσαν ἐμποιούμενος παραστατικὴν διήγησιν μετ' ἐκπλήξεως ἐποίει τοὺς ἐντυχάνοντας ἀναγινώσκειν, τήν τε ἀρχαιότητα διηγούμενος καὶ ταύτην ἐκ χρονολογικῶν ἱστοριῶν διαβεβαιούμενος καὶ τὴν τῶν θεσπισμάτων ἀρετήν τε καὶ δικαιοσύνην περιγράφων, ἀναμιγνύων πρὸς τούτοις καὶ ἄλλα αὐτῶν ἱστορικὰ διηγήματα, παριστῶν ἐκ πάντων τὴν τῶν βασιλέων ἐκείνων μετ' ἀρετῆς δικαιοσύνην καὶ ἐξηγούμενος τὰς ἐν τοῖς θεσπίσμασι γεγραμμένας ἀράς. Μάλιστα δὲ τὸ τοῦ Ὅμερ θέσπισμα, ὅπερ ὡς εἰκὸς μετὰ πολλῆς ἀνεγίνωσκε τῆς εὐλαβείας καὶ προσοχῆς, τοῖς τε ἀκούουσιν αἰδέσιμον καὶ προσκυνητὸν ἀπεδείκνυεν· ἔνθεν τοι καὶ ἀσθενοῦσιν ἀκεσώδυνον καὶ ἀλεξιτήριον ἀπεστέλλετο· ὥστε ἐκ τούτων πάντων οὐ τοσόνδε μόνον τοὺς ἐν ἀξιώμασιν ὄντας, ἀλλὰ καὶ τοὺς δούλων ἔχοντας τάξιν αὐτοὺς ἀεὶ διὰ στόματος φέρειν ταυτηνὶ τὴν ὑπόθεσιν παρὰ τῶν κυρίων αὐτῶν

ἀκούοντας διαλεγομένων περὶ τῶν αὐτῶν πολλάκις. Καὶ τοῦτο μὲν ἦν πολλαῖς ἐφεξῆς ἡμέραις, συνεχῶς ἀγομένων τῶν θεσπισμάτων αὐτῶν καὶ ὑπὸ τῶν εἰσιόντων τε καὶ ἐξιόντων ἀναγινωσκομένων· ἐς τοσοῦτον δὲ παρῆλθε τὸ πρᾶγμα, ὥστε μηδὲ ἡμᾶς αὐτοὺς εἰδέναι τὰ τῆς ὑποθέσεως ἀνήκοντα, ὅσα αὐτοὶ ἔγνων τε καὶ διέκριναν. Τέλος δέ, ἵνα καὶ ἱστορικοῖς βιβλίοις ταῦτα ἐπιβεβαιώσῃ, προσέταξε τοῖς τὰ βασιλικὰ βιβλία ἱστορικὰ φυλάττουσιν ἐξαγαγεῖν τά τε ἀπὸ Ὄμερ καὶ τὰ ἐπὶ τοῦ σουλτὰν Μουράτη γεγονότα· καὶ ἐξήγαγον. Ἀχθέντων δὲ τῶν χρονολογικῶν τούτων βιβλίων συνεχὴς ἐγίγνετο ἀνάγνωσις καὶ ἐπεβεβαιοῦντο παραβαλλόμενα τοῖς χρονολογικοῖς ἱστορήμασι τὰ ἡμέτερα γράμματα.

37. Ἐν τοσούτῳ δὲ ὁρῶντες οἱ Ἀρμένιοι τὸ πρᾶγμα διαφημιζόμενον προσδραμεῖν ἔγνωσαν τῷ ῥηθέντι φιλοδικαίῳ τε καὶ φιλαλήθει αὐθέντῃ, δώροις καὶ τοῦτον διαφθεῖραι νομίσαντες· ταῦτα γὰρ καὶ μόνα γινώσκουσιν ἀρωγὰ τῆς σφῶν αὐτῶν ἀδικίας. Ἀλλ' ἠπατήθησαν· ὥσπερ γὰρ τὰ ἄστρα τῆς γῆς πόρρω ἀπέχοντα ἐστηριγμένα ἔκλειψιν οὐ πάσχουσιν, οὕτω καὶ ὁ Χαλισσᾶς πόρρω καὶ μακρὰν τῆς χρηματικῆς πλάνης ἔκλειψιν τῆς αὐτῷ οὔσης ἐμφύτου δικαιοσύνης οὐ δέδιεν· ἡ γὰρ ἔκλειψις, ὡς οἱ φυσικοὶ λέγουσιν, ἐκ μόνης ἀντιτύπου παχείας τε καὶ γαιώδους περιστάσεως γίγνεται. Καὶ τοῦτό ἐστιν ἡ ὠροληψία, ἧς τινος πόρρω ἀπούσης οὐδέν ἐστι τὸ κωλύον τοῦ μὴ λαμπρὸν καὶ ἀκτινοβόλον εἶναι τὸ φῶς. Τούτου τοίνυν οὕτω διαγνωσθέντος χεῖρα συνέστειλαν, εἰδότες ὡς ἄρα ἡττηθήσονται χρημάτων μὴ ὄντων ἐν μέσῳ. Προσέδραμον τοίνυν ἡμῖν πῇ μὲν δεόμενοι, πῇ δὲ καὶ ἀπειλοῦντες "ὡς οὐ δεκτὸν τοῦτο γε τῷ βασιλεῖ ἅπαξ ὄντι τοιαῦτα θεσπίσματα, καὶ ὅτι γε τοὺς κρατοῦντας ὠφελήσομεν· τοσαύτη γὰρ δαπάνη παρὰ τῆς ἡμετέρας ἀπεφασίσθη κοινότητος, ὥστε καὶ αὐτούς γε ἀπεμποληθέντας καὶ ἅπαν τὸ γένος ἡμῶν μηδὲν εἶναι πρὸς τὸ παρ' ἡμῶν συναχθὲν ἑκατοστημόριον". Ἦν δὲ ὁ ταῦτα διαπρεσβευσάμενος βαρταμπέτης τις Γιακούπης ὄνομα. Πρὸς ταῦτα ἡμεῖς μηδὲν ἄλλο εἴπομεν, εἰμὴ ὅτι βασιλέα εἶναι τὸν δικάσοντα καὶ Θεὸν τὸν ἐπιβλέποντα καὶ δίκαιον τὸ συνηγορῆσον. "Εἰ οὖν

ὑμεῖς ἡσυχίαν βούλεσθε ἄγειν, ἢ ἐφησυχάσαντες ἐάσατε ἡμᾶς τὰ ἡμέτερα ἀνακαινίσαι γράμματα, ἢ ὑμεῖς ἐξάρατε ἐκ τοῦ μέσου τὸ παρενοχλοῦν, καὶ τοῦτο ἐστὶν ὅπερ ὑμεῖς ἐλάβετε θέσπισμα ἀναιρετικὸν τῶν ἡμετέρων· εἶτ' οὖν δικάσει ἡμᾶς ὁ βασιλικὸς ὕπατος καὶ οὕτω τὸ ἀποφανθὲν γενήσεται καὶ οὐδεὶς ἔσται ὁ προσκλαιόμενος· ἀνάλγητος γὰρ ἡ ὑπὸ τῆς κρίσεως τμηθησομένη χειρ". Τούτων τοίνυν εἰρημένων τῶν λόγων ὁ βαρταμπέτης ὑπολαβὼν ἔφη, ὅτι "εἰ μὲν κατὰ τὴν ἡμετέραν γενήσεται ἀρέσκειαν, δεκτόν ἐστιν· ἡ δὲ ἀρέσκεια ἡμῶν τοιάδε ἐστίν. Ὅσα οὐκ ἔστιν ἐν ἡμῖν γράμματα, ταῦτα ὑμεῖς γράψατε· ὅσα δὲ ἐν ἡμῖν παραιτητέα εἶναι δεῖ". Εἰς τοσοῦτον ἀνοίας ἐληλύθασιν, ὥστε προστάττειν καὶ κατεξουσιάζειν ἄνδρας βασιλεῖ ὑποταττομένους· καὶ τῆς ἀνοίας αὐτοῦ καταγνόντες, μηδὲν ἔτι μικρὸν ἢ μέγα εἰπόντες, ἀπῆλθε.

38. Καὶ μετὰ τοῦτο ἤρξαντο, ὡς ἔθος αὐτοῖς, πρὸς τὰς τῶν κρατούντων τε καὶ ἐν ἀξιώμασιν ὄντων θύρας τρέχειν μετ' ἀργυρίων πολλῶν· ὡς δὲ οὐδὲν ἠνύετο, πάλιν ἦλθον εἰς τὸν τοῦ γενικοῦ ἑρμηνέως οἶκον ζητοῦντες συμφωνίας, ἀγνοοῦντες ὅτι γε περὶ βασιλικῶν θεσπισμάτων μόνος ὁ βασιλεὺς ἀποφαίνεται. Τέλος δὲ κἀκεῖθεν ἐξελθόντες μετὰ τῆς αὐτῆς ἀπολογίας προσέδραμον τοῖς κρατοῦσι μετὰ τοιαύτης ἀποφάσεως, χρημάτων μὴ φείσασθαι. Καὶ αὕτη πρώτη αἰτία τῆς ἀποστροφῆς τε καὶ τοῦ μίσους τοῦ οἰκονόμου πρὸς τὸν Σεχπόζην· οὗτος γὰρ τοὺς ὁμοφύλους αὐτῷ παρεθάρρυνε τῇ τῶν χρημάτων ὑπερβολῇ καὶ τῇ τῶν δοκούντων φίλων οἰκειότητι, λέγων τε καὶ λογιζόμενος ὡς μόνοις τοῖς χρήμασι πάντα κινεῖται καὶ φέρεται, καὶ ἀξιωμάτων λαμπρότητες τούτοις καὶ μόνοις ἁλίσκονται, καὶ νόμοι παραχαράττονται, καὶ πάντα τοῖς χρήμασι δοῦλα, ὑπόδειγμα ποιούμενος τὰ τότε γεγονότα· "εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος δαπάνῃ χρημάτων ἐγένετο, πολλῷ μᾶλλον ὄντα ἐπικυρωθήσεται· καὶ ἐπειδὴ χρήμασι κατορθοῦται, ὥσπερ τηνικαῦτα οὕτω καὶ νῦν λαμπρὰ ἔξω τὰ νικητήρια". Καὶ ἦν ἀληθὲς τὸ λεγόμενον, εἴ γε καὶ τοὺς ἐν ἀξιώμασιν ὄντας τοιούτους συνέβαινεν εἶναι οἵους περ καὶ ἐβούλοντο· πόθεν γὰρ ἡμῖν τοσαῦτα χρήματα ὅσα καὶ Ἀρμενίοις, εἰ μή γε Θεὸς ἐλεήσας τοιοῦτον ἀπέ-

πεμψεν ἡμῖν κηδεμόνα τε καὶ προασπιστήν, καὶ μόνον τὸ δωροδοκεῖσθαι ὥσπερ τινὰ λύμην ρυπαρὰν ἀποποιούμενον καὶ τοὺς ἄλλους ἐκφοβοῦντα, ὥστε μηδένα χεῖρα ἐπὶ δώροις ἐκτεῖναι ἀλλ' ὡς τὸν ἰὸν ἀποφεύγειν ἀσπίδος; Τούτῳ μὲν οὖν τῷ τρόπῳ ὁ Σεχπόζης μεμίσηται, παραβεβηκώς πως τὴν τοῦ οἰκονόμου ἐπιταγήν· καὶ τούτου ἀποτυχὼν μετὰ βαρυταλάντων δώρων ἄλλοις προσέτρεχεν, ὡς ἐν τοῖς ἐφεξῆς ἔγνωσται, ἀνδράσιν ἡλικία τε παρήβοις, τῷ τε νῷ καὶ τοῖς αἰσθητηρίοις ἐλλείπουσιν, ἄλλως τε καὶ μὴ εἰδόσιν ἁπλῶς τὸ ζητούμενον, ἀλλὰ περὶ πίστεως μόνης εἶναι ἡγουμένοις τὴν διαφοράν, ὡς δηλωθήσεται· καὶ ἐκ τοιαύτης ἀπάτης τὴν τούτων βοήθειαν ὠνησάμενος προσεδόκει τὴν νίκην.

39. Διαφημισθείσης τοίνυν τῆς ὑποθέσεως καὶ πᾶσι σχεδὸν θρυλληθείσης, καὶ μέχρι τῶν τοῦ ὑπάτου καὶ αὐτῶν τῶν ἐντὸς τοῖς βασιλείοις ὄντων ἐξίκετο. Μετὰ δὲ τὴν διαφήμισιν ταύτην καὶ τὴν παρὰ πᾶσι γενομένην ἡμῖν δικαιολογίαν τοιάδε δέδοται ἀναφορὰ τῷ ὑπάτῳ, ἀπαιτοῦσα τὰ ἐν τοῖς βασιλικοῖς κώδιξιν ὑπὲρ ἡμῶν σημειώματα· ἦν γὰρ τοιαύτη ὑπόληψις, ὅτι γε ἐν ᾧ αὐτοὶ τὰ τοιαῦτα ἐδεδράκεσαν χρόνῳ, ἀπέφεσαν καὶ ὅσα περ ἦν ἡμῖν ἐν βασιλικοῖς καταστίχοις σημειώματα, ἅπερ ἡμεῖς ἔχομεν ταῖς χερσὶν ἐσφραγισμένα ὑπὸ τοῦ τότε καταστιχοφύλακος --μπᾶς-μουασεμπετζῆς δὲ τὸ τοιοῦτον καλεῖται ἀξίωμα—ἐπὶ ἔτους ἐνακοσιοστοῦ εἰκοστοῦ τρίτου κατὰ τὸ ὀθωμανικὸν ἔτος (1517). Περιεῖχε δὲ ἡ ἡμετέρα ἀναφορὰ τάδε· «Δεδοξασμένε καὶ ἐλεήμων αὐθέντα, ὁ Θεὸς διαφυλάττοι τὴν δόξαν σου διαιωνίζουσαν. Ἡμεῖς οἱ δοῦλοι καὶ ὑπήκοοι τῆς σῆς μεγαλειότητος πάντες κοινῇ ἱκετικῶς σοι ἀναφέρομεν, ὡς ἔχοντες ἐκ τῶν πάλαι βασιλέων ἀνέκαθεν ὑφ' ἡμᾶς τὰς τῶν Ἰακωβιτῶν Ἀβυσινῶν καὶ Συριάνων φυλὰς ἄδειαν ἀπαιτοῦμεν ἐκ τῶν βασιλικῶν καταστίχων ἐξαγαγεῖν τὰς ἐν τούτοις οὔσας ἡμῖν γεγραμμένας ἀποδείξεις κατὰ τὸ ἐνακοσιοστὸν εἰκοστὸν τρίτον ἔτος σεσημειωμένας. Αὕτη μὲν ἡ ἡμετέρα ζήτησις, ἡ δὲ ψῆφος ἐπὶ τῇ σῇ κεῖται μεγαλειότητι». Ἀναγνωσθείσης δὲ ταύτης τῆς ἀναφορᾶς ἐπὶ τῷ τοῦ ὑπάτου βήματι, ἐσφράγισται τῷ τοῦ ὑπάτου σημείῳ τοιάδε προσταγῇ. "Ἐκ τῶν παλαιῶν βασιλι-

κῶν καταστιχων θεωρηθήτωσαν τὰ ἐν τῇ ἀναφορᾷ σημειούμενα"· ἔθος γὰρ καὶ τοῦτο τῷ ὀθωμανικῷ κρατεῖ· ἐπειδάν τινα ὁρισμὸν δῶσιν, ἐν τοῖς κώδιξιν ἀποσημειοῦνται πᾶσαν τὴν τούτου περίληψιν· χρείας δὲ καλεσάσης ἀνανεωθῆναι, ἀναφορὰ γίνεται καὶ ζητεῖται ἐκ τοῦ κώδικος· κἀιδὶ δὲ τοῦτο τοῖς Ὀθωμανοῖς καλεῖται. Τούτου δὲ κυρωθέντος, ἀπέρχεται ὁ ἐνάγων εἰς ὃν βούλεται κώδικα καὶ δείκνυσι τὴν κυρωθεῖσαν ἀναφοράν· καὶ ταύτην λαβὼν ὁ τοῦ κώδικος ἐπιστάτης, ἐν τῷ περιθωρίῳ γράφει ὅσα ὁ προδοθεὶς περιεῖχεν ὁρισμός, καὶ οὕτως αὖθις τὴν αὐτὴν ἀναφορὰν τῷ ὑπάτῳ δίδωσιν, μεθ' ἣν καὶ αὖθις ἐπικυρώσαντος τοῦ ὑπάτου ὁρισμὸς γίνεται καὶ ἀνανεοῦται ὁ ὁρισμός. Καὶ τοῦτο οὐ μόνον ἐπὶ τοῖς νέοις καὶ προσφάτοις γίνεται, ἀλλὰ καὶ ἐπὶ τοῖς παλαιοῖς· σχεδὸν γὰρ ἐξ αὐτῆς τῆς τῶν Ὀθωμανῶν βασιλείου ἀρχῆς εὑρίσκονται σημειώματα πασῶν τῶν ἐπισυμβασῶν ὑποθέσεων, φυλαττόμενα ἀσφαλῶς· οὐδ' ἔστι περὶ ἐλαχίστης ὑποθέσεως ὁρισμὸν γεγονότα ἀσημείωτον μεῖναι.

40. Ταύτην τοίνυν κυρωθεῖσαν τὴν ἀναφοράν, ὡς εἴρηται, ἀπέστειλαν τῷ τῶν βασιλικῶν καταστιχων φύλακι μπᾶς-μουσεμπετζῇ Φεϊζῇ λεγομένῳ· ἦν δὲ οὗτος ἀδελφὸς τοῦ προϋπατεύσαντος Ἀλῆπασᾶ. Ἀναγνοὺς δ' ἐκεῖνος, εἴτ' ἐρευνήσας εἴτε μὴ — ἀμφίβολον γὰρ καὶ τοῦτο καὶ ἐν ὑποψίᾳ σχεδὸν ὡς αὐτὸς ἀπεξεκὼς εἴη ἐκ τῶν καταστιχων τὰς ἀποδείξεις ἡμῶν καὶ μεταβεβληκὼς ἐπὶ τῷ τῶν Ἀρμενίων ὀνόματι — ὄπισθεν τῆς ἀναφορᾶς ἔγραψεν ὅτι τοιαῦτα οὐχ εὕρηται, καὶ τοῦτο ἰδία κατησφαλίσατο ὑπογραφῇ. Ταύτην δὲ ἰδόντες τὴν ἀπολογίαν ἔγνωμεν καὶ αὖθις τῷ Χαλισσᾷ ἀπαγγεῖλαι. Ἐν τοσούτῳ δὲ εἴτ' ἐκ τῆς ἀναφορᾶς εἴτ' ἐκ τῆς κινηθείσης φήμης ἐνωτισθεὶς ὁ ὕπατος τὴν ὑπόθεσιν τὸν οἰκονόμον μετεπέμψατο καὶ εἰπεῖν αὐτῷ λέγεται, ὡς "τοιάδε φήμη περί τε τῶν Ῥωμαίων καὶ Ἀρμενίων ἀπαγγέλλεται καὶ πανταχῇ διαθρυλλεῖται· τί σὺ φῄς;" "Ἐγὼ μὲν" ἔφη "σαφῶς περὶ τούτου οὐκ οἶδα· σαφῶς μέντοι γε, ὅτι ἀδικοῦνται ὑπὸ τῶν Ἀρμενίων Ῥωμαῖοι καὶ χρημάτων δυνάμει παρέλαβον ὅσα ἔχειν δοκοῦσι"· προσεποιεῖτο γὰρ μὴ εἰδέναι ὁ οἰκονόμος δυοῖν ἕνεκεν, πρῶτον

μὲν ἵνα μὴ ὑποληφθῇ δεδεκασμένος χρήμασιν ὑφ' ἡμῶν, ἀγνοῶν ἔτι τὴν τοῦ ὑπάτου διάθεσιν· δεύτερον δὲ ἵνα μὴ ὡς πρὸς εἰδότα τι τῶν ἀδυνάτων ἀπαιτήσῃ· ἤδει γὰρ ἡμᾶς ὡς τὰ μάλιστα ἐν ἐνδεία ὄντας ἄνδρας προσαίτας καὶ ἐκ τούτου τὸ ζῆν ποριζομένους. Ἐντεῦθεν καὶ ἄγνοιαν ὑπεκρίνετο καὶ ὡς εἷς τῶν πολλῶν ἀκηκοὼς τὴν διαφορὰν ταυτηνὶ καὶ ἐκ παλαιοῦ εἰδὼς τὴν τοῦ δικαίου κρίσιν. Οὕτως ἡ τῆς ἀγχινοίας νόησις καὶ τοῦ δικαίου κρίσις ἐμποδών τι προαισθανομένη, μηχαναῖς τε καὶ τεχνάσμασιν ἐξ ἄλλης πρὸς ἣν βούλεται ὁδὸν ἕλκει τὰ πράγματα ἀνεπαισθήτως καὶ τῶν ἀδικῆσαι προθυμουμένων.

41. Τούτων τοιγαροῦν πάντων προκατασκευασθέντων καὶ διὰ πάντων τῶν στομάτων τῆς ὑποθέσεως φερομένης, ἔγνωσται ἡμῖν ἀναφορὰν δοῦσιν ἀπαγγεῖλαι πλατυτάτως ἐπὶ τῷ τοῦ ὑπάτου βήματι ὅσα περ ἠδικήθημεν· καὶ τοιάνδε δεδώκαμεν ἀναφοράν. "Ἐνδοξότατε, μεγαλοπρεπέστατε, ἐλεημονικώτατε αὐθέντα, Κύριος διαφυλάττοι αὐτὴν πάσης βλάβης ἀνωτέραν καὶ πάσης ἐπηρείας ὑπερτέραν. Ἡμεῖς οἱ τῶν Ῥωμαίων πατριάρχαι, ὅ τε τῆς Κωνσταντινουπόλεως καὶ τῆς Ἱερουσαλήμ, οἵ τε ἀρχιερεῖς τε καὶ ἱερεῖς καὶ μοναχοί, οἱ τῶν τεχνῶν εἰδήμονες καὶ τὸ λοιπὸν ὑπήκοον, πάντες δοῦλοι τῆς ὑμετέρας ἐξοχότητος, ἀναφέρομεν ὡς μετὰ πέντε καὶ δέκα ἔτη τῆς φυγῆς τῆς ἀπὸ Μεδίνης τοῦ Μωάμεθ, τοῦ Ὁμὲρ υἱοῦ Χατάπ, ὡς αἱ ἱστορίαι διαλαμβάνουσι, τὴν Ἱερουσαλὴμ χειρωσαμένου ὁ τότε πατριάρχης τῶν Ἱεροσολύμων Σωφρόνιος ὄναρ ἐθεάσατο καὶ ἐν τῷ ὄρει ἀπῆλθε τῶν Ἐλαιῶν μετὰ τῶν ὑπ' αὐτὸν ὑπηκόων καὶ τὰς κλεῖς παρεδεδώκει τῆς πόλεως· ὃ δὲ ἐν μεμβράναις ἰδιόγραφον αὐτοῖς ἐδωρήσατο θέσπισμα, καὶ τόδε μέχρι τοῦ νῦν ἐν ἡμῖν διατηρεῖται. Περιέχει δὲ ὅτι πᾶσαι αἱ ἐκκλησίαι καὶ τὰ ἐν Ἱεροσολύμοις προσκυνήματα ὑπὸ τὸν τῶν Ῥωμαίων εἶναι πατριάρχην, τὰ δὲ τῶν Γεωργιανῶν Ἀβυσινῶν Φράγκων Κοπτῶν Σύρων Ἀρμενίων Ἰακωβιτῶν Νεστοριανῶν τε καὶ Μαρωνιτῶν καὶ τὰ λοιπὰ κατὰ τόπον ἔθνη ὑποκεῖσθαι πάντα τῷ τῶν Ῥωμαίων πατριάρχῃ, καὶ ὡς ὁ μέγας προφήτης διώρισε τῇ τῆς ἰδίας αὐτοῦ παλάμης σφραγῖδι, ἣν ἡμῖν δέδωκε

διαλαμβάνουσαν τοὺς Ῥωμαίους περιποιεῖσθαί τε καὶ περιθάλπεσθαι· ἐφ' ᾧ δὴ καὶ τὸ τοῦ Ὅμερ θέσπισμα διαφυλάττεσθαι παρὰ τῶν βασιλεύσαι εφεξῆς μελλόντων· ἀραῖς καὶ τοῦτο κατησφαλίσατο, καὶ τοὺς ὁπώσποτε ἀθετήσοντας ἀναθέματι παραδέδωκε. Μετὰ δὲ τοῦτον οἱ βασιλεῖς Αἰγύπτου χρηματίσαντες, κατὰ τὸ ῥηθὲν τοῦ Ὅμερ θέσπισμα ὁρισμοὺς διαφόρους δεδώκασιν, οἵπερ καὶ μέχρι τοῦ νῦν ταῖς ἡμετέραις διατηροῦνται χερσί. Μετὰ τούτους δὲ ἐπὶ τοῦ τὴν βασιλεύουσαν τήνδε χειρωσαμένου πόλιν σουλτὰν Μεχμέτη, ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ πρώτῳ (1456—1457), ὁ τῶν Ἱεροσολύμων πατριάρχης Ἀθανάσιος τῷ αὐτοκρατορικῷ κράτει πρέσβεις ἀποστείλας ἔκ τε τοῦ μοναχικοῦ καὶ λαϊκοῦ τάγματος ἐπέδειξεν αὐτῷ τό τε τοῦ Μωάμεθ μετὰ παλάμης σφραγισθὲν θέσπισμα καὶ τὸν τοῦ Ὅμερ ἀκτιναμέν, καὶ τοὺς τῶν τῆς Αἰγύπτου βασιλέων ὁρισμούς. Τούτων οὖν ἐπιδειχθέντων ὁ ῥηθεὶς σουλτὰν Μεχμέτης τούτοις ἑπόμενος δεδώρηται αὐτοῖς ὁρισμὸν μετὰ ἰδιογράφου ἐπιβεβαιώσεως· ἐπεκύρωσε δὲ τὸ τῶν Γεωργιανῶν μοναστήριον τὸ ἐπ' ὀνόματι τοῦ ἁγίου Ἰακώβου τιμώμενον, περὶ οὗ νῦν οἱ Ἀρμένιοι διαφέρονται· τοῦτον δὲ τὸν ὁρισμὸν ἰδίᾳ χειρὶ ἐβεβαίωσεν τὰς παλαμναιοτάτας ἀρὰς ἐπιγράψας, ὡς πᾶς ὁ ἀθετήσων εἴη ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι. Καὶ τόνδε τὸν τοῦ ῥηθέντος βασιλέως ὁρισμὸν ταῖς ἡμετέραις κατέχομεν χερσίν· Ἐν δὲ τῷ ἐνακοσιοστῷ εἰκοστῷ τρίτῳ ἔτει (1517) τοῦ σουλτὰν Σελήμη, μετὰ τὸ τὴν Αἴγυπτον λαβεῖν καὶ τὴν Ἱερουσαλὴμ χειρώσασθαι παραγενέσθαι λέγεται τὸν τότε πατριάρχην Ἀττάλαν καλούμενον μετά τε τῶν ὑποκειμένων καὶ μοναχῶν καὶ τὴν προσήκουσαν αὐτῷ ἀποδόντα προσκύνησιν παραδεδωκέναι τὰς κλεῖς ἀμαχητὶ καὶ παραστῆσαι τὰ ἄπερ ἔσχον ἀποδεικτικὰ γράμματα· ἔνθεν τοι καὶ αὐτὸς ἐδωρήσατο αὐτοῖς ὁρισμὸν ἰδίᾳ ἐπιβεβαιωμένον ἐπιγραφῇ κατὰ τοὺς προτέρους δοθέντα καὶ οὕτω διαλαμβάνοντα· ὅτι τὸ τοῦ ἁγίου Ἰακώβου μοναστήριον ἐν τῇ τῶν Ῥωμαίων εἶναι ἐξουσίᾳ καὶ τὸν τούτων πατριάρχην πρῶτον εἶναι τῶν ἄλλων χριστιανῶν, καὶ εἴ τινα τῶν Ἀβυσινῶν τεθνάναι συμβαίη, τὴν τούτου περιουσίαν καὶ τοὺς ὑποκειμένους αὐτῷ τόπους ὑπὸ τὴν τοῦ πατριάρχου τῶν

Ῥωμαίων εἶναι ἐξουσίαν, ἔτι δὲ καὶ τὰ δοθέντα θεσπίσματα κατέχειν τοὺς Ῥωμαίους, μηδενὸς ὁπωσποτε τολμήσοντος ἀφελεῖν. Ἰδίᾳ δὲ χειρὶ καὶ ταῦτα γράφει· "ὃς ἂν ποτε ἄλλως ποιήσας ἐναντιωθήσεται καὶ ἀνέλῃ τούτους, τῷ τοῦ Θεοῦ ὑποπέσοιτο ξίφει". Ἔστι δὲ καὶ τόδε τὸ τοῦ βασιλέως θέσπισμα ταῖς ἡμετέραις χερσί. Τούτου δὲ τοῦ βασιλέως τεθνηκότος, ἐν ἔτει ἐνακοσιοστῷ τριακοστῷ τρίτῳ (1526) ὁ υἱὸς αὐτοῦ σουλτὰν Σουλεϊμάνης τὴν βασιλείαν διαδεξάμενος θέσπισμα βασιλικὸν ἐδωρήσατο, τῷ τε τοῦ Ὁμὲρ ἀκτιναμὲ καὶ ταῖς λοιπαῖς τῶν πρὸ αὐτοῦ βασιλευσάντων ἑπόμενος ἀποφάσεσι, διαλαμβάνον ὡς πᾶσαι αἱ ἐκκλησίαι καὶ μοναστήρια καὶ οἱ ἐντὸς καὶ ἐκτὸς τῶν Ἱεροσολύμων προσκυνητοὶ τόποι, οἵ τε Ἀβυσινοὶ Κόπται καὶ Σύροι καὶ πάντες αὐτῶν οἱ τόποι ὑπὸ τὴν δεσποτείαν εἰσὶ τοῦ ῥηθέντος πατριάρχου, τοῦτον δὲ καὶ πρῶτον εἶναι πάντων τῶν ἐν Ἱεροσολύμοις χριστιανικῶν ἐθνῶν ἐν πάσαις ταῖς λιτανείαις καὶ περιηγήσεσι. Καὶ ἰδιοχείρῳ αὐτοῦ γραφῇ τοιαῦτα ἐθεσπίσατο· "ὃς ἂν ποτε πρὸς ἀναίρεσιν ταύτης κινηθείη τῆς ἀποφάσεως, τῇ τοῦ Θεοῦ καὶ τοῦ προφήτου αὐτοῦ ὑποπέσοιεν ὀργῇ". Καὶ τόδε τὸ βασιλικὸν θέσπισμα ταῖς ἡμετέραις φυλάττεται χερσίν. Ἐν ἔτει δὲ χιλιοστῷ τεσσαρακοστῷ τετάρτῳ (1634), ἐπὶ τῆς τοῦ σουλτὰν Μουράτη βασιλείας, ἀπὸ Περσίας ἀνεφάνη τις Γοργόρης τοὔνομα ἔχων μεθ' αὑτοῦ καί τινας τῶν Ἀρμενίων· ἔλεγε δὲ οὗτος ὅτι "οἱ Κόπται καὶ Ἀβυσινοί εἰσιν ὑπὸ τὴν ἡμετέραν δεσποτείαν", καὶ οὐ μόνον τοῦτο ἀλλὰ καὶ ἀγωγὴν ἐποίησε προκατασκευάσας ψευδῆ τινα τῆς κρίσεως γράμματα. Διώρισται δὲ κριθῆναι ἡμᾶς ἐπὶ τῶν δύο γενικῶν κριτῶν Ἀπτουλὰχ-ἐφέντη καὶ Νοὺχ-ἐφέντη, καὶ θεωρηθῆναι ἡμῶν καὶ τῶν Ἀρμενίων τὰ γράμματα ἐν τῷ βασιλικῷ κριτηρίῳ καὶ ἀναφορὰν γενέσθαι ἔκ τε τοῦ ὑπάτου καὶ τῶν κριτῶν. Γενομένης δὲ τῆς κρίσεως ταυτησί, τὰ τῶν Ἀρμενίων γράμματα ψευδῆ ἐδείχθησαν, ἀληθῆ δὲ τὰ ἡμέτερα· ἔνθεν τοι καὶ ἀναφορὰ ἔκ τε τοῦ ὑπάτου καὶ τῶν κριτῶν ἐγένετο, πρὸς τούτοις δὲ καὶ ἐξ ἀμφοτέρων τῶν κριτῶν ἀπόδειξις ταυτησὶ τῆς ἀληθείας ἡμῶν δέδοται. Μετὰ δὲ τοῦτο ὁ ῥηθεὶς βασιλεὺς ἐν τῷ βασιλικῷ αὐτοῦ

κριτηρίῳ ἀπεφήνατο ὅτι "ψεύστας φανέντας τοὺς Ἀρμενίους, ὡς ἐκ τοῦ ἔτους δεδήλωται, φονευθῆναι τοὺς πταίσαντας". Κατὰ τοῦτον δὲ τὸν περὶ ταύτης τῆς ὑποθέσεως δοθέντα ὁρισμόν, καὶ τὸν Ἀμπαζᾶ-πασᾶν βοηθὸν ὄντα τοῖς Ἀρμενίοις διεχρήσατο καὶ πολλοὺς ἄλλους τῶν Ἀρμενίων· ἐπικεκύρωται δὲ καὶ αὖθις τὰ δηλωθέντα ἔθνη καὶ τοὺς τόπους αὐτῶν καὶ τὰ προσκυνήματα καὶ τὰς ἐκκλησίας καὶ τὰ μοναστήρια τῷ τῶν Ῥωμαίων πατριάρχῃ ὑποκεῖσθαι, τοῦτον τε πρῶτον εἶναι τῶν ἄλλων πάντων ἐθνῶν καὶ εἴ γε μετέπειτα ἀπόδειξίς τις εὑρεθῇ περὶ ταύτης τῆς ὑποθέσεως τοῖς Ἀρμενίοις, λαμβάνεσθαί τε καὶ τῷ βασιλικῷ ἀποπέμπεσθαι κράτει. Τοῦτο δὲ τὸ βασιλικὸν θέσπισμα καὶ ἡ τῆς κρίσεως ἀπόφασις ἡ κατὰ νόμους δοθεῖσα, καὶ ἡ τοῦ ὑπάτου ἀναφορά, ταῖς ἡμετέραις τηρεῖται χερσίν. Ἐν ἔτει δὲ χιλιοστῷ ἑξηκοστῷ ἑβδόμῳ (1656) ἐπὶ τῆς τοῦ σουλτὰν Μεχμέτη βασιλείας οἱ Ἀρμένιοι πεπλασμένην τινὰ ὡς ἐκ τῆς κρίσεως κατασκευάσαντες ἀπόφασιν, κατ' αὐτὴν λαθραίως καὶ ὁρισμὸν ἔλαβον. Μετὰ δὲ τοῦτο προσετάγησαν οἱ δύο γενικοὶ κριταὶ ἐν τῷ ὑπερτάτῳ κριτηρίῳ ὅπως κρίνωσι περὶ ταύτης τῆς ὑποθέσεως· οἳ δὲ ἰδόντες τὰς τῶν Ἀρμενίων ἀποδείξεις ψευδεῖς ταύτας ἔγνωσαν· οὐ μὴν δὲ ἀλλὰ καὶ ἀναφορὰν ποιησάμενοι ἔκ τε αὐτῶν καὶ ἐκ τοῦ ὑπάτου, καὶ νομικὴν ἀπόφασιν ἐδεδώκεσαν ὅτι οἱ Χαμπέσιοι Ἴβηρες Κόπται καὶ Σύροι ὑποκείμενοί εἰσι τοῖς Ῥωμαίοις καὶ ὡς αὐτοὶ ἄρχουσι τῶν ῥηθέντων ἐθνῶν καὶ τῶν τόπων αὐτῶν, καὶ ὅτι τὴν περὶ ταύτης τῆς ὑποθέσεως ἀγωγὴν μηκέτι ἀκούεσθαι, κατὰ δὲ τὸν τοῦ Ὅμερ ἀκτιναμὲν καὶ τὸν τοῦ σουλτὰν Σελήμη ὁρισμὸν ταῦτα πάντα ἐνεργεῖσθαι καὶ τοὺς Ἀρμενίους μηκέτι ἐνοχλεῖν· διατηρεῖται δὲ ἐν ἡμῖν καὶ οὗτος ὁ βασιλικὸς ὁρισμός. Ἔχοντες τοίνυν ἡμεῖς τοὺς διαληφθέντας τούτους βασιλικοὺς ὁρισμούς, οὕσπερ οἱ παρελθόντες βασιλεῖς ἰδιογράφοις σφραγῖσιν ἡμῖν δεδώρηνται, καὶ παντάπασιν ἄδικον ὂν ἀναιρεῖσθαί τε τούτους καὶ μεταβάλλεσθαι, τῶν δὲ Ἀρμενίων ψευδῆ ἀναφορὰν ποιησαμένων καί τινας πεπλασμένας ἀποδείξεις συσκευασάντων καὶ τρόπον τινὰ τῷ τῶν ἐπισκόπων κάλφα ὁμοφωνησάντων· — οὗτος γὰρ ἐναντίον τῆς ἀληθείας τὰς ἐν τῷ

τοῦ Κωνσταντινουπόλεως πατριάρχου τῶν Ῥωμαίων περιεχομένας συνθήκας μπερατίῳ ὁρισμοῦ ἄνευ βασιλικοῦ ἐξαγαγὼν τῷ τῶν Ἀρμενίων μπερατίῳ ἐπέθηκεν, ἐκτὸς δὲ τούτου καὶ τοὺς Ἀβυσινοὺς Κόπτας τε καὶ Σύρους τοὺς ἐν τῷ τοῦ τῶν Ἱεροσολύμων πατριάρχου μπερατίῳ ὑποκειμένους ὄντας, ὡς δῆλον ἔκ τε παλαιῶν καὶ νέων μπερατίων τοῖς Ῥωμαίοις ὑποτελεῖν (δέδωκεν οὗτος ταῖς τῶν Ἀρμενίων χερσὶ σημείωμα ἐκ τοῦ κωδικος διαλαμβάνον ὡς οὐ περιέχεται τοῦτο ἐν τῷ τοῦ τῶν Ῥωμαίων πατριάρχου μπερατίῳ)· ἔτι δὲ ἀπέξεσε τὰ γεγραμμένα σημειώματα ἡμῶν ἐν τοῖς βασιλικοῖς κώδιξι, καὶ ἀντ' αὐτῶν ἄλλα ἐπεκύρωσεν, ὡς οἱ Ἀρμένιοι ἠβούλοντο· καὶ οὕτως ἄνευ εὐθύτητος φασὶ τῇ τοῦ ἁγίου φωτὸς ἡμέρᾳ τὸν τῶν Ἀρμενίων πατριάρχην μετὰ τοῦ πατριάρχου τῶν Ῥωμαίων ἅμα εἰσέρχεσθαι ἐν τῷ ἁγίῳ τάφῳ, τούς τε Χαμπεσίους Κόπτας τε καὶ Σύρους καὶ τὰ τούτων προσκυνήματα ὑποτελῆ εἶναι τοῖς Ἀρμενίοις, τό τε τοῦ ἁγίου Ἰακώβου μοναστήριον ἐν ᾧ περ κατῴκουν ἐνοικίῳ, αὐτῶν εἶναι φασί, καὶ τοιουτοτρόπως ἀδίκως ὁρισμὸν παρέλαβον βασιλικῇ χειρὶ ἐπικεκυρωμένον καὶ παντὶ τῷ γένει ἡμῶν ἀδικία οὐχ ἡ τυχοῦσα ἐγένετο, τῶν τε ὑπαρχόντων βλάβη καὶ τῆς τάξεως ἀνατροπή — καὶ δὴ ὑπὲρ αὐτοῦ τοῦ θείου ὀνόματος καὶ τῆς ζωῆς τῆς πολυχρονίου τοῦ γαληνοτάτου καὶ γενναιοτάτου βασιλέως ἡμῶν δεόμεθα ἔλεος γενέσθαι τοῖς ὑπηκόοις τοῖςδε σοῖς δούλοις, καὶ τὰς ἅσπερ ἔχομεν ἀποδείξεις βασιλικὰς τὰς περὶ τῆς ῥηθείσης ὑποθέσεως διαλαμβανούσας, οὔσας δὲ ταῖς ἡμετέραις χερσίν, ὡς ἁγίας τε καὶ ἀληθεῖς κριθῆναι, τὸ δὲ τοῦ ὁρισμοῦ πεπλασμένον σημείωμα, ὅπερ διὰ ψευδοῦς ἀναφορᾶς ἐξήγαγον οἱ Ἀρμένιοι, ἐξαλειφθῆναι, τὴν δὲ τούτων ἀγωγὴν παντάπασι μὴ εἰσακούεσθαι, ἡμῖν δὲ δοθῆναι καὶ αὖθις ἱερὸν ὁρισμὸν ἰδιογράφῳ βασιλικῷ ἐπικεκυρωμένον. Οὕτω δεόμενοι αἰτοῦμεν τὸν μετὰ δωρεᾶς ὁρισμὸν καὶ τὸ ἔλεος παρὰ τοῦ βασιλικοῦ κράτους καὶ τῆς ὑμετέρας ἐξοχότητος".

42. Καὶ ταῦτα μὲν περιεῖχεν ἡ ἡμετέρα ἀναφορά, ἣν τινα ὁ μέγας ξυνέθετο ἑρμηνεὺς κύριος Ἀλέξανδρος, συνετώτατα ἅμα καὶ ἀληθέστατα· ἅμα γὰρ ἦμεν παρὰ τὸν οἶκον αὐτοῦ ἔχοντες

καὶ τινα ὀθωμανόν· γραμματικὸς δὲ ἦν οὗτος τῷ ἑρμηνεῖ. Ἀνεγίνωσκε δὲ μετὰ πολλῆς σκέψεώς τε καὶ συνέσεως ἕκαστον τῶν βασιλικῶν ὁρισμόν, εἶθ' οὕτως τῷ γραφεῖ ὑπηγόρευεν ἀπὸ πρώτης μέχρις ἐννάτης τῆς νυκτὸς ὥρας. Καὶ οὐ μέχρι τούτου ἠρκέσθη· οὐ γὰρ σοφὸν τὸ μόνῃ τῇ ἰδίᾳ αὐτοῦ συνέσει τὸν ἄνδρα ἐρείδεσθαι, ἀλλὰ καὶ ἄλλοις κριτικωτέροις τε καὶ περὶ τοῦτο δεινοτέροις ἐνδείξασθαι καὶ τὴν τούτων γνώμην λαβεῖν· ἄλλο γὰρ τὸ συνθεῖναι καὶ ἄλλο τὸ συντεθειμένον διορθώσασθαι. Ἐνεδείξατο τοίνυν ταυτηνὶ τὴν ἀναφορὰν τῷ μπεϊλικτζῇ-ἐφέντῃ πρῶτον, ἀνδρὶ σοφῷ καὶ τριβὴν ἔχοντι ταῖς περὶ τὰς κρίσεις καὶ τὸ κράτος ὑποθέσεσιν, ἐν πολλοῖς ἐκ νέου ὑπουργήσαντι ἀξιώμασι, τραφέντι ὁμοῦ καὶ ἐγγηράσαντι — ἵν' οὕτως εἴπω — ἐπὶ τοῖς τοιούτοις. Ταύτην τοίνυν ἰδὼν τὴν ἀναφορὰν καὶ τὸ τῆς συνθέσεως γλαφυρὸν καὶ τὸ κατὰ τάξιν προϊὸν ὑπερηγάσατο. Τούτου δὲ τὴν γνώμην λαβών, τάς τε βασιλικὰς ἀποδείξεις τε καὶ ὁρισμοὺς πάντας ἐνδειξάμενος καὶ ἐπιβεβαιωθεὶς τῷ δικαίῳ καὶ ὅτι γε ἡμετέρα ἐστὶν ἡ νίκη πληροφορηθείς, τῷ ῥηθέντι φιλοδικαίῳ οἰκονόμῳ ὡς πρὸς ἀληθῆ καὶ ἀσφαλῆ βάσανον πάντων ἐφανέρωσε τὴν ἀναφοράν. Ἦν δ' ἐν τούτοις πᾶσι κοπιῶν καὶ τῶν προεστῶν γουνάρεών τις Ζαφείρης καλούμενος, διορισθεὶς ἐπὶ τούτῳ παρὰ παντὸς τοῦ ρουφετίου αὐτῶν ἐπιστάτης· τοῦτο γὰρ τὸ ρουφέτιον ἀνέκαθεν ὑπὲρ τοῦ τῶν Ἱεροσολύμων θρόνου καὶ μέχρις αἵματος ἀγωνίζεται. Οὗτος τοίνυν διά τε τὸν τῆς ἐπιστασίας διορισμὸν καὶ διὰ τὸν τῆς εὐσεβείας διάπυρον ζῆλον νύκτωρ καὶ μεθ' ἡμέραν ἄγων τε καὶ φέρων τὰ γράμματα ἀπὸ τῆς τοῦ ὑπάτου αὐλῆς πρὸς ἡμᾶς, καὶ ἀφ' ἡμῶν αὖθις πρὸς τὴν αὐλήν, πολλάκις τοῖς ἐναντίοις συνεπλέκετο μετὰ πολλοῦ τοῦ ἀγῶνος καὶ τοῦ ζήλου, οὐ μόνον τοῖς Ἀρμενίοις ἀλλὰ καὶ τοῖς ἡμετέροις· ἦσαν γὰρ καί τινες τῶν ἡμετέρων τὰ ἐκείνων πρεσβεύοντες. Τρόπῳ οὖν οὐκ οἶδα τίνι φερόμενοι· ὡς μὲν αὐτοὶ ἔλεγον, τὸ τῆς νίκης ἀμφίβολον δεδιττόμενοι καὶ τὴν ἡμετέραν ἔνδειαν λογιζόμενοι καὶ τὸν ἐκείνοις ἀφειδῶς δαπανώμενον χρυσόν· ὡς δὲ τῇ ἀληθείᾳ ἐδόκει καὶ τοῖς συνετωτέροις ἐκρίνετο, τὸ παλίντροφον τῆς τύχης ὑποτοπάζοντες καὶ τὴν ἰδίαν

σύστασιν προνοούμενοι, χρύσεα οὐ χαλκείων ἀλλὰ τουναντίον ἀνταλλαττόμενοι. Ἐντεῦθεν καὶ χρόνου συνέβη τριβή, ὡς προείρηται.

43. Τέλος δ' οὖν διὰ πολλῶν οὕτω δοκιμασθείσης τῆς ἀναφορᾶς καὶ εὐλόγου κριθείσης, δοθῆναι τῷ ὑπατικῷ ἔδοξε βήματι. Ταύτην τοίνυν λαβόντες ἡμεῖς ἀντιγραφῆναι δεδώκαμεν, καὶ ἀντιγράψαντες τῇ ἱερᾷ συνόδῳ προὐβάλομεν. Ἦν δὲ ἐν τῷ τότε πατριάρχης ὁ ἀπὸ Πάτμου Νεόφυτος, ἀνὴρ ζηλῶ πίστεως τε καὶ ἠθῶν χρηστότητι οὐδενὸς τῶν τότε δεύτερος, ἐξ ἁπαλῶν ὀνύχων τῇ ἐκκλησίᾳ ὑπουργήσας, πρῶτον μὲν Τυρουλώης ἐπίσκοπος, εἶτα μητροπολίτης Καισαρείας τῆς Καππαδοκίας καὶ μετὰ τοῦτο πατριάρχης Κωνσταντινουπόλεως προβιβασθείς, ἅπας καὶ δὶς ἀποποιησάμενος, πλὴν—τῆς θείας προνοίας οὕτως οἰκονομησάσης—ἀποφυγεῖν μὴ δυνάμενος· ὃς καὶ ἐν τῇ παρούσῃ ὑποθέσει προθυμίαν οὐ τὴν τυχοῦσαν κατὰ τὸ ἐφικτὸν ἐνεδείξατο. Μετὰ γὰρ τὸ ἀναγνωσθῆναι τὴν ἀναφορὰν συνοδικῶς ὑπὸ τοῦ γενικοῦ ἑρμηνέως, καὶ πολλῶν περὶ τούτου λόγων προβληθέντων περὶ τῆς εἰς τὸ ὑπατικὸν βῆμα δόσεως, ἔγνωσται μὲν σφραγισθῆναι τῶν τε πατριαρχῶν καὶ ἀρχιερέων ταῖς σφραγῖσι, δοθῆναι δὲ τῷ ὑπάτῳ ὑπό τινων διορισθέντων ἀρχιερέων τε καὶ ἱερέων. Ἐσφραγίσθη τοίνυν ἡ ἀναφορὰ παρὰ πάντων καὶ διωρίσθησαν ἐπὶ τὸ ὑπατικὸν παραγενέσθαι ἐκ μὲν τῆς συνόδου ὁ μητροπολίτης Πισιδίας Κοσμᾶς καί τινες τῶν ἱερομονάχων, ἐξ ἡμῶν δ' ἐγὼ καὶ ὁ Σεβαστείας Ἀβράμιος καί τινες τῶν ἱερομονάχων. Ἀπήλθομεν οὖν καὶ ὥρας μηκέτι οὔσης προσερχόμεθα ἅπαντες ἔν τινι τόπῳ τὴν ἐπὶ τὸ βῆμα τοῦ ὑπάτου ἔξοδον. Ἐν τούτῳ ἐλήλυθε καί τις τῶν τοῦ γενικοῦ ἑρμηνέως δούλων καλῶν με πρὸς αὐτόν· παραγενομένου δέ μου ἀνήλθομεν ἄμφω ἐς τὸ βῆμα. Ἵνα δὲ ἀκώλυτος ᾖ ἡμῖν ἡ προσμονὴ παρὰ τῶν τοῦ βήματος φυλάκων τε καὶ εὐταξιῶν, προσήγαγέ με τῷ τῶν τζαουσίων ἀρχηγῷ καὶ παρέστησε πρὸς οὓς ὑποτονθορύσας· ὁ δὲ τῶν τζαουσίων ἑνὶ παραδοὺς με καθέζεσθαι προσέταξε καὶ οὔστινας βουλοίμην ἀναγαγεῖν ἐπὶ τὸ βῆμα ἤρετο. Καὶ ἀνῆλθον τῇ ἐκείνου κελεύσει πάντες οἱ μετ' ἐμοῦ, πλήν τινων· οὐ γὰρ σύνηθες ὀχλώδες πλῆθος

ἀνιέναι πρὸς τὸ βῆμα. Προσεμένομεν τοίνυν μέχρι τινος καθημενοι, ὁ δὲ τζαούσιος ἐζήτει τὴν ἀναφορὰν λαβεῖν. Ἐγὼ ἐδεδίειν μήπως λαβὼν ἀποδράσει καὶ δοῦναι οὐκ ἤθελον. Τέλος ἀπήλθομεν καὶ αὖθις ἐν τῷ τῶν τζαουσίων προεστῶτι καὶ προσέταξεν αὐτῷ μὴ ἐνοχλεῖν, ἰδία δὲ χειρὶ μόνους ἡμᾶς δοῦναι τὴν ἀναφοράν.

44. Ἐξῆλθε γοῦν καὶ ὁ ὕπατος μετὰ τῆς συνήθους προπομπῆς τε καὶ δορυφορίας, καὶ προφημισθεὶς ὡς ἔθος ἐκάθισεν ἐπὶ τοῦ βήματος τῇ συνήθει τάξει, ὄντων περὶ αὐτὸν τοῦ τε τῆς Πόλεως κριτοῦ τοῦ Γαλατᾶ καὶ Σκούταρι. Πρῶτον τοίνυν αἱ ἐκεῖσε οὖσαι γυναῖκες ἐδεδώκεσαν τὰς ἀναφορὰς αὐτῶν (σύνηθες τὸ τοιοῦτον τοῖς Ὀθωμανοῖς πρώτας τὰς γυναῖκας διδόναι τὰς ἀναφοράς). Δοθεισῶν τοίνυν τῶν γυναικείων ἀναφορῶν καὶ τινων ἄλλων, ἐξήλθομεν καὶ ἡμεῖς μετὰ τοῦ τζαουσίου τοῦ προσταχθέντος σὺν ἡμῖν εἶναι· παρήγγελτο δὲ ἡμῖν τῷ δευτέρῳ τεσκερετζῇ διδόναι τὴν ἀναφοράν, ἐπ' ἀριστερᾶ ἱσταμένῳ τοῦ ὑπάτου· τοῦτο γὰρ παρηγγέλθη λαβεῖν τὴν ἀναφορὰν τῷ τεσκερετζῇ, ὃ δὲ ἀνέγνω ταύτην· μετὰ δὲ τὴν ἀνάγνωσιν ἤρετό με ὁ ὕπατος, εἴ γε ταῦτα τὰ ἐν τῇ ἀναφορᾷ σημειούμενα ἐγένετό ποτε ὑπὸ τοῖς Ἀρμενίοις. Ἀποφαμένου δέ μου καὶ προσλιπαρήσαντος μετὰ δακρύων, εἰπόντος τε ὅτι ἀνέκαθεν μὲν ὑφ' ἡμῖν ἦν, ἐπὶ δὲ τῆς τοῦ Ἀλῆ-πασᾶ ὑπατείας οὐ μόνον τοῦτο ἐπεποιήκεσαν τὸ δεινὸν ἀλλὰ καὶ τὰ ἐν τοῖς βασιλικοῖς κώδιξιν ὄντα ἡμῶν ἀπέξεσαν παλαιὰ σημειώματα, γυμνοὺς ἡμᾶς καὶ κατὰ πάντας ἐρήμους ἀπολιπόντες, "μὴ κλαῖε" ἔφη ὁ ὕπατος· "ἔγνων ἐγὼ σαφῶς τὸ ἀδίκημα καὶ ταῦτα πάντα εὑρήσω, ὑμεῖς δὲ ἡσυχάσατε". Ἔγραψε δὲ ὁ ὕπατος ἐπὶ τῆς ἀναφορᾶς "τῶν δεδομένων ὁρισμῶν ἐξελθεῖν τὴν περίληψιν". Λαβὼν δὲ ὁ τζαούσιος τὴν ἀναφορὰν οὕτως ἐπιγεγραμμένην ἀπῆλθε πρὸς τὸν τῶν ἐπισκόπων κάλφαν ζητήσων τὴν προσταχθεῖσαν τῶν ὁρισμῶν περίληψιν. Ἀναγνοὺς δὲ τὴν ἀναφοράν, εἰδώς τε τὸν παρ' αὐτοῦ γεγονότα δόλον καὶ τὸ ἴδιον ὄνομα ἰδὼν ἐν τῇ ἀναφορᾷ γεγραμμένον, δειλιᾶν ἤρξατο· οὐ γὰρ μικρὸν τοιαῦτα ἐν τοῖς βασιλικοῖς δολιεύεσθαι κώδιξιν. Ἀλλὰ καὶ ὡς ὑπέγραψε μὲν

τὴν ζητηθεῖσαν περίληψιν, καιρὸν δὲ μὴ ἀναμείνας μετεπέμψατο τὸν μητροπολίτην Ἡρακλείας τὸν ἀπὸ Λέρνης Γεράσιμον, μηνύσας αὐτῷ ταχὺ ἐλθεῖν· ἀποθνήσκει γὰρ ἐκ τοῦ περιέχοντος αὐτὸν φόβου. Ἀπῆλθεν οὖν πρὸς αὐτὸν ὁ Ἡρακλείας, ἤρξατο δὲ προσκλαίεσθαί τε καὶ προσλιπαρεῖν ἀκούσιον εἶναι τὸ πρᾶγμα σκηπτόμενος, προστεταγμένου ὄντος αὐτῷ ὑπὸ τοῦ προϋπατεύσαντος τοῦτο ποιῆσαι καὶ τὴν προσταγὴν ἔγγραφον ἔλεγεν ἔχειν. Τούτων τοιγαροῦν οὕτω γεγονότων ἐφεξῆς ἔγνω προσδραμεῖν καὶ τῷ οἰκονόμῳ καὶ ὅσα περ ἔχει δίκαια ἀπαγγεῖλαί τε καὶ δεηθῆναι, δεδιὼς μή τι τῶν ἀτόπων αὐτῷ ἐπιπέσῃ, ἄλλα τε πολλὰ καὶ τὸ βίαιον δικαιολογούμενος. Ἀέρα μέντοι γε δέρων μάτην ἐπόνει παρὰ πάντων διωκόμενος· ἐν τούτῳ δὲ εὗρε καὶ τὸν προρρηθέντα ἐκ γουνάρεων Ζαφείρην, ᾧ καὶ προσεκλαίετο· ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο "τοῦτο ἐπὶ σοὶ κεῖται τοῦ φόβου τε ἐλευθερωθῆναι καὶ ἡμᾶς τοῦ πόνου ἀπαλλάξασθαι, διὰ μόνης ἐξαγωγῆς τε καὶ εἰσαγωγῆς τῶν ὧν παρεχάραξάς τε καὶ ἀπέξεσας σημειωμάτων". Ταῦτα τοίνυν ἀκούσας ἀπῆλθε πρὸς τὸν οἰκονόμον καὶ μόνος ψευδῆ τὰ τῶν Ἀρμενίων πάντα μεμαρτύρηκεν. Ἐξελθὼν δὲ τὴν ἐπὶ τοῦ οἰκονόμου μαρτυρίαν καὶ τοῖς ἡμετέροις ἔφη.

45. Ἐν τούτῳ δὲ καὶ ἄλλας ἐγράψαμεν ἀναφορὰς ὁμοίας τῇ ἐπὶ τοῦ ὑπατικοῦ βήματος δεδομένῃ εἴς τε τὸν σὲχ-ἰσλάμη τοὺς τῆς Ῥούμελης καὶ Ἀνατολῆς κριτὰς καὶ εἰς τὸν τῆς Βασιλευούσης κριτήν. Καὶ τὸν μὲν σὲχ-ἰσλάμη οὐκ οἶδ' ὅπως προκατελάβοντο οἱ Ἀρμένιοι, ὡς μέν τινες λέγουσι χρήμασιν, ὡς δ' ἄλλοι—ὅπερ καὶ βεβαιότερον—διά τινος τῶν οἰκείων φετφὰ-ἐμίνη τὸ ἀξίωμα, τὴν κλῆσιν δὲ Χαλὶλ-ἐφέντη· οὗτος γὰρ ἐπὶ τῇ προτέρᾳ τῶν Ἀρμενίων ἀγωγῇ συνείργησε τὰ μέγιστα τοῖς Ἀρμενίοις· ὅθεν ἐξ ἐκείνου παρεβοήθει τοῖς Ἀρμενίοις. Ἀναφανδὸν μὴ δυνάμενος δὲ ἔπεισε τὸν σὲχ-ἰσλάμη, ἄνδρα πρεσβύτην καὶ τοῖς μέλεσι καὶ ταῖς αἰσθήσεσιν ἀσθενοῦντα, πιστεῦσαι τῶν Ἀρμενίων εἶναι τὸ δίκαιον, ἔτι δὲ καὶ ὅτι περὶ πίστεως (χριστιανῶν) οὔσης τῆς ἀγωγῆς ἀνόσιον εἶναι τοὺς ἐπὶ τηλικούτῳ ἀξιώματι μίγνυσθαι· πάντας γὰρ ὄντας τοῦ αὐτοῦ σεβάσματος, τοὺς αὐτοὺς καὶ

ἐπὶ πᾶσιν εἶναι. Οὕτω τοίνυν πεπεισμένον ὄντα τὸν σὲχ-ἰσλάμη δεινὸν ἦν μεταβαλεῖν· εὕρομεν μέντοι γε τινὰ τῶν οἰκείων αὐτῷ Μπακὶ-ἐφέντην καλούμενον, δι' οὗ τὴν ἀναφορὰν δεδώκαμεν. Ἀναγνωσθείσης δὲ τῆς ἀναφορᾶς οὐδὲν ἄλλο ἀπεκρίνατο εἰμὴ ὅτι "ὑμεῖς τε καὶ οἱ Ἀρμένιοι ἀφότεροι ἓν ἐστὲ καὶ ὑποτελεῖς τῷ βασιλεῖ· πρὸς ἀλλήλους εἰρηνεύσατε". Καὶ παρὰ μὲν τοῦ σὲχ-ἰσλάμη τοιαύτην λαβόντες τὴν ἀπολογίαν ἔγνωμεν προκατειλημμένον εἶναι· κἀκεῖθεν προσδραμεῖν ἔγνωμεν τοῖς κριταῖς Ῥούμελης καὶ Ἀνατολῆς καὶ ἀναφορὰς δοῦναι κἀκείνοις, οὓς καὶ ἀδιαφόρους εὕρομεν, "ὅπου ἂν ᾖ τὸ δίκαιον" εἰπόντες "ἐκεῖ καὶ δοθήσεται". Ὁ δὲ τῆς Βασιλευούσης κριτής, ἅτε νουνεχὴς ἀνὴρ καὶ τὰς φρένας βαθὺς καὶ ἀδωροδόκητος ἐπὶ τῷ δικαίῳ, εὐθὺς μὲν ἀναγνοὺς οὐκ ἐνέδωκεν, ἀλλὰ πρῶτον μὲν ἐνίστατο περὶ τῶν χρόνων τῆς τῶν Ἱεροσολύμων ἁλώσεως καὶ τῆς Μωαμετικῆς φυγῆς καὶ τοῦ Ὅμερ διαχωρισμοῦ· ὡς δὲ καὶ ταῦτα σεσαφήνισταί τε καὶ ἐξευκρίνηται, ἐπὶ τὴν "Ῥωμαῖος" ἀνθίστατο λέξιν· τὴν γὰρ ταύτης παραγωγὴν ἀπὸ τῆς πρεσβυτέρας παρήγαγε Ῥώμης, ἔνθεν τοι καὶ "ἁρμόζειν μάλιστα τοῖς Λατίνοις" ἔλεγε "τὸν τοῦ Ὅμερ ἀκτιναμέν, οὐχὶ δὲ ὑμῖν". Ἐν ταύτῃ δὲ τῇ ἀντιστάσει ὁ προρρηθεὶς μητροπολίτης Ἡρακλείας ἀπεκρίνατο "ταῦτα μὲν ἀληθῆ μέχρι τῆς τοῦ μεγάλου Κωνσταντίνου βασιλείας· ἐν γὰρ τῇ πρεσβυτέρᾳ Ῥώμῃ τότε ἦν τὰ βασίλεια· τοῦ δὲ Κωνσταντίνου ἀπὸ Ῥώμης εἰς Βυζάντιον τὸ βασίλειον μετακομίσαντος καὶ τοῦτο ἐν ἑπτὰ λόφοις ἐκτείναντός τε καὶ τείχεσιν ὀχυροῖς περιφράξαντος, ἐντεῦθεν καὶ τὸ ὄνομα μετενήνεκται μετὰ τοιαύτης μέντοι γε προσθήκης "Νέαν Ῥώμην" καλεῖσθαί τε καὶ φημίζεσθαι καὶ τὰ δευτερεῖα τῆς πρεσβυτέρας ἔχειν Ῥώμης. Ἔκτοτε τοίνυν Ῥωμαίους συνέβη καλεῖσθαι ἡμᾶς καὶ τὸν ἐφ' ἡμᾶς βασιλεύοντα αὐτοκράτορά τε καὶ βασιλέα Ῥωμαίων ἐπιγράφεσθαί τε καὶ ὑπογράφεσθαι". Ἐκ τούτων τοίνυν πληροφορηθεὶς μετὰ προσοχῆς ἀνέγνω τὴν ἀναφορὰν καὶ τὸ δίκαιον γνοὺς ὡς ἐφικτὸν ἐβοήθει ἡμῖν.

46. Ὀλίγων δὲ παρελθουσῶν (ἡμερῶν) συλλογὴν τῶν ἐγκριτων κριτῶν ὁ ὕπατος ποιῆσαι ἐσκέπτετο ἐπὶ τῇ τῆς ὑποθέσεως

ταυτησὶ ἐξετάσει, εἴτε βασιλικῇ ἐπιταγῇ εἴτε καὶ μόνος αὐτὸς ἀποφηνάμενος. Ἔγνωσταί δὲ τοῦτο τοιῶσδε. Οἱ Ἀρμένιοι ἰδόντες ὅτι διὰ χρημάτων οὐδὲν κατορθοῦται, δεῖν ἔγνωσαν δι' ἀναφορᾶς πεῖραν λαβεῖν τῆς τοῦ ὑπάτου γνώμης· ἐδεδώκεσαν δὲ τοιάνδε ἀναφορὰν καθ' ὁδὸν τῷ ὑπάτῳ, ὅτι Ἡμεῖς κριθέντες τε καὶ δικαιωθέντες καὶ βασιλικῷ ἐπιτάγματι ἐπιστηριχθέντες σκοπὸν εἴχομεν διὰ ἱκετηρίου ἀναφορᾶς αἰτῆσαί τινα τῶν βασιλικῶν δούλων ἐπὶ τῷ εἰς Ἱεροσόλυμα ἀπελθεῖν καὶ παραδοῦναι ἡμῖν ὅσα περ τὰ βασιλικὰ διαλαμβάνουσιν ἐπιτάγματα· νῦν δὲ ἠκηκόαμεν ὅτι οἱ Ῥωμαῖοι ἀναφορὰν δεδώκασι καὶ λόγοις ἀπατηλοῖς πεῖσαι ἐπιχειροῦσιν ὑμᾶς καὶ ἀνατρέψαι τὰ καλῶς δεδομένα ἡμῖν. Διὸ δεόμεθα μὴ προσέχειν τοῖς παρ' αὐτῶν λεγομένοις, ἀλλὰ κατὰ τοὺς πρότερον δοθέντας ὁρισμοὺς παρασχεῖν ἡμῖν ἕνα τῶν τῆς βασιλικῆς αὐλῆς δούλων ἐπὶ βεβαιώσει τῶν καλῶς καὶ δικαίως γεγενημένων βασιλικῶν ἀποφάσεων". Ταύτην τοίνυν γεγραφότες τὴν ἀναφορὰν δεδώκασι τῷ ὑπάτῳ ἐξιόντι τοῦ ὑπατικοῦ πλοίου. Λαβὼν δὲ ὁ ὕπατος τὴν ἀναφορὰν καὶ μηδὲ ἀναγνῶναι ἀνασχόμενος ἀπελθὼν εἰς τὸ ὑπατεῖον τῷ οἰκονόμῳ ἀπέστειλεν· ὁ δὲ τὸ μηχάνημα ἐννοήσας τοὺς Ἀρμενίους μετεπέμψατο, καὶ ἱκανῶς ἐλέγξας τε καὶ ἐπιτιμήσας ἀπεπεμψεν ἐπειπὼν "Ὑμεῖς δοκεῖτε μηδεμίαν εἶναι τὴν σκευωρίαν ταυτηνὶ καὶ ἀπάτην, ἣν ὑμεῖς πεποιήκατε. Γινώσκετε οὖν ὡς αὕτη ἡ ὑπόθεσις θεωρητέα ἐστὶ τοῖς τῶν κριτῶν ἐγκρίτοις, οὓς ὑμεῖς οὐκ οἴδατε, ἐπὶ τοῦ ὑπατικοῦ βήματος· οὕτω δεδογμένον τῷ βασιλεῖ. Ἐφησυχάσατε οὖν, ἵνα τὰ χείρω ἀποφύγητε". Ταῦτα τοίνυν ἀκηκοότες οἱ Ἀρμένιοι ἔγνωσαν τὴν δίκην διὰ βασιλικοῦ ὁρισμοῦ ἐκκαλέσασθαι εἰ δυνατὸν ἐπὶ τὸν μουφτήν — τοῦτον γὰρ προκαταλαβόντες ἦσαν, ὡς προδεδήλωται — εἰ δὲ μή, ἐπὶ τὸν τῆς Ῥούμελης κριτήν, ἐλπίζοντες ἐπὶ τὸν τούτου βακιὲ-ἐφέντην Καργὰν-ζαντὲ τουρπίκλην καλούμενον· οὗτος γὰρ ἱκανῶς δεδέκασται ἐπὶ τῇ τοῦ Ἀλῆ-πασᾶ ὑπατείᾳ, ὅτε τοὺς ὁρισμοὺς οἱ Ἀρμένιοι ἐπεποιήκεσαν, καίτοι γε ἀγνοῶν τὸ δίκαιον, μηδενὸς ὄντος τοῦ ἀντικρινομένου. Ἀλλ' οὖν γε εὐθάρρουν ἐπὶ τούτῳ, καίτοι γε ἐν τοιαύτῃ τάξει τῶν κρι-

τῶν ὄντι· τὸ γὰρ τοῦ βακιὲ-ἐφέντη ἀξίωμα παρὰ τοῖς ὀθωμανικοῖς κριταῖς μέγα ἐστίν, ὡς ἐπαναλαμβάνοντος τῶν κρινομένων τὰ δίκαια καὶ ἀποσημειουμένου ὅσα περ ἕκαστος τῶν διαδικαζομένων προφέρει, τούς τε μάρτυρας καὶ τὸν τρόπον τῆς μαρτυρίας αὐτῶν, ἔτι δὲ τὴν τῶν μαρτυρησάντων ἐξέτασιν. Καὶ πάντα τὰ τῇ νομικῇ κρίσει ἀνήκοντα παρ' αὐτοῦ καὶ μόνου σημειοῦνται, καὶ ἐκ τῶν τούτου σημειωμάτων ἡ ἀπόφασις γίνεται.

47. Ἐπὶ τουτωὶ οὖν τῷ κριτηρίῳ ἐκάλουν τὴν δίκην δοκοῦντες, καίτοι γε ἐγνωσμένης οὔσης τῆς δίκης καὶ τῆς ἀληθείας καὶ τῶν ἀντιδικαζομένων παρόντων, αἰδοῖ τῶν προτέρων δικαιῶσαι αὐτοὺς καὶ τὰ ὑπὲρ αὐτῶν εἰπεῖν τε καὶ συμβουλεῦσαι τῷ κριτῇ, πλήν γε ἡμαρτημένως· καὶ οὗτος γὰρ ἀνὴρ ἦν τῶν δικαίων, καὶ εἴ γε ὡς αὐτοὶ ἐνόμιζόν τε καὶ ἔλεγον δεδεκάσθαι, πλὴν ὡς ἀγνοῶν. Σαφοῦς δὲ οὔσης τῆς ὑποθέσεως καὶ τῆς ἀληθείας ἤδη ἀναφανδὸν καὶ πρὸ ὀφθαλμῶν κειμένης, ἐπικαλῦψαί τε καὶ δολιεύσασθαι τῶν ἀδυνατωτάτων ἐτύγχανεν· ἀλλ' οὖν γε ὡς ἀλόγιστοι ὄντες, ἄλλως τε καὶ ἐκ τοῦ μεγέθους τῆς ὑποθέσεως τὰς φρένας παρασαλευθέντες καὶ μηδὲν ἔτι τῶν εἰκότων λογιζόμενοι, δευτέραν ἀναφορὰν δοῦναι ἔγνωσαν τοιάδε περιέχουσαν. «Τῷ προλαβόντι ἔτει δέδοται ἡμῖν παραστήσασιν ἐκ παλαιῶν ἀποδείξεων προνόμιά τινα, ἅπερ ἔσχομεν ἀνέκαθεν· οἱ δὲ Ῥωμαῖοι ἐγκαλοῦσιν ἡμῖν ὡς ἀδικήσασιν αὐτούς, κρυφίως τε καὶ ἄνευ κρίσεως ποιήσασι τὸν ὁρισμόν. Ἔστι δ' οὐχ οὕτως· ἡμεῖς γὰρ ἐν τῷ τότε πάσας τὰς ἀποδείξεις ἡμῶν ἐνεδειξάμεθα τῷ τότε τῆς Ῥούμελης κριτῇ καὶ ἀληθεῖς γνοὺς ἀναφοράν τε καὶ νομικὴν ἐδεδώκει ἀπόφασιν. Ἐπειδὴ δὲ διὰ παραστάσεως ἐν τῇ νομικῇ κρίσει βούλονται θεωρηθῆναι τὸ δίκαιον, κἀν τούτῳ στέργομεν. Δοθήτω τοίνυν, δεόμεθα, ἡμῖν ὁρισμὸς καὶ αὖθις ἐν τῷ νῦν τῆς Ῥούμελης κριτῇ θεωρηθῆναι τὴν ὑπόθεσιν». Ταύτην τοίνυν λαβὼν τὴν ἀναφορὰν ὁ ὕπατος ἐπὶ τοῦ βήματος τῷ ἀρχηγῷ τῶν τζαουσίων παρέδωκε τῷ οἰκονόμῳ ἀγαγεῖν, καὶ ἤγαγεν· ἀναγνοὺς δὲ τὴν ἀναφορὰν ὁ οἰκονόμος καὶ αὖθις μετεπέμψατο τοὺς Ἀρμενίους, καὶ μικρόν τι ἐπιτιμήσας — οὐ γὰρ ὀξὺς πρὸς ὀργήν — ἔφη " οὐκ

εἶπον ἐγὼ ὑμῖν ὅτι αὐτη ἡ κρίσις οὐκ ἔστι τῶν μικρῶν, ὡς ὑμῖν δοκεῖ, καὶ ὅτι ἀπεφάνθη παρὰ τοῦ βασιλεύοντος ἐπὶ τοῦ βήματος παρόντων καὶ τῶν κριτῶν πάντων θεωρηθῆναι τὴν κρίσιν; Τί οὖν ὑμεῖς ἐκκαλεῖτε ταύτην ἐπὶ τὸν τῆς Ῥούμελης κριτήν; Δῆλον ἄρα ἐντεῦθεν ὡς ὑμεῖς ἀδικεῖτε τοὺς Ῥωμαίους· εἰ γὰρ μὴ ἠδικεῖτε, οὐκ ἄν ἐν ἄκροις τόποις τὴν δίκην ἐκκαλεῖτε, δεδογμένου ὄντος ἐπὶ τοῦ βασιλικοῦ βήματος ταύτην θεωρηθῆναι, χρήμασι τὴν κρίσιν δικάσαι τε καὶ διαφθεῖραι νομίσαντες. Οὐκοῦν ἐς τοὐπιὸν ἐφησηχάσατε τὴν κρίσιν προσμένοντες· φυλάττεσθε δὲ μηκέτι ἐνοχλεῖν ἡμῖν δι' ἀναφορῶν, οὐ γὰρ ἔστιν ἄλλως γενέσθαι· ἢν δὲ καὶ νῦν παρακούσητε, ἴστε ὅτι ποινῇ ὑποπεσεῖσθε μὴ προσδοκωμένῃ". Ταῦτα τοίνυν τοῦ οἰκονόμου εἰπόντος ἀπῆλθον λυπούμενοι ἐπὶ τῇ ἀποτυχίᾳ, μήτ' εἰπεῖν μήτε πρᾶξαί τι δυνάμενοι, ἐκτὸς μόνης τῆς εἰς τὸν μουφτὴν προσφυγῆς· ταύτην γὰρ καὶ μόνην ὡς ἱερὰν κατεῖχον ἄγκυραν, ἐλπίζοντες ὡς κωλύσει τὴν δίκην καὶ ἡ πρὸς αὐτόν γε αἰτήσει ἢ πρὸς ἄλλον τινὰ τῶν αὐτοῖς οἰκείων.

48. Ἦλθε τοίνυν ἡ διορισθεῖσα ἡμέρα καὶ τῇ πρὸ τῆσδε ἑσπέρα ἀπῆλθεν ὁ ῥεῖζ-ἐφέντης τὸν μουφτὴν προσκαλέσασθαι ἐπὶ τὸν ὕπατον· ἔθος γὰρ τοῖς Ὀθωμανοῖς τοιῶσδε προσκαλεῖν τὸν μουφτὴν χρείας τυχούσης. Καὶ ἐπὶ τοὺς ἄλλους πάντας κριτὰς οἱ διωρισμένοι ἐπὶ τούτῳ ἀπεστάλησαν ἀπαγγεῖλαί τε καὶ τὴν εἴδησιν παρασχεῖν· πρὸς ἡμᾶς δὲ καὶ πρὸς τοὺς Ἀρμενίους ἀπεστάλη τις τῶν τοῦ οἰκονόμου δούλων εἰπεῖν τὸ προσταχθέν. Ἀπήλθομεν οὖν οἱ πάντες ἑπτά, ὅ τε τῆς Βασιλευούσης πατριάρχης καὶ ὁ δεσπότης ἡμῶν, ἔκ τε τῶν ἀρχιερέων ὁ Ἡρακλείας ὁ Κυζίκου κἀγώ, ἐκ δὲ τῶν ἀρχόντων ὁ γενικὸς ἑρμηνεὺς καὶ ὁ διδάσκαλος καὶ μέγας ἐκκλησιάρχης Κριτίας. Ἀπελθόντες δὲ προσεμένομεν τούς τε Ἀρμενίους ἐλθεῖν καὶ προσταχθῆναι ἐπὶ τὴν δίκην. Ἐν τοσούτῳ ἐλήλυθεν ὁ μουφτὴς μετὰ τῆς συνήθους παρατάξεως ἐπὶ ἁμάξης καθήμενος, καὶ μετ' αὐτὸν οἱ δύο μεγάλοι κριταί, ὁ τῆς Ῥούμελης καὶ Ἀνατολῆς, καὶ μετ' αὐτοὺς ὁ τῆς Βασιλευούσης κριτής. Συναθροισθέντων δὲ προσταγὴ ἐγένετο ἀνελθεῖν ἡμᾶς ἐπὶ τὸ βῆμα. Παρεσκευάσθημεν δὲ προμελετήσαντες τὸν τῆς ὑποθέ-

σεως καρπόν — οὐ γὰρ εθος ἐπὶ τῷ τοῦ ὑπάτου βήματι ἀδολεσχεῖν — ἔχοντες μεθ' ἡμῶν καὶ τὰ ἄπερ ἐξ ἀρχῆς ἐνεδειξάμεθα βασιλικὰ θεσπίσματα. Ἀνελθόντες δὲ ἐκαθέσθημεν ἔξω προσμένοντες τὴν τῆς εἰσόδου ἀπόφασιν. Ἐν τούτῳ δ' ἦλθον καὶ οἱ Ἀρμένιοι ὑπὲρ τοὺς διακοσίους, καίτοι προσταγὴν ἔχοντες μὴ πλείους τῶν ἑπτὰ παραγενέσθαι. Καθεζομένων δὲ ἡμῶν ἔξω ἀπήγγειλαν τῷ ὑπάτῳ τινὲς ὅτι παρεγενόμεθα, καὶ λόγος ἐγίγνετο περὶ ταύτης τῆς ὑποθέσεως, ὅτι δηλαδὴ προσετάγη παρὰ τοῦ βασιλεύοντος ὧδέ πως θεωρῆσαι τὴν διαφοράν· ὁ δὲ μουφτὴς ἀκούσας τε καὶ δεινοποιησάμενος τὴν κρίσιν ἐκώλυσεν ἐπειπών, ὡς μέν τινες λέγουσι, "τί ὅτι τοιαύτη γέγονε συναγωγὴ ὑπὲρ Ῥωμαίων τε καὶ Ἀρμενίων; οὐκ ἔρκει εἰς κριτὴς περὶ τούτων δικάσαι"; Ἐδόκει δ' ἐκ τούτου πρὸς αὐτὸν τὴν δίκην αἰτεῖν, ὡς προκατειλημμένος. Τέλος δ' οὖν εἰσεκλήθημεν, ἵνα μὴ δόξωσιν εἰς τὸ φανερὸν διὰ τῆς αἰτίας τῆσδε τὴν δίκην παραλύοντες. Εἰσελθόντες δὲ εὕρομεν τὸν τῶν τζαουσίων ἀρχηγὸν ἔξω καθήμενον, ὃν τῇ συνήθει προσηγορίᾳ καὶ τῷ τοῦ κρασπέδου ἀσπασμῷ προσαγορεύσαντες ἐπυθόμεθα περὶ τῆς εἰς τὸν ὕπατον εἰσόδου· ὁ δὲ ἔφη ἡμῖν ὅτι "σήμερον οὐκ ἔστι δίκης καιρός· ὁ γὰρ γαληνότατος ἡμῶν βασιλεὺς ἐς ἱππασίαν ἐξῆλθεν· ἔνθεν τοι καὶ οὐ πρὸς καιροῦ ἐστι τῷ ὑπερτάτῳ ὑπάτῳ δικάσαι ὑμᾶς· μείνατε οὖν· ἐπὰν δὲ καιρὸς ᾖ, μεταπεμψόμεθα ὑμᾶς".

49. Ταύτην τοίνυν λαβόντες τὴν ἀπολογίαν ἡμεῖς μὲν ἐξήλθομεν λυπούμενοι, οἱ δὲ Ἀρμένιοι γαυριῶντες καὶ μεγαλαυχούμενοι καὶ πολλὰς ὕβρεις κατὰ τῶν ἡμετέρων χριστιανῶν ἐπισωρεύοντες, παροξύνοντες αὐτοὺς ὁμόσε χωρῆσαι ἐπὶ μέγιστα προϊόντας. Καὶ ταῦτα πεποίηκε πάντα ὁ μουφτὴς εἰρηνεῦσαι βουλόμενος ἀμφοτέρας τὰς φυλάς, μηδὲν εἶναι οἰόμενος τὴν ἐν τῷ μεταξὺ διαφοράν. Παρερχομένων δὲ τῶν ἡμερῶν καὶ τῆς ὑποθέσεως ἀμετακλήτου μενούσης, ἐπὶ μέγα προὐχώρει τὸ σκάνδαλον. Καὶ δὴ ἐφ' ἡμᾶς ἅπαν τὸ πλῆθος ὁρμῆσαν μετ' ὀργῆς ἐζήτει τὴν ἀναφοράν, ἣν τῷ ὑπάτῳ ἐδεδώκειμεν, ὅπως αὐτὴν ἀντιγράψαντες παράσχωσι τῷ βασιλεῖ. Ἡμεῖς δὲ τήν τε ὁρμὴν ἐπικίνδυνον ὁρῶντες, πλὴν ἀλλὰ

καὶ τὸν ὄχλον ἐπιβοώμενόν τε καὶ κραυγάζοντα, δεδώκαμεν τὴν ἀναφορὰν Θεῷ ἀναθέντες πάσας τὰς ἐλπίδας ἡμῶν· ἦν γὰρ οὐ μικρὸν τὸ τόλμημα διὰ ταῦτα τὰ αἴτια. Πρῶτον μὲν ὅτι οὐ δι' ἀδείας ἦν τῶν κρατούντων, οὐδὲ δυνατὸν ἦν ταυτηνὶ ἀπαιτῆσαι τὴν ἄδειαν· δεύτερον δὲ ὅτι τολμηρὸν οὕτως ἐπὶ τῷ βασιλεῖ ἐξελθεῖν καὶ προσκαλύσασθαι περὶ ὧν αὐτὸς ἐδεδώκει ἀπατηθείς, καὶ τρίτον ὅτι προλαβὼν προσταγὴν σφοδρὰν ἐποιήσατο ὁ βασιλεὺς κωλύουσαν τὰς δι' ὄχλου διδομένας ἀναφοράς. Ταῦτα τοίνυν οὐ μικρὸν ἐνεποίει ἡμῖν τὸν φόβον, καὶ τὴν ὁρμὴν κωλῦσαι προεθυμούμεθα. Ἀλλ' ἐπειδὴ ἀκατάσχετον τὸ πλῆθος, — προβαλλομένων γὰρ ἡμῶν τὰ τοιαῦτα ἀντέλεγον ὅτι "ἡμεῖς οὐκ ἐπί τινα ἀποστάτην προσκαλοῦμεθα ἀπερχόμεθα ἀλλὰ πρὸς αὐτὸν ἡμῶν τὸν βασιλέα τὸν δίκην πατρὸς φιλοῦντά τε καὶ περιθάλποντα τὸ ὑπήκοον· εἰ δ' οὐκ ἐᾶτε ἡμᾶς, καθ' ὑμῶν δώσομεν ἀναφορὰν τῷ βασιλεῖ· ταῦτα δ' οὖν ἀκούοντες καὶ ἄκοντες παρητησάμεθα σαλεύοντες ἐπὶ τρισὶν ἐλπίσιν, ὅτι οὐκ ἐξ ἡμετέρας ἀδείας καὶ ὅτι προλαβόντες ἀνηγγείλαμεν τῷ ἀρχιευνούχῳ δι' ἀναφορᾶς τὸ ἡμέτερον δίκαιον καὶ τῷ τοῦ βασιλέως σπαθαρίῳ τῷ μετὰ ταῦτα ὑπάρχῳ γεγονότι, ἀνδράσιν ἀμφοτέροις ἀδωροδοκήτοις νουνεχέσι τε καὶ ἐπὶ τοῖς βασιλικοῖς γεγηρακόσιν ἀξιώμασι, πρὸ πάντων δὲ καὶ ὑπὲρ πάντας τῷ τοῦ δικαίου προασπιστῇ τε καὶ τῆς ἀληθείας συνηγόρῳ οἰκονόμῳ Χαλισσᾷ. Ἐλογιζόμεθα δ' οὕτως, ὡς εἰ μὲν ὁ βασιλεὺς ὀργισθῇ ἐπὶ τῇ τοῦ πλήθους συναγωγῇ, ἔχομεν τὴν ἀλήθειαν συνηγοροῦσαν ὡς οὐ δι' ἀδείας ἡμῶν συνελέγησαν καὶ οὐκ ἐάσουσιν ἡμᾶς κατακριθῆναι· εἰ δέ γε ὁ ὕπατος ὀργισθεὶς ὡς περιφρονηθείς, οἶδε καλῶς ὁ οἰκονόμος τὸ τοῦ πλήθους ὁρμητικὸν ὡς συνετώτατος καὶ τὸ ἐκ τῆς ἀδικίας ἄλγος, ἔνθεν τοι καὶ δυσωπήσει ἄρα τὸν ὕπατον. Ἐπὶ τούτοις οὖν ἡμεῖς παρεμυθούμεθα.

50. Λαβόντες δὲ οἱ χριστιανοὶ τὴν ἀναφορὰν ἀντέγραψαν δι' ἐπιτηδείου γραφέως, τίτλους τε βασιλικοὺς προσθέντες καὶ ἄλλα ὅσα ἀναγκαῖα· ἡ δὲ τῆς ἀναφορᾶς ὑπόθεσις ὁμοία ἦν τῇ προγεγραμμένῃ, ἣν ἐπὶ τοῦ ὑπάτου δεδώκαμεν. Ἔγραψαν δὲ καὶ ἄλλην ἀναφορὰν τῷ ὑπάτῳ δεόμενοι καὶ προσκλαιόμενοι περὶ τῆς

ἀναβολῆς, ἔτι δὲ καὶ ἀναμιμνήσκοντες τῆς προ ταύτης δοθείσης ἀναφορᾶς, καὶ ἄλλην ὁμοίαν τῷ οἰκονόμῳ δεόμενοι καὶ αὐτοῦ ἐπὶ τῷ δικαίῳ παραστῆναι. Ταύτας τοίνυν τὰς ἀναφορὰς ὡς εἰκὸς παρασκευάσαντες εἰς τρία διένειμαν· ἄλλοι μὲν κατέσχον τὴν τοῦ βασιλέως, ἄλλοι δὲ τὴν τοῦ ὑπάτου καὶ ἄλλοι τὴν τοῦ οἰκονόμου. Ἦλθεν οὖν ἡ ῥητὴ — αὕτη δὲ ἦν παρασκευὴ — ἐν ᾗ ἔδει δοθῆναι τὴν ἀναφορὰν ἐξερχομένῳ τῷ βασιλεῖ μετὰ τῆς μεγαλοπρεποῦς τε καὶ βασιλικῆς προπομπῆς καὶ ἀπερχομένῳ ἐπὶ τῷ προσκυνῆσαι εἰς τὸ τοῦ σουλτὰν Μπαγιαζίτη τζαμίον. Συνηθροίσθησαν τοίνυν ἅπαντες ἐπὶ τὴν τοῦ βασιλικοῦ παλατίου Σιδηρᾶν καλουμένην Πύλην καθ' ἣν ἐξελθεῖν διώρισται τῷ βασιλεῖ· διῃρέθησαν δ' ἐς ἑκατέρων τῶν μερῶν πλῆθος τοσοῦτον ὥστε μικράν τινα καὶ στενὴν ὁδὸν παρασχεῖν τῷ βασιλεῖ. Ἐν τούτῳ γοῦν προσεδράμομεν ἡμεῖς τῷ ἑρμηνεῖ ἀπαγγελοῦντες τὰ τῆς ὁρμῆς τοῦ πλήθους καὶ τῆς ἀναφορᾶς τὴν δόσιν, ὁ δὲ παραυτίκα ἀκούσας ὁρμαῖος παραγέγονε τῷ οἰκονόμῳ ἀπαγγεῖλαι τὴν ἔφοδον· ὁ δὲ οἰκονόμος ἀκούσας καὶ μηδὲν διαταραχθεὶς παρεμύθησεν ἡμᾶς. Ἐν τούτῳ γοῦν ἐξῆλθεν ὁ βασιλεὺς ἀπὸ τῆς προρρηθείσης πύλης καὶ τὸ πλῆθος ἅπαν διαφημίσαν ὡς ἔθος τὸν βασιλεύοντα παρέσχον τὴν ἀναφορὰν μετὰ δακρύων δεηθέντες τοῦ κράτους αὐτοῦ θεωρῆσαι τὰ ἐν τῇ ἀναφορᾷ γεγραμμένα. Ἔλαβε δὲ ταύτην ὁ παριστάμενος τῷ βασιλεῖ τζοχαδάρης καὶ οὕτως ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸ τοῦ σουλτὰν Μπαγιαζίτη τζαμίον. Ἐντεῦθεν τὸ πλῆθος διεσκεδάννυτο ἐπὶ τὰς τοῦ ὑπάτου πύλας ἀπερχόμενον· μήπω δὲ διασκεδασθέντος ἀφίκετο καὶ ἡ τοῦ ὑπάτου δορυφορία· ἔμελλε γὰρ καὶ ὁ ὕπατος ἐκ τῆς αὐτῆς διαβῆναι καὶ ὁ οἰκονόμος, ἐπὶ τὴν ἁγίαν Σοφίαν προσκυνῆσαι ἀπερχόμενοι. Ἐτάχθησαν οὖν καὶ αὖθις ὡς καὶ πρῶτον οἱ χριστιανοί, καὶ μετὰ δακρύων ἐδεδώκεσαν καὶ τῷ ὑπάτῳ ἀναφορὰν ὡς προδεδήλωται ἀναμιμνήσκοντες ὡς ἐν συντόμῳ τὴν προδοθεῖσαν ἀναφοράν· μετὰ δὲ τὸν ὕπατον διῆλθε καὶ ὁ οἰκονόμος μετ' εὐμενείας ὁρῶν τὸ ὑπήκοον· ἐδεδώκεσαν δὲ καὶ αὐτῷ τὴν ἀναφοράν· ἀλλ' οὐκ ἔλαβε μὲν τὴν τῶν ἀνθρώπων γλωσσαλγίαν ἀποφεύγων ὡς συνετώτατος, πλὴν μετὰ γαλη-

νιαίας φωνῆς καὶ προσώπου εὐμενοῦς τε καὶ ἱλαροῦ ἐνδεικνύων τὴν ἣν ἔχει περὶ τὸ δίκαιον προθυμίαν ἀπεκρίνατο "ἱκανὸν εἶναι" εἰπὼν "τὸ τῷ κυρίῳ ἡμῶν δεδομένον". Διελθόντων δὲ πάντων, διεσκεδάσθη τὸ πλῆθος καὶ προσέμενε τὴν ἀπολογίαν.

51. Ἐπανακάμψαντα δὲ τὸν βασιλέα λέγεται ἀναγνῶναι τὴν ἀναφορὰν καὶ ὀργισθῆναι ἐπὶ τῷ ἀτοπήματι καὶ κελεῦσαι τὸν ὕπατον ἀγαγεῖν ὡς αὐτὸν ἀμφοτέρων τῶν φυλῶν τὰ θεσπίσματα· καὶ ἤγαγεν ἐσφραγισμένα· ἦν δὲ καὶ ὁ μουφτὴς ἅμα τῷ ὑπάτῳ τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ᾗ τὰ θεσπίσματα ἤγοντο, ἅτινα εἴτε ὑπὸ τοῦ βασιλεύοντος ἀνεγνώσθησαν εἴτε μὴ οὐκ ἔχω τἀληθὲς εἰπεῖν. Τέλος δὲ τῇ ἐπιούσῃ μετεκλήθημεν παρὰ τοῦ ὑπάτου ἡμεῖς τε καὶ οἱ Ἀρμένιοι· ἀπελθόντες δὲ ἀνήλθομεν ἔνθα ὁ ὕπατος μετὰ τοῦ μουφτῆ ἐκάθητο. Καὶ προσκυνησάντων ἡμῶν μετ' ὀργῆς προσποιούμενος τοιάδε ἤρξατο πρὸς ἡμᾶς λέγειν· "Ὑμεῖς, ὦ Ῥωμαῖοι, ὑπόκεισθε τῷ βασιλεῖ ἢ τῶν ἀνυποτάκτων ἐστέ"; Ὑπολαβὼν δὲ ὁ πατριάρχης ἔφη "ἡμεῖς ἀνέκαθεν βασιλέως δοῦλοι ἐσμὲν καὶ ἐπὶ τούτῳ αὐχοῦμεν"·—"ἀλλ' ἐπεὶ βασιλέως" ἔφη "δοῦλοι ἐστὲ καὶ ὑπήκοοι, τί ὅτι βασιλικῆς οὔσης ἀποφάσεως τὸ μὴ διὰ πλήθους διδόναι ἀναφορὰς ὑμεῖς παρηκούσατε καὶ μετὰ τοσαύτης ὁρμῆς τε καὶ πλήθους ἐξήλθετε ὡς τὸν βασιλέα; τί δὲ ζητεῖτε καὶ περὶ τίνος ὑμῶν ἡ ἀγωγή"; Ὑπολαβὼν δὲ ὁ τῆς Βασιλευούσης πατριάρχης ἔφη "ὑμεῖς μέν, ὦ ὕπατε, περὶ τῆς τοῦ πλήθους πρὸς τὸν βασιλέα ἐξορμήσεως οὐδεμίαν ἔσχομεν κοινωνίαν, καὶ πολλὰ ἀγωνισάμενοι ἐπὶ τῷ τὴν ὁρμὴν κατασχεῖν οὐκ ἠδυνήθημεν, τόν τε κίνδυνον προειπόντες καὶ τὴν προσταγὴν δηλώσαντες· ἀλλ' ἐκεῖνοι ὡς δοῦλοι πρὸς δεσπότην τὴν οἰκείαν ὀδύνην τε καὶ τὴν κοινὴν πρὸς πάντας γεγονυῖαν ὕβριν ἀναγαγεῖν παρεθάρρησαν, τῇ τε αὐτῶν εὐπαθεῖ δουλείᾳ καὶ τῇ τοῦ βασιλεύοντος καλοκἀγαθίᾳ τὸ πᾶν ἐξαρτήσαντες. Ἦν δὲ πρὸς ἡμᾶς ἐπιρρίπτης τὸ ἔγκλημα, ἡμεῖς τὸ μηδὲν εἰδέναι ἐπιβεβαιούμεθά τε καὶ μαρτυρόμεθα· ἡ δὲ ἀγωγὴ ἡμῶν καὶ διὰ κοινῆς ἀναφορᾶς προδεδήλωταί σοι, καὶ νῦν αὖθις λέγομεν ὡς καὶ κινεῖται ἡ τοιαύτη ἀγωγὴ ἐξ αἰτίας τοῦ μετ' ἀπάτης δοθέντος βασιλικοῦ θεσπίσματος, τοσούτοις ἀρχαίοις βασιλικοῖς ὁρισμοῖς ἀντιλέγοντος".

52. Ἐν τούτῳ θρασύς τις καὶ τολμηρὸς καὶ αὐθάδης Ἀρμένιος Μουράτογλους καλούμενος μετ' αὐθαδείας καὶ μεγάλης φωνῆς πρὸς τὸν ὕπατον ἔφη "ἀδικοῦσιν ἡμᾶς, ὦ ὕπατε, οἱ Ῥωμαῖοι ἀποσπᾶσαι ζητοῦντες τὸ ὑπὲρ πρὸ διακοσίων ἐτῶν ἔχομεν μοναστήριον". Καὶ ἄλλα πλείω τούτων εἰπεῖν προθυμούμενος ἀπεκόπη τοῦ λέγειν· ὀργισθεὶς γὰρ ὁ ὕπατος ἔφη αὐτῷ "σὺ τίς εἶ ὁ ταῦτα πρός με διαλεγόμενος; ἡμεῖς τοὺς ἱερωμένους ὑμῶν ἐρωτῶμεν περὶ ταυτησὶ τῆς ὑποθέσεως, σὺ δὲ μὴ τῆς τοιαύτης τάξεως ὢν τί ἀποκρίνῃ"; Ὑπολαβὼν δὲ ὁ Ἀρμένιος ἔφη "διὰ τὸ μὴ εἰδέναι τὸν βαρταμπέτην ἡμῶν τουρκιστὶ λαλεῖν ἑρμηνέως τόπον λαβὼν ἐγὼ μεθερμηνεύω τὰ ἅπερ ἐκεῖνος ἀρμενιστὶ διαλέγεται".— "Καὶ πῶς ἐστι τοῦτο" ἔφη ὁ ὕπατος "Ἀρμένιόν τε εἶναι καὶ βαρταμπέτην καὶ τὴν ἡμετέραν μὴ εἰδέναι διάλεκτον; πεφίμωσο τοίνυν· ἐπειδὰν δὲ σέ τις εἴρηται, τηνικαῦτα ἀπολογοῦ". Ἐπιστραφεὶς δὲ πρὸς ἡμᾶς ἔφη "ἀπελθόντες ἡσυχάσατε μεθ' ὧν ἕκαστος ἔχει ὁρίων καὶ προνομίων κατὰ τὴν πάλαι παράδοσιν". Καὶ μετὰ τούτους τοὺς λόγους πρὸς τὸν μουφτὴν ἔφη "οὐκ εἶπον καλῶς, ὦ δέσποτα, ἡσυχάσαι διακελευσάμενος τὰ ἔθνη πρὸς ἄλληλα κατὰ τὴν ἀνέκαθεν ἐπικρατήσασαν συνήθειαν";—"Καὶ μάλα καλῶς" ἀπεκρίνατο ὁ μουφτής· "ἔστι γάρ τι καὶ νομικὸν πρόσταγμα ἀραβιστὶ οὕτως ἀποφαινόμενον, κιρύφουρ μιλὲν-σὺλ-κιρύλι βάχατ" (ὅπερ ἑξελληνιζόμενον σημαίνει ὡς τὰ ἀλλόφυλα ἔθνη πάντα ἓν εἰσι)· "κατὰ τὸ ἀνέκαθεν τοίνυν ἔθος ἐπικρατείτωσαν καὶ εἰρηνευέτωσαν". Μετὰ τοιᾶσδε οὖν μηχανῆς καὶ νομικὴν ἀπόφασιν ἐξ αὐτοῦ παρελάβετο· τὸ γὰρ τῷ μουφτῇ δόξαν ἐν παντὶ κριτηρίῳ ἐστὶν ἀμετάτρεπτον, φετιφὰς δὲ τοῦτο ὀθωμανιστὶ καλεῖται. Μετὰ δὲ τοῦτο ἔφη "ταῦτα δι' εἰδήσεώς σου ἐγένετο ἢ οὔ". Τοῦ δὲ ἀποφαμένου "ἀλλ ἐγὼ" ἔφη "οὐκ ἄνευ ἐρεύνης ἐάσω τὰ μὴ διὰ κρίσεως καὶ τῆς σῆς εἰδήσεως γεγονότα· μέμφομαι γὰρ ἐγὼ τὰ κρυφῇ γινόμενα· διὰ ταῦτα καὶ σαφεστάτως καὶ ὡς ἔνι γε τοῖς πᾶσι γνωριμωτάτην ποιήσω τὴν περὶ τούτου ἔρευναν καὶ ἀπόφασιν". Ἀπερχομένων δὲ ἡμῶν ἐπιστραφεὶς ἔφη ὁ ὕπατος "ἡσυχάσατε, ἀναφορῶν ἀπέχετε· εἰ δὲ μή, ἥ ἂν ὥρα ἀκούσω δο-

θεῖσαν ἀναφοράν, ὑμᾶς μὲν ἐν ἐξορίᾳ καταδικάσω, τοὺς δὲ παρασχόντας ὁποίους ποτ' ἂν ὦσιν ἀποκτενῶ. Ἀκούσατε δ' οὖν καὶ τοῦτο, ὡς ἡ τοιαύτη ἀγωγὴ διὰ χρημάτων οὐ πληροῦται ἀλλὰ διὰ μόνης καὶ μιᾶς τῆς δικαίας κρίσεως. Ἀπέλθετε οὖν εἰς τὰ οἰκήματα ὑμῶν, τὰ δὲ γράμματα ἐσφραγισμένα κεῖνται παρὰ τῷ ῥεῖζ-ἐφέντῃ καὶ ἐξ ἐκείνου λήψεσθε· καὶ ἐς τοὐπιὸν ὥσπερ καὶ πρότερον διήγετε, οὕτω διάγετε· ἀπέλθετε οὖν".

53. Ἐξελθόντων τοίνυν ἡμῶν ἀχώρητοί τε καὶ ἀφόρητοι ἦσαν οἱ Ἀρμένιοι· ἔνθους τε περιῆγον καὶ ὅσα περ κατ' ὄναρ ἑώρων, ὡς ἀληθῆ ἐπίστευόν τε καὶ διεκήρυττον· ἀνὰ πάσας γὰρ τὰς ἀγυιὰς καὶ τοὺς στενωποὺς ὅπου ἂν εἴη Ἀρμένιος διεφήμιζον ὡς ὁ βαρταμπέτης αὐτῶν χλαμύδα τε ἐνεδύσατο καὶ μετὰ προπομπῆς νικητής τε καὶ τροπαιοῦχος ἐξῆλθεν, ἠνώχλουν τε καὶ καθύβριζον τοὺς ἡμετέρους χριστιανοὺς ὡς ἀπερριμμένους τε καὶ νενικημένους. Καὶ οὐ μόνον τοῦτο ἀλλὰ καὶ τοῖς ἐπὶ τὴν ἀκολουθίαν τὴν ἐκκλησιαστικὴν καλοῦσι παρήγγειλαν εὐφράσυνον παρέχειν ἀγγελίαν, ὡς νενικήκασι τοὺς Ῥωμαίους, καὶ ἄλλους λήρους πολλοὺς νύκτωρ τε καὶ μεθ' ἡμέραν διαφημίζοντες. Ἡμεῖς δὲ καίτοι ἐπὶ τῇ τοῦ ὑπάτου μετ' ὀργῆς διαλέξει λελυπήμεθα, ἀλλ' οὖν γε καὶ τὴν τῶν λόγων ἔννοιαν εἰς νοῦν θέμενοι εἴχομέν τινα ὑπόλοιπον ἐλπίδα. Καὶ ταῦτα μὲν διεκήρυττον οἱ Ἀρμένιοι, ἀλλ' οὐκ εἰς μακρὰν χαρῆναί τε καὶ κατεπεμβῆναι ἡμῶν εἴασε τὸ θεῖον· οὐ γὰρ δύο ὥραι παρῆλθον καὶ τὸν Σεχπόζην κελεύσει τοῦ ὑπάτου συνέλαβεν ὁ καλαοὺς-τζαούσης μετὰ τῶν περὶ αὐτόν, καὶ πρὸς τὸν ἀρχηγὸν τῶν τζαουσίων ἀπαγαγὼν οὐδὲ τὴν ὄψιν τοῦ ὑπάτου ἰδόντα παρέδωκε τῷ δεσμοφύλακι· οὕτω ὑπὸ τοῦ ὑπάτου προστεταγμένον· ὁ δὲ δεσμοφύλαξ τῷ ξύλῳ τοὺς πόδας ἐνέβαλε καὶ πρηνῆ τῇ γῇ ἐστρεβλώσατο, μηδὲν εἰδότα περὶ ταυτησὶ τῆς παιδείας· πανταχόσε γὰρ ἀνεκίνει τὸν νοῦν, ἀλλ' οὖν οὐδὲν ἀληθὲς μαθεῖν ἠδυνήθη. Τοῦτο τοίνυν μαθόντες οἱ Ἀρμένιοι παλινῳδίαν ἦδον· καὶ τὸν γέλωτα δακρύοις ἀνταλλάξαντες καὶ τὴν χαρὰν λύπῃ, ἀλλά γε διὰ τὴν ἄγνοιαν ἑαυτοὺς παρεμύθουν· συνέβη γάρ τι καὶ ἕτερον τῶν ἀτοπημάτων, ὅπερ τῆς φυλακῆς αἴτιον ἀπε-

φαίνοντο καὶ τὰ νικητήρια ὡς καὶ αὖθις ἑαυτοῖς προσεποιοῦντο· ἀλλ' ἦσαν, ὡς ἡ παροιμία φησίν, καὶ γέλωτες δακρύοις παρεικάζοντες καὶ χαρᾷ λύπη· ἐγέλων γὰρ ὅσον τῇ τῆς ὄψεως ἐμφανείᾳ, τῇ δὲ καρδίᾳ ἤχθοντό τε καὶ ἐπωδύροντο. Ἵνα δὲ τἀληθὲς μάθωσι, τὸν ἀδελφὸν τοῦ Σεχπόζη πρὸς τὸν τοῦ ὑπάτου οἰκονόμον πυθέσθαι τὴν αἰτίαν ἀπέπεμψαν, καὶ μετὰ δακρύων πολλῶν δεομένῳ τε καὶ πυθομένῳ μὴ εἰδέναι τὴν αἰτίαν ἔφη ὁ οἰκονόμος· ὁ δὲ καὶ αὖθις ἀνερόμενος "ὕπαγε" ἔφη "πρὸς τὸν ὕπατον καὶ τοῦτον ἐρώτησον". Ἀπερχόμενον δὲ ὡς ἔοικε καὶ αὐτὸς ὁ ὕπατος τὴν αἰτίαν ἀγνοεῖν προσποιούμενος παρὰ τοῦ ἰδίου ἀδελφοῦ τὴν αἰτίαν μαθεῖν δέσμιον ἀπέπεμψεν· οἱ δὲ Ἀρμένιοι καὶ τοῦτον κατασχεθέντα μαθόντες, θορύβου πολλοῦ ἐνεπλήσθησαν καὶ πρὸς τοὺς ὑπερασπιστὰς αὐτῶν ἔδραμον μαθεῖν τὴν αἰτίαν βουλόμενοι καὶ ἤν γε ἐξελέσθαι δυνηθῶσι. Ἦν δὲ καθεύδων ἐν τοῖς δεσμοῖς ὁ πρὸ ὀλίγου ἔφιππος καὶ βαρὺ τὰς ἀγυιὰς σοβῶν Σεχπόζης μετὰ τοσούτων δούλων δορυφορούμενος, τότε δὲ ἄπορος καὶ μηδένα περὶ αὐτὸν ἔχων εἰμή γε μόνον τὸν ἀδελφὸν καὶ τοῦτον ἐν τοῖς αὐτοῖς δεσμοῖς, τόν τε κίνδυνον τῆς ἰδίας ζωῆς καὶ τὴν τῶν ὑπαρχόντων αὐτοῦ δήμευσιν προορώμενος.

54. Ὀλίγῳ δὲ ὕστερον μετεπέμψατο ἡμᾶς τε καὶ τοὺς Ἀρμενίους ὁ ὕπατος· ἦμεν δὲ ἐκ τοῦ ἡμετέρου μέρους οἱ πάντες τρεῖς, ὁ τῆς Βασιλευούσης πατριάρχης, ὁ μέγας ἑρμηνεὺς κἀγώ, ὁ δ' ἡμέτερος δεσπότης ἐπὶ τὴν ἐκκλησίαν κατελθὼν προσηύχετο καὶ μετὰ δακρύων προσελιπάρει (τὸ θεῖον) μὴ κατησχυμένους ἐᾶσαι ἡμᾶς. Ἐκ δὲ τῶν Ἀρμενίων ἦσαν βαρταμπέται δύο, ὅ τε ἐν Βασιλευούσῃ διατελῶν Ὀβανέζης καὶ ὁ προρρηθεὶς Γιακούπης, ἀνὴρ δαιμονιώδης φρενόληπτός τε καὶ κατὰ πάντα ἐμμανής. Εἰσήλθομεν οὖν εἰς τὸν ὕπατον· εἱστήκεισαν δὲ ἐπὶ ποδὸς ἔμπροσθεν τοῦ ὑπάτου ὁ οἰκονόμος ὁ ρεΐζ-ἐφέντης καὶ ὁ τῶν τζαουσίων ἀρχηγός. Εἰσελθόντες δὲ ἔστημεν ἡμεῖς μὲν ἐπὶ τὰ δεξιά, ἐπὶ τὰ ἀριστερὰ δὲ οἱ Ἀρμένιοι· ἀνακύψας δὲ τοὺς ὀφθαλμοὺς ὁ ὕπατος καὶ ἰδὼν ἡμᾶς καὶ δριμύ τε καὶ βλοσυρὸν πρὸς τοὺς Ἀρμενίους ἐπιβλέψας ἔφη "τὸ βασιλικὸν θέσπισμα, ὅπερ ἐπὶ τῶν τοῦ Ἀλῆ-

πασᾶ ἡμερῶν ἐλάβετε, μετὰ κρίσεως ἐγεγόνει· καὶ τῶνδε ἀποκριθέντων "οὐχί", "ἐπεὶ τοίνυν" ἔφη ὁ ὕπατος "ἄνευ κρίσεως ἐγεγόνει τὸ θέσπισμα καὶ δι' ἀπάτης, διὰ ταύτης τῆς βασιλικῆς ἀποφάσεως ἀπαιτεῖ ὁ γαληνότατος ἡμῶν βασιλεὺς ὅπερ ἐδεδώκει θέσπισμα". Ἐξήγαγεν οὖν ἐκ τῶν κόλπων αὐτοῦ ὁ ὕπατος τὴν βασιλικὴν ἀπόφασιν καὶ ἀνέγνω· ἦν δὲ ἡ περίληψις αὐτῆς τοιάδε· "τὸ δι' ἀπάτης καὶ δυνάμει χρημάτων δοθὲν τοῖς Ἀρμενίοις θέσπισμα ἄκυρον μενέτω καὶ πρὸς ἡμᾶς περφθήτω". Εἶχε δὲ καὶ ἄλλα τινὰ γεγραμμένα, ἀλλὰ ταῦτα οὐκ ἀνέγνω ὁ ὕπατος. Ἐζήτει οὖν ἐκ τοῦ βαρταμπέτη τὸ θέσπισμα· ὁ δὲ ὑπολαβὼν ἔφη μὴ εἶναι ὧδε, προεπέμφθη δὲ ἐν Ἱεροσολύμοις διὰ τὸ εἶναι ἐκεῖσε ἀναγκαῖον. Πρὸς ταῦτα ὁ ὕπατος ὑπολαβὼν ἔφη "ἐπειδὴ τοίνυν ὑμεῖς φατὲ ὡς ἐν Ἱεροσολύμοις ἐπέμψατε τὸν βασιλικὸν ὁρισμόν, ἀποφαινόμεθα ἴδιον ἀποστεῖλαι ἄνθρωπον ἐκεῖσε ἀπελθεῖν καὶ λαβεῖν διὰ βασιλικῆς ἐπιταγῆς· διορίσατε τοίνυν καὶ ὑμεῖς ἕνα ἐκ τῶν ὑμετέρων συναπελθεῖν αὐτῷ καὶ παραδοῦναι εἰς χεῖρας αὐτοῦ τὸ ὅπερ ὁ βασιλεὺς ἡμῶν ἀπεφήνατο". Πρὸς ταῦτα ὁ πατριάρχης ὑπολαβὼν ἔφη "καὶ ταῦτα, ὦ ὕπατε, ψευδός ἐστιν· οὗτοι γὰρ ἐνταῦθα τοὺς ὁρισμοὺς κατέχοντες διὰ τὸ τριβὴν δοῦναι τοῦ χρόνου ἐν Ἱεροσολύμοις εἶναι λέγουσιν"· ἔφη δὲ καὶ ὁ οἰκονόμος "σκέψασθε ὅπως μὴ ἐνταῦθα εὑρεθῇ καὶ τότε αὐτοὶ γνώσεσθε τὸ συμβησόμενον". Τούτων δὲ πληρωθέντων τῶν λόγων, ἐπιστραφεὶς ἔφη ὁ ὕπατος "λάβετε τοίνυν ἕκαστος ὑμῶν τὰ ὑμέτερα γράμματα καὶ ἀπελθόντες ἐφησυχάσατε, τὴν τοῦ διορισθέντος ἀνθρώπου προσμένοντες ἔλευσιν". Προσῆλθον δὲ ἐγὼ τῷ ὑπάτῳ καὶ τὸ κράσπεδον αὐτοῦ ἀσπασάμενος ἔλαβον τὰ ἡμέτερα γράμματα· προσελθόντος δὲ καὶ τοῦ βαρταμπέτου λαβεῖν, ὁ ὕπατος λύσας τὸ σακκούλιον, ἐν ᾧ ἦν τὰ γράμματα αὐτῶν, τὸ ἀντίγραφον τοῦ ἀκυρωθέντος κατέσχεν ὁρισμοῦ, τὰ δὲ λοιπὰ δοὺς ἡσυχίαν εἰς τὸ ἑξῆς ἡμῖν προσετάξατο. Ἐν τούτῳ ἔφη ὁ βαρταμπέτης "ἐπειδὴ οὕτως δέδοκται τῷ βασιλεῖ τὰ δοθέντα γράμματα ληφθῆναι καὶ ἀκυρωθῆναι, κἂν τῆς μεταξὺ ἡμῶν ἀρχαίας συνηθείας δηλωτικὴ γενέσθω ἐκ τῆς κρίσεως ἀπόδειξις πρὸς διάγνωσιν τῶν ἡμετέρων

πραγμάτων". Καὶ ὁ ὕπατος ἔφη "ἐφ' ὑμῖν τοῦτο κεῖται"· ὑπολαβὼν δὲ ἐγὼ ἔφην "οὐδεμία ἐστὶν ἐν ἡμῖν ἐξουσία περὶ τῶν ὑπὸ τοῦ βασιλικοῦ ἐλέους δωρηθέντων ἡμῖν συμφωνεῖν τε καὶ συντίθεσθαι". Καὶ πάλιν τὴν αὐτὴν ἀπολογίαν δέδωκεν ὁ ὕπατος, ὅτι "ἐφ' ὑμῖν τοῦτο κεῖται".

55. Πολυχρονησάντων δὲ ἡμῶν τὸν βασιλέα καὶ τὸν ὕπατον καὶ ἐξελθόντων τῆς ὑπατικῆς αὐλῆς μετ' εὐφροσύνης, τῶν δὲ Ἀρμενίων μετὰ λύπης καὶ κατηφείας, προσετάγη ὁ ῥεῖζ-ἐφέντης ὁρισμὸν γράψαι πρὸς τὸν τῆς Δαμασκοῦ ἡγεμόνα καὶ πρὸς τὸν τῆς Ἱερουσαλὴμ κριτὴν ἐπὶ τῷ λαβεῖν παρὰ τῶν Ἀρμενίων τὸν βασιλικὸν ὁρισμὸν καὶ τὰ ἐν τῷ κώδικι τῆς κρίσεως ἀποσχίσαι σημειώματα καὶ ἐσφραγισμένα ἀποστεῖλαι ἐνταῦθα· διώρισται δὲ παραγενέσθαι τὸν τοῦ ὑπάτου πρῶτον τζοχαντάρην Χαλὶλ-ἀγᾶν καλούμενον. Ἦν δὲ τοῦ ὁρισμοῦ ἡ περίληψις τοιάδε. "Ἔνταλμα τῷ τῆς Δαμασκοῦ ἡγεμόνι Σουλεϊμὰν-πασᾶ καὶ τῷ κριτῇ τῆς Ἱερουσαλὴμ καὶ τῆς Δαμασκοῦ"· μετὰ τοὺς συνήθεις τίτλους τῶν ἡγεμόνων καὶ τῶν κριτῶν διαλαμβάνει ὡς "ἔθος ἐπεκράτησε τοὺς Ῥωμαίους καὶ Ἀρμενίους κινεῖσθαι κατὰ τὴν θρησκείαν αὐτῶν, ὡς ἀνέκαθεν εὑρέθησαν. Οἱ Ἀρμένιοι μέντοι γε εἴς τινας συνθήκας τῆς ἀρχαίας αὐτῶν συνηθείας ἀδικεῖν ἔδοξαν τοὺς Ῥωμαίους καὶ ἐν ἔτει ,αρμζ' (1734) τῇ ς' τοῦ Τζουμαζιελαχὶρ σελήνης ὁρισμόν τινα ἐξέλαβον ἐκ τοῦ κώδικος τῶν ἐπισκόπων περιέχοντα τὴν τῶν Ἀβυσινῶν Κοπτῶν καὶ Σύρων ὑπόθεσιν, τῆς τε τοῦ ἁγίου Ἰακώβου ἐκκλησίας (δεσπόζεσθαι) καὶ τὴν εἴσοδον πρὸς τὸν τάφον τοῦ Χριστοῦ τῇ τοῦ μεγάλου σαββάτου ἡμέρᾳ ἅμα εἰσέρχεσθαι τόν τε τῶν Ἀρμενίων πατριάρχην καὶ τῶν Ῥωμαίων. Ἐπὶ τούτου δὲ τοῦ ὁρισμοῦ ἐγένετο αἰτία τῆς πρὸς ἄλληλα τῶν δύο γενῶν ἔριδος· τοῦτο δὲ ἀπεμφαῖνον δόξαν τῇ ἡμετέρᾳ βασιλείᾳ, ἀπὸ τοῦ τῶν Ἀρμενίων πατριάρχου τοῦ ἐνταῦθα ἐνδημοῦντος ἐζητήθη τὸ τοῖς Ἀρμενίοις δοθὲν θέσπισμα τὸ ὂν γεγραμμένον ἐν τῷ διαληφθέντι ἔτει, ἵνα ἀπὸ τοῦ προειρημένου κώδικος ἐξαλειφθῇ ἐκ μέρους τοῦ βασιλικοῦ μου κριτηρίου· ὁ δὲ πατριάρχης τῶν Ἀρμενίων ἀπεκρίνατο ὅτι ἐν Ἱεροσολύμοις τοῦτο ἀπέ-

στειλε καὶ ἐκεῖσε ἐστί. Τούτου χάριν ἵνα μηκέτι αὕτη ἡ διαφορὰ θεωρῆται, ἀπεφηνάμην ὡς τόν τε διαληφθέντα ὁρισμὸν καὶ τὰς σελίδας τὰς ἐν τῷ κώδικι τοῦ κριτηρίου τῆς Ἱερουσαλὴμ σημειωθείσας ἐξαλειφομένας πάντα ὁμοῦ ἐσφραγισμένα πεμφθῆναι τῇ ἡμετέρᾳ βασιλείᾳ. Ἔνθεν τοι τὸ κράτος ἡμῶν διὰ τοῦ παρόντος τζοχανταρίου Χαλὶλ-ἀγᾶ τοῦ ἐπιστάτου ταχθέντος εἰς ταυτηνὶ τὴν ὑπόθεσιν, ζητεῖ ὡς τὸν ἄνωθεν ὁρισμὸν καὶ τὰ ἐν τῷ κριτηρίῳ τῆς Ἱερουσαλὴμ γεγονότα σημειώματα μετὰ τὸ ἐξαλειφθῆναι ἐν σακκέλλῃ βληθέντα καὶ σφραγισθέντα τῷ κράτει τῆς ἡμετέρας βασιλείας ἀποσταλῆναι. Ὅθεν σὺ ὁ τῆς Δαμασκοῦ ἡγεμὼν μετὰ ταύτης μου τῆς προσταγῆς διώρισον περὶ ταύτης τῆς ὑποθέσεως ἄνδρα ἐκ τῆς αὐλῆς σου πιστὸν ἐπὶ τῷ ἀπελθεῖν ἐν Ἱεροσολύμοις καὶ σὺ δὲ ὁ τῆς Ἱερουσαλὴμ κριτὴς λάβε τὸν διαληφθέντα ὁρισμὸν ἀπὸ τοῦ πατριάρχου τῶν Ἀρμενίων τοῦ εἰς τὰ αὐτόσε ὄντος καὶ τὰ τοῦ ῥηθέντος ὁρισμοῦ σημειώματα, ἅπερ ἐγράψησαν ἐν τῷ ὑμετέρῳ κώδικι, ἐξάλειψον καὶ ἀπόσπασον· τὸν δὲ τοῦ ὑμετέρου ἡγεμόνος (ἄνθρωπον) ἀγαγεῖν ταῦτα πρὸς αὐτόν, τὸν δὲ ἡγεμόνα εἰς σακκέλην βαλόντα καὶ σφραγίσαντα ἀποπέμψαι ἡμῖν ἐν τῇ βασιλικῇ αὐλῇ μετὰ τοῦ ῥηθέντος τζοχανταρίου ἡμῶν καὶ λίαν ἐπιμεληθῆναι τοσοῦτον ἐπὶ τῷ λαβεῖν τὸν ὁρισμὸν ὅσον καὶ ἐπὶ τῷ ἐξαλεῖψαι καὶ ἀποσπᾶσαι τὰ ἐν τῷ κώδικι τοῦ κριτοῦ σημειώματα, εἰς τοσοῦτον ὅσον οὐδὲ στοιχεῖον ἓν τοῦ σημειώματος μεῖναι ἐν τῷ κώδικι, καὶ ταῦτα πάντα ἐσφραγισμένα πέμψαι τῷ ῥηθέντι τῆς Δαμασκοῦ ἡγεμόνι· ἐν ταύτῃ δὲ τῇ ὑποθέσει μηδεμία γνωσθήτω ἀντίστασις, ἀλλὰ βοήθεια καὶ ἐπὶ τὸ κρεῖττον προχώρησις. Βουλομένης δὲ τῆς βασιλείας ἡμῶν μὴ μεῖναι ἀτελῆ τὴν περὶ τούτου ὑπόθεσιν, ἀλλὰ κατὰ πάντα τετελειωμένην εἶναι, γράφομεν καὶ πρὸς σὲ τὸν τῆς τῶν Δαμασκηνῶν πόλεως κριτήν, ἵνα ἐρευνήσῃς ἀκριβῶς ἐν τῷ σῷ κώδικι καὶ εἰ μὲν ἐν αὐτῷ εὑρεθείη τῷ τόπῳ ποίησον ἀναφορὰν τῷ ἡγεμόνι ὅπως μετὰ ἀκριβείας καὶ ἐπιμελείας ἐξαλείψῃς τὰ εὑρεθησόμενα σημειώματα καὶ ἀποδῶς τῷ ῥηθέντι ἡγεμόνι, ὁ δὲ ἡγεμὼν ταῦτα λαβὼν καὶ σφραγίσας ἀποδότω τῷ ἡμετέρῳ τζοχανταρίῳ ἐπὶ τῷ πρὸς ἡμᾶς ἀγαγεῖν.

Καὶ ἐν τούτῳ γενέσθω προσοχή τε καὶ φροντίς, ὑποταττομένων πάντων τῷδε τῷ ἡμετέρῳ βασιλικῷ σημείῳ".

56. Ἡμερῶν δὲ τριῶν ἢ τεσσάρων παρελθουσῶν συνέβη παραλυθῆναι τὸν ὕπατον Ἰσμαὴλ-πασᾶν τῆς ἀρχῆς μετ' ὀργῆς καὶ ἀποβαλεῖν τὰ ὅσα περ εἶχε συνηθροισμένα ἐξ αὐτῆς αὐτοῦ τῆς νεότητος, δι' αἰτίας ἅσπερ οἴδασιν οἱ ἐν ἀξιώμασιν ὄντες· ἐξώσθη δὲ εἰς νῆσον Χίον καὶ ἀντ' αὐτοῦ προεβιβάσθη βασιλικῇ διαγνώσει εἰς τὸ τῆς ὑπατείας ἀξίωμα ὁ νῦν ὑπέρτατος ὕπατος Μεεμὲτ-πασᾶς, καὶ τοῦτο λύπην ἡμῖν ἐδεδώκει, χαρὰν δὲ τοῖς Ἀρμενίοις· ἡμῖν μὲν λύπην διὰ τὸ τὸν Ἰσμαὴλ-πασᾶν ἀρχὴν γενέσθαι τῆς ἡμετέρας ὑποθέσεως καὶ ἐπὶ τοσούτῳ προαγαγεῖν, τοῖς δὲ Ἀρμενίοις χαράν, ὅτι οὐ τὸ δίκαιον ἐνόμιζον προασπιζόμενον ἀλλὰ τὸν ὕπατον. Καὶ ἐν ταύτῃ τῇ νυκτὶ καθ' ἣν ὁ Ἰσμαὴλ-πασᾶς παρελύθη τῆς ἀρχῆς ἐν εὐθυμίαις ἦσαν οἱ Ἀρμένιοι, κώμους τε παντοίους καὶ παννυχίδας ἐποίουν, ὄργανά τε προσεκαλοῦντο καὶ τραγῳδίας συνετίθεντο, καὶ ὅλως ἦν πανευφρόσυνοι μεταβολὴν τῆς ὑποθέσεως εἶναι τὸ πρᾶγμα ἡγούμενοι· ἐντεῦθεν καὶ προεμαντεύοντο προασπιστῶν αὐτῶν ὑπατείας, διὰ τὸ τὸν νῦν ὑπέρτατον ὕπατον ἐν ἐπιτρόπου ἔτι τάξει ὄντα καὶ μηκέτι τὴν βασιλικὴν ἐγχειρισθέντα σφραγῖδα· καὶ τὰς προρρήσεις καὶ προμαντεύσεις αὐτῶν ἀληθεῖς εἶναι ἡγούμενοι ἔχαιρόν τε καὶ ἐχόρευον, καὶ συμπόσια παντοδαπὰ εἶδεν ἡ νὺξ ὅσα μεθ' ἡμέραν δεσμά τε καὶ κολαστήρια· οὔπω γὰρ ἡμέρα ἦν καὶ ἐπὶ τὸν τοῦ Μουράτογλου οἶκον ἀποσταλέντες τζαούσιοι τῆς αὐλῆς ἐκεῖνον μὲν οὐχ εὗρον, τὸν τούτου δὲ υἱὸν εὑρόντες τῷ δεσμοφύλακι παρεδεδώκεσαν καὶ κολάζειν προὔτρεψαν ἐφ' ᾧ μαρτυρῆσαι ποῦ ἐστιν ὁ αὐτοῦ πατήρ. Ἡμέρας τοίνυν γενομένης, κεκρεπαληκότες ἐξ οἴνου καὶ τοῦ ὕπνου ἐξεγερθέντες οἱ Ἀρμένιοι ἔμαθον τὴν τοῦ Μουράτογλου ζήτησιν καὶ τὴν τοῦ παιδὸς φυλακήν· ἔνθεν τοι τὰς νυκτερινὰς εὐωχίας εἰς θρήνους παρηλλάξαντο· οὕτως ἄρα τὸ τῶν φρενῶν ἐλλιπὲς χαίρειν τοῖς ἀνοήτοις παρέχει, λυπεῖσθαι δὲ τῷ μεμετρημένῳ καὶ σταθμίῳ.

57. Ὁ δὲ παῖς τὰς βασάνους ἰδὼν μηχανήν τινα ἐσκέψατο

ἐπὶ τῷ τὴν τιμωρίαν ἀποφυγεῖν καὶ τοιάδε φησὶ τῷ δεσμοφύλακι· "ἐμὲ μέν, ὦ δεσμοφύλαξ, ἀνέγκλητόν τε ὄντα καὶ μηδεμιᾶς μετεχοντα τῶν πεπραγμένων κοινωνίας κολάζειν καὶ πρὸς Θεὸν καὶ ἀνθρώπους ἴσως ἄδικον καὶ ἀνόσιον· οἷόν γὰρ ἀντὶ πατρὸς κολάζει ἀθέμιτον· εἰ δὲ τὸν ἐμὸν πατέρα βούλει μαρτυρῆσαι, πέμψατε μετ' ἐμοῦ τοὺς συλληψομένους, κἀγὼ ἐπιδείξω ὑμῖν τὸν ἐμὸν πατέρα". Ἀπέδωκαν οὖν τῷ παιδὶ τινὰς τῶν τῆς βασιλικῆς αὐλῆς δούλων συναπελθεῖν, καὶ δείξαντα τὸν παῖδα τὸν πατέρα αὐτοῦ τὸν μὲν ἀφεῖναι τὸν δὲ συλλαβεῖν. Ἀπῆλθον οὖν· ὁ δὲ παῖς πονηρὸς ὢν μέχρι μέν τινος συναπῆλθε τοῖς μετ' αὐτοῦ συμπορευομένοις ἀνδράσιν· ἐπεὶ δὲ εἴς τινα οἶκον εἰσῆλθεν ἔνθα αὐτὸς ἔλεγεν εἶναι τὸν πατέρα αὐτοῦ, εἰδὼς καὶ πρότερον δύο θύρας τὸν οἶκον ἔχοντα, ἔδειξε κλίμακά τινα καὶ οἰκίσκον εἰσελθεῖν καὶ λαβεῖν τὸν πατέρα αὐτοῦ· ὃ δὲ διὰ τῆς ἄλλης τῆς ἀγνοουμένης θύρας ἐκβὰς ἀπέδρα. Οἱ δὲ τῆς αὐλῆς ἄνθρωποι μή τε τὸν πατέρα εὑρόντες καὶ τὸν υἱὸν ἀπολέσαντες ἀπῆλθον κενοὶ καὶ τῆς ἰδίας ἀπάτης διηγοῦντο τὸ μηχάνημα. Μετὰ δὲ ταῦτα προσταγὴ σφοδρὰ δέδοται τῷ στρατοπεδάρχῃ — τοῦτο δέ ἐστι γιαννιτζάραγας — δι' ἐγγράφου σημειώματος ἐπὶ τῷ ἐρευνῆσαί τε καὶ εὑρεῖν τόν τε Μουράτογλουν καὶ ἄλλους τινὰς τῶν Ἀρμενίων· καὶ πολλοὺς οἴκους μεγιστάνων τε καὶ ἄλλων κατέδραμον ἐπὶ τῷ εὑρεῖν, ἀλλ' οὐκ ἀπέτυχον. Τέλος δ' οὖν ἐπί τινα οἶκον ἐκ προδοσίας παραγενόμενοι εὗρον κεκρυμμένους τούς τε δύο υἱοὺς τοῦ Μουράτογλου καὶ ἄλλους τινὰς τῶν Ἀρμενίων, καὶ ντερντέρην ἕνα διδασκάλου ἔχοντα τάξιν, ὃν καὶ πρεσβύτερον καλοῦσι. Τούτους πάντας λαβόντες ἤγαγον τῷ δεσμωτηρίῳ καὶ δεσμεύσαντες ἐκόλαζον ὡς εἰκὸς ἐπί τε τῷ τεχνάσματι ὁμοῦ καὶ τῇ τοῦ πατρὸς φυγῇ. Καὶ τοῦτο μὲν μέχρι τινος ἐγίγνετο, μὴ φέρων δὲ ἔτι ὁ Μουράτογλους τὴν τῶν παίδων τιμωρίαν ὀλίγων μόνος τε ἀπῆλθε καὶ παρέστη τῷ οἰκονόμῳ· ὁ δὲ τοῦτον ἑωρακὼς "πῶς μέν" ἔφη "ἐνταῦθα παραγέγονας σύ; τί δὲ καὶ τοσοῦτον ἐκρύπτου χρόνον; ποῦ δ' ἂν καὶ ἀποδράσειας ὑπὸ βασιλικῆς χειρὸς ζητούμενος; τί δὲ καὶ ἐλήλυθας ἅπαξ ἀποδράς;" — "Ἐγὼ μέν" ἔφη ὁ Μουράτογλους δεδιὼς ἀπέδρασα, νῦν δὲ τοὺς

παῖδας ἀκούων τιμωρουμένους κατώδυνος γεγονὼς ἦλθον μετὰ δακρύων προσπίπτων τοῖς σοῖς ποσὶ ἀπαιτῆσαι τὴν τῶν παίδων ἐλευθερίαν". Ὁ δὲ οἰκονόμος "σὺ μὲν καλῶς ποιῶν" ἔφη "ἐλήλυθας ὧδε, τοὺς ἀνεγκλήτους δὲ καὶ ἀμετόχους τῶν κακῶν παῖδας ἐλευθερώσω. Ἄρατε τοίνυν τοῦτον καὶ ἐς τὸ ξύλον ἐμβαλόντες τοὺς παῖδας ἀπελθεῖν ἐάσατε". Καὶ παραχρῆμα τοὺς μὲν παῖδας εἴασαν, τὸν δὲ τῷ ξύλῳ ἐστρεβλώσαντο.

58. Καὶ ταῦτα μὲν μέχρι τινὸς γεγόνασι. οἱ δὲ καὶ ἄκοντες ἦσαν φέροντες τὴν τιμωρίαν καὶ πολλὰ καθυποσχόμενοι ὑπὲρ τῆς σωτηρίας αὐτῶν· ἦν γὰρ δεδομένη ἡ τοῦ θανάτου ψῆφος. Συνέβη μὲν οὖν λυτρωθῆναι καὶ τούτους αἰτίᾳ τοιᾷδε. Μέλλων λαβεῖν τὴν βασιλικὴν σφραγῖδα ὁ νῦν ὕπατος Μεχμὲτ-πασᾶς, ἀνὴρ εὐσπλαγχνίας πλήρης καὶ ἐπὶ τῷ ἐλεεῖν μᾶλλον ἢ ἐπὶ τῷ δικαιοῦν δεδομένος, ζήτησιν ἐπεποιήκει τῷ βασιλεύοντι ἄδειαν αὐτῷ παρασχεῖν ἐφ' ᾧ πάντας τοὺς ἐπὶ θανάτῳ ἢ ἄλλῃ τινὶ καταδεδικασμένους αἰτίᾳ ἐλευθερῶσαι καὶ τῶν δεσμῶν ἐξαγαγεῖν. Ἐν τούτῳ τοίνυν συνέβη καὶ τοὺς Ἀρμενίους ἐξελθεῖν τῶν δεσμῶν, ἐπὶ θανάτῳ δεσμίους ὄντας. Καὶ μετὰ τῆς σφραγῖδος ἐξελθόντος τοῦ ὑπάτου πᾶσαι αἱ τῶν δημοσίων φυλακῶν πύλαι ἠνεῴχθησαν, ἐξῆλθόν τε οἱ δέσμιοι καὶ ἐλυτροῦντο τοῦ κινδύνου. Ἀλλ' οὐκ εἴασε κἀν τούτῳ ἀπρονόητον τὸ πρᾶγμα ὁ οἰκονόμος· μεταπεμψάμενος γὰρ τοὺς ἐν δεσμοῖς ὄντας Ἀρμενίους τοιάδε πρὸς αὐτοὺς ἔφη· "Ἐπειδὴ τοίνυν ὁ ὑπέρτατος ὕπατος καὶ δεσπότης ἡμῶν σήμερον τὴν βασιλικὴν σφραγῖδα ἐγχειρισθεὶς πάντας τοὺς ἐπὶ θανάτῳ καταδεδικασμένους ἠλευθέρωσε, καὶ ὑμεῖς ἐπὶ τούτῳ δέσμιοι ὄντες συναπηλλάγητε, ὁρᾶτε τοίνυν μή τι ἐς τοὐπίσω καὶ αὖθις ἐπιχειρήσητε· τοὐντεῦθεν γὰρ θάνατος ἀπροφασίστως ὑμῖν ἐπίκειται. Ἀπελθόντες οὖν ἐφησυχάσατε τοῖς οἴκοις ὑμῶν, μηδὲν περὶ τῆς τῶν Ἱεροσολύμων ὑποθέσεως μήτε αὐτοὶ διαλεγόμενοι μήτε ἄλλων ἀκούοντες ἀνεχόμενοι· εἰ γὰρ τοιοῦτόν τι ἐπὶ τὴν ὑμετέραν ἔλθῃ ἀκοήν, καὶ τοὺς τάφους ὑμῶν προπαρασκευάσατε". Ἀπῆλθον οὖν οὗτοι ἀνελπίστως λυτρωθέντες ἐπὶ τοῖς οἴκοις αὐτῶν, τρόπῳ μὲν ἐμφανεῖ τοιῷδε· εἰ δὲ καί τις ἐστὶν ἄλλος ἀπορ-

ρητότερος, ὅπως ἂν ἑκάστῳ δόξῃ κρινέσθω τε καὶ ἐξεταζέτω· ἡμεῖς μὲν γὰρ τὰ μᾶλλον σαφῆ ἐς ταυτηνὶ τὴν συγγραφὴν διηγησάμεθα.

59. Ἀλλ' ἐπανέλθωμεν ἐφ' ὅπερ τὴν ἀρχὴν κατελίπομεν τῆς ὑποθέσεως. Παραλυθέντος τοίνυν τῆς ὑπατείας τοῦ Ἰσμαὴλ-πασᾶ, σκεψάμενος συνετώτατά τε καὶ ὀρθώτατα ὁ τῆς ἡμετέρας ἀληθείας προασπιστὴς οἰκονόμος ἔγνω καὶ διὰ δευτέρου τῆς βασιλικῆς αὐλῆς ἀνθρώπου ἐπιβεβαιῶσαι τὰ πρότερον ἐπὶ τοῦ Ἰσμαὴλ-πασᾶ γεγονότα καὶ διὰ νέου ὁρισμοῦ ἀπαιτῆσαι καὶ αὖθις ὅσα περ ἀπῃτοῦντο καὶ παρὰ τοῦ προρρηθέντος τοῦ ὑπάτου τζοχανταρίου· ἐσκέπτετο γὰρ ὡς ἐὰν τὸν ὕπατον παραλυθέντα τῆς ἀρχῆς μάθωσιν ἐν Ἱεροσολύμοις, τόν τε τῆς Δαμασκοῦ ἡγεμόνα ἐνδέχεται ἀναβολὴν διδόναι τῷ πράγματι, τούς τε Ἀρμενίους ἀντιστῆναι τῇ προσταγῇ καὶ αὐτὸν τὸν τζοχαντάρην ἀποδρᾶναι μαθόντα τὴν τοῦ ἰδίου δεσπότου παράλυσιν, δεινόν τι ἐπισυμβησόμενον δεδιότα. Ἀπέστειλε τοίνυν ἕνα τῶν οἰκείων αὐτοῦ δι' ἰδίας ἐπιστολῆς πρὸς τὸν ἡγεμόνα μετὰ καὶ βασιλικοῦ ὁρισμοῦ διακελεύοντος ὅπου ἂν καταλάβῃ τὸν προαποσταλέντα τζοχαντάρην Χαλὴλ-ἀγᾶν κατασχεῖν καὶ λαβεῖν παρ' αὐτοῦ τόν τε ὁρισμὸν καὶ ὅσα ἄλλα περιέφερε γράμματα, καὶ τοῦτον ἀπελθόντα ἐν Ἱεροσολύμοις ἐκτελέσαι τὰ καὶ τῷ προτέρῳ προσταχθέντα. Ἐξῆλθεν οὖν καὶ οὗτος τῆς πόλεως τῇ ις' τοῦ δεκεμβρίου μετὰ ἵππων ὁρμαίων—μενζίλια δὲ ταῦτα καλοῦσιν οἱ Ὀθωμανοί—καὶ ἀφίκετο εἰς Δαμασκόν· κἀκεῖθεν δὲ ἀπελθὼν δέδωκε τὰς ἐπιστολὰς τῷ ἡγεμόνι. Ὁ δὲ ἡγεμὼν παραχρῆμα ἀποστείλας ἐπανακάμψαι τὴν τζοχαντάρην ἐποιήσατο. Ἦν δὲ ἐκεῖ καὶ ὁ τῶν Ἱεροσολύμων νέος κριτής, πρὸς ὃν καὶ διηλέχθη ὁ ἡγεμὼν τὰς τῆς βασιλείας ἀποφάσεις, καὶ προσέταξεν ἀπελθόντα τελέσαι μετὰ προθυμίας ὅσα περ ἐν τῷ βασιλικῷ ὁρισμῷ προστάττονται. Ἐν τούτῳ δὲ ἀφίκετο ἐν Ἱεροσολύμοις καὶ ὁ παρὰ τῶν Ἀρμενίων ἀποσταλεὶς ταχυδρόμος καὶ δέδωκεν αὐτοῖς εἴδησιν περὶ τῆς ἀγωγῆς, μηδὲν ἄλλο εἰδὼς ἢ ὅτι εἰσήλθομεν ἐν τῷ βασιλικῷ βήματι ἐγκαλοῦντες αὐτοὺς ἀδικοῦντάς τε καὶ ψευδομένους καὶ τὸν βασιλέα αὐτὸν ἀπα-

τήσαντας, καὶ τινα ἐξ αὐτῶν βοήθειαν ἀπήτει· οἱ δὲ μηδὲν ἄλλο βοηθῆσαι αὐτοῖς δυνάμενοι ἐπὶ τὸν πρώην κριτὴν τῆς Ἱερουσαλὴμ προσδραμόντες καὶ χρημάτων πληρώσαντες μαρτυρίαν ἐξ αὐτοῦ ἔλαβον ὡς τό τε τοῦ ἁγίου Ἰακώβου μοναστήριον, οἵ τε Σύροι Ἀβυσινοί τε καὶ Κόπται καὶ τὰ τούτων ὑπάρχοντα, τό τε ἅμα εἰσιέναι τοῖς Ῥωμαίοις τῇ τοῦ μεγάλου σαββάτου ἡμέρᾳ, ἀνέκαθεν ἐστι καὶ ἀρχαῖον, ἔκ τε τῶν ἐγχωρίων ἐσφραγισμένην λαβόντες ἀπόδειξιν τὰς σφραγῖδας ὠνησάμενοι, ἃς μὲν διακοσίων ἃς δὲ πλειόνων, ἔτι δ' ἃς καὶ μικρῷ ὀλιγωτέρῳ ἀργυρίῳ. Ἐσφραγίσαντο δὲ ταύτην τὴν ἀναφορὰν πλείω ἢ διακοσίαις σφραγῖσιν. Ἔτι δὲ σφραγιζομένης ὤφθη μετὰ τοῦ νέου κριτοῦ καὶ ὁ ἀποσταλεὶς τῆς αὐλῆς ἄνθρωπος φέρων τὴν βασιλικὴν ἀπόφασιν. Ἐν τεῦθεν καὶ αἱ μαρτυρίαι κεκώλυνται καὶ αἱ ἀποδείξεις ἀργαὶ κατεσχέθησαν· μόνα τὰ διασκεδασθέντα τοῖς Ἄραψιν ἀργύρια ἐνεργὰ καὶ τῇ πενίᾳ αὐτῶν παραμύθια· ἀργυρίοις γὰρ οἱ Ἄραβες πάντα πιπράσκουσιν, ἔθους ὄντος τούτου ἀρχαίου τοῖς τὴν Ἰουδαίαν οἰκοῦσιν. Ἔγὼ μὲν οὖν οὐ μέμψεως ἀξίους κρίνω τοὺς Ἄραβας· ἄνδρες μὲν γὰρ πένητες πόρον τοιόνδε εὑρόντες παρέσχον σφραγῖδα κατὰ τὴν τούτων ζήτησιν καὶ ἀρέσκειαν· οὐδὲ αὐτὸν τὸν κριτὴν τὸν τὴν μαρτυρίαν παρασχόντα· καὶ γὰρ καὶ οὗτος χρημάτων δεῖται· ἄλλως δὲ καὶ οὐ χαλεπὸν ἐκ τοῦ τῶν μαρτυρησάντων στόματος τὰς μαρτυρίας λαβεῖν, μᾶλλον δὲ χαλεπὸν τοσαῦτα χρήματα παριδεῖν τε καὶ ἀποβαλεῖν. Τοὺς μέντοι γε Ἀρμενίους καὶ πάνυ μέμψεως ἀξίους κρίνω διὰ παιδαρίων μαρτυρίας καὶ δωδεκαμηνιαίου κριτοῦ ἀνατρέψαι πιστεύοντας πρὸ χιλίων ἐτῶν θεσπίσματά τε καὶ ἀποδείξεις βασιλικάς.

60. Πεντήκοντα δὲ καὶ τριῶν ἡμερῶν διελθουσῶν, ἐλήλυθεν ὁ τζοχαντάρης ἄγων τὸν βασιλικὸν ὁρισμὸν καὶ τὰς ἀποδείξεις τὰς ἐκ τοῦ κώδικος τῆς κρίσεως, ἃς ἔλαβεν ἐξ Ἱεροσολύμων ἐσφραγισμένας ὑπό τε τῆς τοῦ κριτοῦ σφραγῖδος ὁμοῦ καὶ τοῦ τῆς Δαμασκοῦ ἡγεμόνος· ἀνέγνω γὰρ οὗτος ἐν Ἱεροσολύμοις τὸν ὁρισμόν, καὶ τὸ παρὰ τοῖς Ἀρμενίοις ἓν θέσπισμα λαβὼν καὶ τὰς ἐν τῷ τοῦ κριτοῦ κώδικι οὔσας ἀποδείξεις ἀποξέσας τε καὶ ἀποσπάσας καὶ

Δαμασκὸν ἀφίκετο· κἀκεῖσε ἐν τῷ τῆς Δαμασκοῦ κριτηρίῳ ἐρευνήσας καὶ τὰς ἐν ἐκείνῳ σημειώσεις ἀποσπάσας καὶ παραδοὺς τῷ ἡγεμόνι ἐσφραγισμένας ἐνταῦθα ἀπεκόμισε. Λαβὼν δὲ ταύτας ὁ οἰκονόμος τὰς μὲν τῶν κωδίκων σημειώσεις οὕτως ἐσφραγισμένας ἀπέρριψεν ἔν τινι διωρισμένῳ τόπῳ ἐπὶ τῷ ἀργὰς φυλάττεσθαι, τὸ δὲ βασιλικὸν θέσπισμα παρέδωκε τῷ ὑπάτῳ· ὁ δὲ ὕπατος ἀναφορὰν ποιησάμενος ἀπέστειλε τῷ βασιλεῖ. Λαβὼν δὲ ὁ βασιλεὺς καὶ ἀναγνοὺς ψαλλίῳ τὴν ἰδίαν σφραγῖδα κυκλόσε ἀποτεμὼν καὶ κατασχὼν ἐπέγραψεν ἐπὶ τὸ αὐτὸ ὡς "τοὐντεῦθεν ταυτηνὶ τὴν διαφορὰν μηκέτι θεωρεῖσθαι", καὶ αὖθις τῷ ὑπάτῳ ἀπέπεμψεν· ἔθος γὰρ τοῖς βασιλεύουσι μηδένα ἄλλον εἰμὴ μόνον αὐτοὺς ἀποτέμνειν τε καὶ ἀποσπᾶν ὅσα περ αὐτοὶ ἰδίᾳ χειρὶ γράφουσι. Λαβὼν δὲ αὖθις ὁ ὕπατος τὸν ἀκυρωθέντα τοῦτον χάρτην ἀπέτεμε ψαλλίῳ καὶ τὰ ὅσα περ ἔσχε σημεῖα ὁ ὁρισμός· ἵνα γὰρ μὴ ψευδὲς ἢ τὸ παρὰ τῶν κρατούντων ἀποφαινόμενον, διαφόροις τε ἐπιγραφαῖς καὶ σημειώμασιν ἐπιγράφουσι καὶ σημειοῦσιν οἱ τῶν καλεμίων ἐπιστάται. Καὶ ταῦτα πάντα ἐκτέτμηνται τὰ σημειώματα, εἶθ' οὕτως ὑπὸ τὴν βασιλικὴν ἀπόφασιν καὶ ὁρισμὸν γεγράφασι βεβαιωτήριον τῶν ἡμετέρων δικαίων· ἔστι δὲ ὁ ὁρισμὸς τοιόσδε· «Τοῦ παρόντος δοθέντος ὁρισμοῦ ἰδιογράφῳ βασιλικῇ ἐπιγραφῇ ἐπιστραφέντος τῷ κράτει τῆς βασιλείας ἡμῶν καὶ σχισθέντος, ἐδόθη σημεῖον τῷ τοῦ ἐπισκόπου κώδικι ἐξαλειφθῆναί τε καὶ ἀκυρωθῆναι πᾶν τὸ (περὶ αὐτοῦ) σημείωμα· ἐν τοῖς ἔξῆς οὐδενὶ τρόπῳ σημείωμα μὴ γενέσθω. Κατὰ τὸν γεγραμμένον τρόπον τῆς ἀκυρώσεως καὶ τοῦ δοθέντος σημείου ἐδόθη ἄλλο σημεῖον, τοῦ σημειώματος ἕνεκεν τοῦ εὑρισκομένου εἰς τὸ μέρος τοῦ βασιλικοῦ μου βήματος· δοθήτω εἴδησις ἀκυρώσεως ἕνεκεν».

61. Μετὰ δὲ ταύτην τὴν σημείωσιν ἤδη ὀλίγοις ἐγεγόνει πραγμάτων πολλῶν, ἔνθεν τοι καὶ χεῖρα κατασχεῖν ἠβουλήθημεν. Ἐν τοσούτῳ δὲ ἐξερχομένων τῶν βασιλικῶν στρατοπέδων καὶ ἕτερος ἐγράφη ὁρισμὸς κατὰ τῶν ὁπώσποτε τολμησόντων ἀναφοράν τινα ἢ ἀπόδειξιν δοῦναι, τοῖς Ἀρμενίοις φυλακάς τε καὶ θανάτους ἐπαπειλῶν· οὗτινος τὸ ἴσον ἀπὸ Ἀδριανουπόλεως ἀπεστάλκει ἡμῖν

ὁ γενικὸς ἑρμηνεύς, τὸ δὲ πρωτότυπον πρὸς τὸν τῆς Δαμάσκου ἡγεμόνα ἐπέμφθη ἐπὶ τῷ κυρωθῆναί τε καὶ προσταγὴν γενέσθαι. Ἦλθε δὲ καὶ ἐπιστολὴ παρὰ τοῦ τῆς Δαμασκοῦ ἡγεμόνος πρὸς τὸ στρατόπεδον ἐν Ἀξιουπόλει (κοινῇ Σάκτζα λεγομένῃ) παρὰ τὸν Δούναβιν ποταμόν, πρὸς τὸν τοῦ ὑπάτου οἰκονόμον· ἔγραφε δὲ ἡ ἐπιστολή, ὅτι ἀνεγνώσθη ὁ ὁρισμὸς καὶ σημειωθεὶς ἐν τῷ κώδικι ἀπεστάλη ἐν Ἱεροσολύμοις, κἀκεῖ προσταγῆς γενομένης κεκώλυται ἡ τῶν ἀναφορῶν δόσις. Ταύτην δὲ τὴν ἐπιστολὴν ἔδειξεν ὁ τοῦ ὑπάτου οἰκονόμος τῷ γενικῷ ἑρμηνεῖ, ὃς δι' ἰδίας αὐτοῦ ἐπιστολῆς παρέσχεν ἡμῖν τὴν εἴδησιν. Καὶ ταῦτα μὲν μέχρι τοῦδε ἐγεγόνει, χάρις δὲ τῷ ἁγίῳ Θεῷ τῷ οὕτως εὐδοκήσαντι· δώῃ δὲ ὁ τὰ πάντα κρατῶν καὶ ἐν τοῖς εἰσέπειτα κράτος κρίμασιν οἷς οἶδεν αὐτός. Ἃ δὲ μετὰ ταῦτα γενήσεται, ἐν τῷ ἑφεξῆς βιβλίῳ διηγησόμεθα.

XIV.

ΑΠΟΣΠΑΣΜΑΤΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΙΡΗΝΑΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΛΟΥΓΔΟΥΝΩΝ.

Τοῖς προεγνωσμένοις ἑλληνικοῖς ἀποσπάσμασι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εἰρηναίου τὰ ἑπόμενα αὐτὸς προστίθημι πέντε τεμάχια· ἐν ἄλλῳ δὲ τόμῳ τῶν ἀναλέκτων διαφερούσας ἀποταμιεύσω ἀναγνώσεις εἰς ἑνία τῶν προεγνωσμένων τεμαχίων. Καὶ τὸ ἑξῆς μὲν τεμάχιον ἀνεῦρον ἐν τῷ 26 μεμβρανίνῳ κώδικι τῆς κατὰ Χάλκην μονῆς τῆς Θεοτόκου, ὅπερ ἀντιστοιχεῖ τῷ συμπαρατεθέντι μέρει τῆς ἀρχαίας λατινικῆς μεταφράσεως.

Κώδ. Χάλκης φ. 263.

Εἰρηναίου ἐκ τοῦ γ΄ λόγου.

. . . . "Ὃν ὁ Κύριος ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τὴν ἐπιφάνειαν τῆς παρουσίας αὐτοῦ· οὗ ἔστ' ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ". . . . οὐ γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ λέγει κατ' ἐνέργειαν τοῦ Σατανᾶ λέγεσθαι, ἀλλὰ τὴν παρουσίαν τοῦ ἀνόμου θεοῦ, (ὃν καὶ) Ἀντίχριστον λέγομεν.

Ἐκδ. Hervey τ. II, σ. 26.

....*quem Dominus Jesus Christus interficiet spiritu oris sui, et destruet praesentia adventus sui illum, cujus est adventus secundum operationem Satanae* . . . Non enim adventum Domini dicit secundum operationem Satanae fieri, sed adventum iniqui, quem et Antichristum dicimus.

9 Πρὸς Θεσσ. 2, 2, 8. 10 ἐν τῷ κώδικι «τοπνι». 12 αὐτοῦ. 13 κατενέργειαν. 18 Μετὰ τὸ «θεοῦ» προσέθηκα ἐν παρενθέσει «ὃν καὶ».

*

Τὰ ἑξῆς δὲ τεμάχια συνήθροισα ἐκ τοῦ ἐν τῇ πατριαρχικῇ βιβλιοθήκῃ Ἱεροσολύμων πεφυλαγμένου ἀντιτύπου τῶν ἱερῶν παραλλήλων, οὗ τὴν περιγραφὴν ὅρα ἐν τῷ καταλόγῳ, τ. I, σελ. 65—68.

Κώδ. Ἱεροσολ. 15 φ. 80ᵃ.

.... "Μετασχηματίσει" φησὶ "τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ"... Φανερὸν ὅτι τὸ σῶμα, ὅπερ ἐστὶν ἡ σάρξ, ἥτις καὶ ταπεινοῦται πίπτουσα εἰς τὴν γῆν. Μετασχηματισμὸς δὲ κτλ.

Ἐκδ. Hervey II, σ. 357.

.... *qui transfigurabit corpus humilitatis nostrae conforme corpori gloriae suae*... Manifestum est quoniam corpus, quod est caro, quae et humiliatur cadens in terram. Transfiguratio autem etc.

Κώδ. Ἱεροσολ. φ. 109ᵃ.

Τοῦ ἁγίου Εἰρηναίου ἐκ τῶν κατὰ αἱρέσεων ἐλέγχων τῆς ψευδωνύμου γνώσεως.

.... συνεξομοιώσας τὸν ἄνθρωπον τῷ ἀοράτῳ Πατρὶ διὰ τοῦ βλεπομένου Λόγου.

2. Καὶ οὐ μόνον γε διὰ τῶν προειρημένων τὸν Πατέρα καὶ ἑαυτὸν ἐμήνυσεν ὁ Κύριος, ἀλλὰ δι' αὐτοῦ τοῦ πάθους· ἐκλύων γὰρ τὴν ἀπ' ἀρχῆς ἐν τῷ ξύλῳ γενομένην τοῦ ἀνθρώπου παρακοὴν "ὑπήκοος ἐγένετο μέχρι θανάτου, θανάτου δὲ σταυροῦ", τὴν ἐν τῷ ξύλῳ παρακοὴν διὰ τῆς ὑπακοῆς ἰώμενος. Οὐκ ἂν δὲ διὰ τῶν αὐτῶν ἐληλύθει ἐκλύων τὴν πρὸς τὸν πεπλανηκότα ἡμᾶς παρακοήν, εἰ ἄλλον κατήγ-

Ἐκδ. Hervey II, σ. 363.

Libri V, cap. XVI, § 2.

... consimilem faciens hominem invisibili Patri per visibile Verbum.

2. Et non solum autem per ea, quae praedicta sunt, et Patrem et semetipsum manifestavit Dominus, sed etiam per ipsam passionem. Dissolvens enim eam, quae ab initio in ligno facta fuerat hominis inobedientiam, *obediens factus est usque ad mortem, mortem autem crucis;* eam quae in ligno facta fuerat inobedientiam, per eam, quae in ligno fuerat obedientiam sanans. Non

5 Προς Φιλιπ. 3. 21 κέ. 25 Αὐτόθι 2, 8.

γειλε πατέρα· ἐπειδὴ διὰ τῶν αὐτῶν . . . τὴν ὑπακοὴν εἰσηγήσατο καὶ τὴν πρὸς τὸν Λόγον αὐτοῦ πλησμονήν, φανερώτατα αὐτὸν δεικνὺς Θεόν· ἐν μὲν γὰρ τῷ πρώτῳ Ἀδὰμ κτλ.

autem per eandem venisset exsolvere eam, quae fuerat erga plasmatorem nostrum inobedientiam, si alterum annuntiabat Patrem. Quoniam autem per haec, per quae non audivimus, Deum et non credidimus eius verbo, per haec eadem obedientiam introduxit, et eam quae esset erga Verbum ejus assensionem, per quae manifeste ipsum ostendit Deum: quem in primo quidem Adam etc.

Κώδ. Ἱεροσολ. φ. 109α.

Ἔστι δὲ οὗτος—ποιητὴς καὶ πλάστης ἡμῶν· οὗ καὶ τὴν ἐντολὴν παραβάντες ἐχθροποιήθημεν πρὸς αὐτόν. Καὶ καιρῷ εἰς φιλίαν ἀποκατέστησεν ἡμᾶς ὁ Κύριος διὰ τῆς ἰδίας σαρκώσεως, "μεσίτης Θεοῦ τε καὶ ἀνθρώπων" γενόμενος.

Ἐκδ. Hervey II, σ. 364.

Est autem hic — factor et plasmator noster: cujus et praeceptum transgredientes, inimici facti sumus ejus. Et propter hoc in novissimis temporibus, in amicitiam restituit nos Dominus per suam incarnationem, *mediator Dei et hominum* factus.

20 ἀπεκατέστησεν. 22 Πρὸς Τιμοθ. 1, 25.

XV.

ΡΩΜΑΝΟΣ.

Εὐχὴ κατὰ στίχον· ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ.

(Cod. Sabb. 434, f. 246b).

Δεῦτε πάντες, πιστοί, προσκυνήσωμεν
τὸν σωτῆρα Χριστὸν καὶ φιλάνθρωπον,
τὸν υἱὸν τοῦ Θεοῦ καὶ μακρόθυμον,
τὸν δεσπότην καὶ μόνον ἀθάνατον,
ὃν ὑμνοῦσιν ἀγγέλων τὰ τάγματα.
Ἀσωμάτων οἱ ὄχλοι δοξάζουσιν.
ἐκ πυρίνων γλωσσῶν ἀνακράζουσι,
τρισαγίαις φωναῖς ἀναμέλπουσι,
τὸν τρισάγιον ὕμνον ἐξάδοντες.
Ἐπινίκιον αἶνον προσφέροντες
τὸν Πατέρα ὑμνοῦσι καὶ Κύριον,
τὸν Υἱὸν σὺν τῷ Πνεύματι σύνθρονον.
Τῇ οὐσίᾳ μονὰς ἐστιν ἄτμητος·
ἐν τρισὶ τοῖς προσώποις μερίζεται.
Ἡ ὑπέρθεος δύναμις σέβεται,
ὑπὸ πάσης τῆς κτίσεως ἄδεται.
Θεοτόκε παρθένε παντάνασσα,
μὴ παρίδῃς ἡμᾶς τοὺς οἰκέτας σου

κινδυνεύοντας βίου τῷ κλύδωνι·
καὶ ἀστάτῳ θηρὶ προσριπτούμενοι,
ὑπερτέρα τῶν ἄνω δυνάμεων,
περιστερὰ χρυσωθεῖσα τῷ πνεύματι,
ἀποστόλων τὸ κλέος καὶ καύχημα,
προφητῶν καὶ μαρτύρων τὸ σύστημα
καὶ τοῦ κόσμου παντὸς ἡ βοήθεια,
χρυσοπλόκαμε πύργε καὶ πάντιμε,
δωδεκάπυλε πόλις, παράδεισε,
μυροθήκη τοῦ πνεύματος πάντερπνε,
τεῖχος ἄμαχον θεῖον καὶ στήριγμα,
τῶν πιστῶν ἀνακτόρων προπύργιον
καὶ ψυχῶν εὐσεβῶν ἀμυντήριον
καὶ σωμάτων ἁγνῶν φυλακτήριον,
σὲ γεραίρομεν, ἄχραντε Δέσποινα,
τὸν υἱόν σου ὑμνοῦμεν καὶ Κύριον,
τὸν Χριστὸν καὶ τὸν μόνον φιλάνθρωπον,
ὅπως εὕρωμεν χάριν καὶ ἔλεος
ἐν ἡμέρᾳ τῆς κρίσεως, Δέσποινα.
Τότε, Κύριε Κύριε, ῥῦσαί με,
τοῦ πυρὸς τοῦ ἀσβέστου με λύτρωσαι,
μή με λάβῃ Σατὰν ὁ παμπόνηρος·
μή με δείξῃς δαιμόνων ἐπίχαρμα,
ὅτι μόνος ἐγὼ ἐπλημμέλησα.
Τὴν ψυχὴν καὶ τὸ σῶμα ἐσπίλωσα
καὶ τὸν βίον μου ὅλον ἐρρύπωσα.
Τί ποιήσω οὐκ οἶδα ὁ ἄθλιος·
διὰ τοῦτο κραυγάζω τὸ "ἥμαρτον".
Ὡς ὁ ἄσωτος ἦλθον καὶ δέομαι,
ὡς ἡ πόρνη τὰ δάκρυα κλαίουσα·
ἀλλά, Κύριε Κύριε, ῥῦσαί με
ἐκ βορβόρου τῶν ἔργων καὶ σῶσόν με.
Ὡς ποιμὴν ἀγαθὸς μὴ ἐάσῃς με

τῶν παθῶν τοῖς κρημνοῖς πελαζόμενον.
Κεχωσμένον τοῖς πάθεσιν ἔξελε
καὶ τῷ θείῳ φωτί σου με καθαρόν,
ἵνα βλέψω τὴν θείαν εἰκόνα σου
καθαρῷ συνειδότι καὶ φθέγξωμαι:
"Σοὶ γὰρ πρέπει τιμὴ καὶ προσκύνησις,
τῷ Πατρὶ καὶ Υἱῷ σὺν τῷ Πνεύματι
ὑπὸ πάσης τῆς κτίσεως πάντοτε,
εἰς αἰῶνα αἰώνων, φιλάνθρωπε".

XVI.

ΦΙΛΩΝ ΕΠΙΣΚΟΠΟΣ ΚΑΡΠΑΘΙΟΥ.

(Cod. Sabb. 408, f. 34—40).

Ἐπιστολὴ Φίλωνος πρὸς Εὐκάρπιον.

1. Σωτηριώδους πράγματος γενήσομαί σοι πρόξενος, ὦ γνήσιε ἀδελφέ, εἰ ἡδέως συμβουλευθείης παρ' ἡμῶν τὰ πρακτέα, μάλιστα περὶ ὧν αὐτὸς ἡμᾶς παρεκάλεσας συμβουλεῦσαί σοι· τὸ μὲν γὰρ καταρξασθαι τοῦτον τὸν μονήρη βίον πολλοῖς ἴσως τετόλμηται, τὸ δ' ἀξίως ἐπιτελέσαι ὀλίγοις τάχα που πεπόνηται. Καὶ πάντως οὐκ ἐν προθέσει μόνῃ τούτου τὸ τέλος ὑπάρχει, ἀλλ' ἐν τῷ τελεῖ τὸ κέρδος τῶν πεπονημένων. Οὐκοῦν οὐδὲν ὄφελος τοῖς μὴ πρὸς τὸ τοῦ σκοποῦ τέλος ἐπειγομένοις, ἄχρι δὲ τῆς ἀρχῆς ἱστῶσι μόνον τὸν τοῦ μοναχοῦ βίον, οὐ μὴν δὲ ἀλλὰ καὶ καταγέλαστον καταλιμπάνουσιν, ἀνανδρίας καὶ ἀβουλίας παρα τῶν ἔξωθεν κατηγορούμενοι· φησὶ γὰρ ὁ Κύριος περὶ τῶν τοιούτων "τίς βουλόμενος πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον καθίσας ψηφίζει, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν, μήποτε θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύσαντος ἐκτελέσαι ἄρξωνται ἐμπαίζειν αὐτῷ οἱ παραπορευόμενοι, λέγοντες ὅτι ὁ ἄνθρωπος οὗτος θεμέλιον ἔθηκεν καὶ οὐκ ἴσχυσεν αὐτὸν ἐκτελέσαι"; Ἡ οὖν ἀρχὴ ἀεὶ ἐχέτω τὴν προκοπήν, ἐπὶ τὸ τῶν κατορθωμάτων τέλος ἐπειγομένη· τοῦτο γὰρ διδάσκει ἡμᾶς τῷ οἰκείῳ κατορθώματι καὶ ὁ γενναιότατος ἀθλητὴς Παῦλος.

5 ἐν τῷ κώδ. «ποῦ». 11 Πρβλ. Λουκ. 14, 28—30. 12 ἐν τῷ κώδ. «καθησας». 14 ἐν τῷ κώδ. «ἄρχονται».

μὴ ἐπαμεριμνεῖν τοῖς προβεβιωμένοις ἡμῖν ἀγαθοῖς, ἀλλ' ὁσημέραι ἐπὶ τὸ πρόσω προκόπτειν λέγων· "τῶν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως". Τοιοῦτος γὰρ τυγχάνει ἅπας ὁ τῶν ἀνθρώπων βίος, μὴ ἀρκούμενος τοῖς φθάσασιν, ἀλλὰ τερπόμενος τοῖς μέλλουσι· τί γὰρ ὠφελήσει ὁ χθιζὸς τῆς γαστρὸς κόρος, σήμερον τῆς ἐμφύτου πείνης τὴν οἰκείαν τῆς βρώσεως παραμυθίαν μὴ εὑρισκούσης; Οὕτως οὖν οὐδὲν τῆς ψυχῆς κέρδος τοῦ χθιζοῦ κατορθώματος, τῆς σημερινῆς ἀπολιμπανομένης δικαιοπραγίας· "οἷον γάρ σε εὕρω" φησί, "τοιοῦτόν σε καὶ κρινῶ". Οὐκοῦν μάταιος ὁ τοῦ δικαίου κόπος, ἀνέγκλητος δὲ καὶ ὁ τοῦ ἁμαρτωλοῦ τρόπος τῆς ἐν ἀμφοτέροις ἐναλλαγῆς, τοῦ μὲν ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον μεταπεσόντος, τοῦ δὲ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον μεταβληθέντος. Ταῦτα καὶ τοῦ προφήτου Ἰεζεκιὴλ ἐκ προσώπου Κυρίου δογματίζοντός ἐστιν ἰδεῖν· "ἐὰν γὰρ ὁ δίκαιος ἐγκλίνας πλημμελήσῃ, οὐ μὴ μνησθῶ τῶν δικαιοσυνῶν αὐτοῦ, ὧν ἐποίησεν ἔμπροσθεν, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται". Ὁ δὲ αὐτός φησι "καὶ τοῦ ἁμαρτωλοῦ οὐ μὴ μνησθῶ τῶν ἁμαρτιῶν· ἐὰν ἐπιστρέψας ποιήσῃ δικαιοσύνην, ζωῇ ζήσεται ἐν αὐτῇ". Ποῦ γὰρ ἡ τοῦ Γιεζῆ τοσαύτη συναναστροφὴ πρὸς Ἐλισσαῖον, φιλοχρηματίας χάριν λέπραν ἑαυτῷ ἐπισπασαμένου; τί δ' ἐκ τοῦ πλήθους τῆς σοφίας Σαλομῶντος ὄφελος καὶ ἡ προλαβοῦσα τοσαύτη εὔνοια εἰς Θεόν, ὕστερον ἐκ γυναικομανίας εἰς εἰδωλολατρείαν ἐκπεσόντος; ἀλλ' οὐδὲ τὸν μακάριον Δαυὶδ ὁ μετεωρισμὸς ἀφῆκεν ἀνέγκλητον, διὰ τὴν εἰς τὴν τοῦ Οὐρίου πλημμέλειαν. Ἤρκει δὲ ἡ τοῦ Ἰούδα ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον μετάπτωσις πρὸς ἀσφάλειαν τῷ κατὰ Θεὸν πολιτευομένῳ· ὃς ἐν τοσούτοις χρόνοις μαθητευθεὶς τῷ Κυρίῳ, ὕστερον μικρῷ πλημμελήματι τὸν διδάσκαλον ἀπεμπολήσας ἑαυτῷ ἀγχόνην ἐπραγματεύσατο.

2. Τοῦτο οὖν γνωστὸν ἔστω σοι, ἀδελφέ, ὅτι οὐχ ὁ καλῶς ἀρχόμενος καὶ καλῶς μετερχόμενος οὗτος δίκαιος παρὰ Θεῷ,

2 Πρὸς Φιλιπ. 3, 14. 14 Πρβλ. Ἰεζεκ. 3, 20. 18, 26. 33, 18. 18 Πρβλ. Ἰεζεκ. 33, 14—16. 20 ελισσαιον. 23 εἰδωλολατρίαν.

ἀλλ' ὁ καλῶς ἀποτιθέμενος οὗτος δίκαιος παρὰ τῷ Θεῷ. Μὴ οὖν δῷς ὕπνον σοῖς ὀφθαλμοῖς, ἀδελφέ, μηδὲ νυσταγμὸν σοῖς βλεφάροις, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος· βλέπε γὰρ ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις καὶ ἐπάνωθεν ἐπάλξεων τείχους ὑψηλοῦ περιπατεῖς, ὅθεν οὐκ ἀκίνδυνον τῷ πεσόντι τὸ πτῶμα. Μὴ οὖν εὐθὺς εἰς τὸ ἄκρον τῆς ἀσκήσεως ἐκτείνῃς σαυτὸν μάλιστα, εἰ μὴ θαρρῇς σεαυτῷ, ἵνα μὴ ἐξαπορήσας ἀφ' ὕψους τῆς ἀσκήσεως πέσῃς· κρεῖσσον γὰρ ἐκ τῆς κατ' ὀλίγον προκοπῆς προσαναβαίνειν σε εἰς τὸ τῶν κατορθωμάτων ὕψος, ἢ ἐξ ἀτονίας καθ' ὑφαίρεσιν προσκαταβαίνειν σε, ὅπερ οὐ μικρῶς ἐπονείδιστον τοῦτο, ἀλλὰ καὶ ψυχῆς ἐπιζήμιον. Κατὰ μικρὸν οὖν κλέπτε τὰς ἡδονὰς τοῦ βίου ἐξαφανίζων ἑαυτοῦ πᾶσαν συνήθειαν, μήποτε πάσας ὁμοῦ ἐρεθίσας ὄχλον πειρασμῶν ἑαυτῷ ἐπαγάγῃς. Ἀλλ' ἡνίκα ἂν τοῦ ἑνὸς πάθους τῆς ἡδονῆς κατὰ κράτος περιγένῃ, πρὸς τὴν ἑτέραν παρατάσσου, καὶ οὕτως πασῶν τῶν ἡδονῶν εὐχερῶς περιγενήσῃ· ἡδονῆς μὲν γὰρ ὄνομα ἕν, πράγματα δὲ διάφορα.

3. Τοίνυν, ἀδελφέ, ἔσο μὲν πρῶτον ὑπομονητικὸς πρὸς πάντα πειρασμόν, πειρασμοῖς δὲ ποταποῖς δοκιμάζεται ὁ πιστός, δοκιμάζεται ἐγκλήμασι, ζημίαις κοσμικαῖς, καταψεύσμασιν, ἀπειθείαις, καταλαλιαῖς, διωγμοῖς· ἐν τούτοις καὶ τοῖς τοιούτοις δοκιμάζεται ὁ πιστός. Μὴ προπετὴς ἐν λόγῳ, μὴ ἐριστικός, μὴ φιλόνεικος, μὴ κενόδοξος, μὴ ἐξηγητικὸς ἀλλὰ φιλότιμος, μὴ πολὺς ἐν λόγῳ, ἕτοιμος ἀεὶ μὴ πρὸς διδασκαλίαν ἀλλὰ πρὸς μάθησιν, ὅθεν οὐδὲν προσγίνεταί σοι ὄφελος. Μὴ περιεργάζου βίους κοσμικούς· φησὶ γὰρ "ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων"· ὁ γὰρ ἡδέως λαλῶν τὰ τῶν ἁμαρτωλῶν ἔργα, ἑτοίμως ἐξυπνίζει καθ' ἑαυτοῦ τὰς ἡδονάς. Τῶν ἀναγνωσμάτων μὴ κατολιγωρήσῃς καὶ μάλιστα τῆς νέας διαθήκης. "Πάντα δοκίμαζε, τὸ καλὸν κάτεχε, ἀπὸ παντὸς πονηροῦ ἀπέχου"· πάντα γὰρ ἔξεστιν, ἀλλ' οὐ

1 ἀποτιθέμενος] ἐν τῇ ὦα «ἀρχόμενος καὶ μετερχόμενος», ἀνωθεν δὲ τῆς λέξεως «τελειῶν». 15 ἐν τῷ κώδ. «παραταξαι» καὶ ὑπεράνω «παρατάσσου». 22 φιλόνεικος] ἐν τῇ ὦα «φιλόνεικος ἐν λόγοις, ἐριστικὸς ἐν ἔργοις;—κενολόγος μυθολόγος βαττολόγος πέρπερος». 26 Ψαλμ. 16, 4. 29 Πρὸς Θεσσ. 1, 5, 21, 22.

πάντα συμφέρει. Ἔσο οὖν τοῖς ἐντυγχάνουσι καὶ συντυγχάνουσί σοι ἐν πᾶσι ἀπρόσκοπος, προσχαρής, φιλάδελφος, ἡδύς, ταπεινόφρων. Φεῦγε τὸν χρυσὸν ὡς ψυχῆς ἐπίβουλον καὶ ἁμαρτίας πατέρα, ὑπουργὸν δὲ τοῦ διαβόλου. Τὰς ἡδονὰς φεῦγε, τὴν ἐγκράτειαν θήρευε καὶ τὸ μὲν σῶμα τοῖς πόνοις ἄσκει, τῇ δὲ ψυχῇ τοὺς πειρασμοὺς καρτέρει, τῆς ψυχῆς καὶ τοῦ σώματος τὴν διάλυσιν παντὸς κακοῦ εἶναι ἀπαλλαγὴν πειθόμενος. Ἀεὶ πολυπραγμόνει τὸν τῶν δικαίων βίον· οὕτως γὰρ εὑρήσεις ἐν ἑαυτῷ ψυχῆς ὄφελος. Μὴ ἔσο φιλεκδημητὴς περιάγων τὰς κώμας ἢ τὰς πόλεις, καὶ μὴ προφάσει χρειῶν ἀναχώρει τοῦ τόπου σου· ἀναχωρῶν γὰρ ἐκ τοῦ τόπου σου, ἴσως ἀναχωρήσεις καὶ τῶν τρόπων σου. Μὴ ἔσο ὀχλοχαρής, μὴ φιλόχορος, μὴ φιλοπολίτης ἀλλὰ φιλέρημος ἐφ' ἑαυτῷ μενῶν ἀεὶ ἀμετεωρίστως, τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν ἔργον ἡγούμενος, μὴ ἐκπίπτων τοῦ σκοποῦ τῆς φιλοξενίας ἕνεκεν βρωμάτων πολυτελῶν· ἀρκούμενος δὲ τοῖς παροῦσι τῆς καθημερινῆς χρείας τοῦ μονήρους βίου, μηδὲν πλεῖον ἀπό τινος λάβῃς καὶ μὴ ἔσο φιλάργυρος, οὐχ ὅτι κακὸς ὁ χρυσός, ἀλλ' ὅτι τοῖς ἐμπαθέσι πρὸς αὐτὸν κακὸς γίνεται. Μὴ οὖν προφάσει τῆς εἰς τοὺς πτωχοὺς διακονίας ἑαυτὸν ὑπόδικον φιλαργυρίας καταστήσῃς· εἰ δέ τις πτωχῶν ἕνεκα κομίσει σοι χρήματα, γνῶς δὲ τινας λειπομένους, αὐτῷ ἐκείνῳ ᾧ ὑπάρχει τὰ χρήματα ἀποκομίσαι αὐτὰ τοῖς ὑστερουμένοις ἀδελφοῖς συμβούλευσον, μήποτε μολύνῃ σου τὴν συνείδησιν ἡ ὑποδοχὴ τῶν χρημάτων.

4. Ὑπὲρ πάντα δὲ ἐκδέχου τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν, ἧς πάντες οἱ ἅγιοι μέτοχοι γεγόνασι. Σὺ δὲ διὰ παντὸς ζυγοστατῶν τὸν νοῦν ἀντιπαράτιθει τῇ διαβολικῇ ἐννοίᾳ τὸν εὐσεβῆ λογισμόν, καὶ μάλιστα ὅταν ἐπαναστᾶσα ἡ πονηρὰ ἔννοια λέγῃ σοι "Τί σοι τὸ ὄφελος τῆς ἐν τούτῳ τῷ τόπῳ τῆς ἐρήμου διαγωγῆς; τί δέ σοι τῆς ἀπὸ τῶν ἀνθρώπων συνηθείας τὸ κέρδος τῆς ἀναχωρήσεως; Μὴ οὐκ ἔγνως τοὺς παρὰ τοῦ Θεοῦ τεταγμένους ἐπισκόπους τῶν τοῦ Θεοῦ ἐκκλησιῶν ὁσίους ἄνδρας συνδιάγον-

9 τὰς πόλεις] ἐν τῇ ὥα «τὸ ρεμβεύεσθαι φιληδονίας καὶ ὀλιγωρίας καὶ τέρψεως σύμβολον». 12 φιλόχορος] ἄνωθεν «κωμαστής». 15 ἕνεκε. 25 διαπαντὸς. 26 ἀντιπαράτιθε.

τας καὶ τὰς πνευματικὰς ἀδιαλείπτως ἐπιτελοῦντας πανηγύρεις, ἐν αἷς μάλιστα πολὺ τοῖς παραγινομένοις ἐκεῖ προσγίνεται ὄφελος· ἐκεῖ γὰρ ἀποκαλύψεις παροιμιακῶν αἰνιγμάτων, λύσεις ἀποστολικῶν διδαγμάτων, θεολογίας ἀκρόασις, ἀδελφῶν πνευματικῶν συντυχία μεγάλην τοῖς συντυγχάνουσιν ἐκ θέας τοῦ προσόντος αὐτοῖς ἤθους παρέχουσα τὴν ὠφέλειαν. Σὺ δὲ τῶν τοσούτων ἀγαθῶν ἀλλότριον ἑαυτὸν κατέστησας καὶ κάθῃ ἐνθάδε ἀπηγριωμένος ἴσος τοῖς θηρίοις· ὁρᾷς γὰρ ἐνταῦθα ἐρημίαν πολλήν, ἀπανθρωπίαν οὐκ ὀλίγην, ἀπορίαν διδασκαλίας, ἀδελφῶν ἀλλοτρίωσιν καὶ περὶ τὴν ἐντολὴν τοῦ Θεοῦ ἀργίαν πολλήν".

5. "Οταν οὖν τοιαύταις καὶ τοσαύταις εὐλογοφανέσιν ἡ πονηρὰ ἔννοια ἐκταράσσῃ σε, ἀντιπαράθες αὐτῇ διὰ τοῦ εὐσεβοῦς λογισμοῦ τὴν πεῖραν τοῦ πράγματος λέγων" Ἐπειδὴ σὺ φῄς <λέγεις μοι> καλὰ τὰ ἐν τῷ κόσμῳ εἶναι, διὰ τοῦτο ἐγὼ ἐμαυτὸν ἐνταῦθα ἀπώκισα ἀνάξιον κρίνας τῶν τοῦ κόσμου καλῶν· παραμέμικται γὰρ τοῖς τούτου καλοῖς ἀεὶ τὰ κακά. Παραγενόμενος γάρ ποτε ἐν ταῖς πνευματικαῖς πανηγύρεσιν ἐνὶ μὲν ἀδελφῷ μόλις περιέτυχον, τῷ μὲν δοκεῖν φοβουμένῳ τὸν Θεὸν κρατουμένῳ δὲ ὑπὸ τοῦ διαβόλου, καὶ ἤκουσα παρ' αὐτοῦ λόγους μὲν κεκομψευμένους καὶ μύθους πεπλασμένους καὶ ἦθος εἰς ἀπάτην τῶν παρατυγχανόντων· ἄλλοις δὲ συνέτυχον μετὰ τοῦτον κλέπταις ψεύσταις, πολλοῖς δὲ ἅρπαξι, πολλοῖς τυράννοις, πολλοῖς ὑπερηφάνοις. Εἶδον μεθυόντων σχῆμα ἄσχημον, τὸ αἷμα τῶν καταπονουμένων· εἶδον δὲ καὶ κάλλος γυναικῶν βασανίζον μου τὴν σωφροσύνην καὶ τὸ μὲν τῆς πορνείας ἔργον διέφυγον, τὴν δὲ ἑαυτοῦ παρθενίαν ἐμόλυνα κατὰ διάνοιαν καρδίας. Καὶ πολλῶν μὲν ἀκήκοα λόγων ψυχωφελῶν, πλὴν παρ' οὐδενὶ τῶν διδασκάλων εὗρον ἔργον ἄξιον τῶν λόγων. Πάλιν ἤκουσα μυρίων τραγῳδημάτων, τῆς μωρολογίας καὶ εὐτραπελίας ὄχλου ἀμυθήτου βοήν, δάκρυον τῶν συληθέντων, τὸν ὀδυρμὸν τῶν ἁπαγομένων ὑπὸ τῆς τυραννίδος, τὴν οἰμωγὴν τῶν βασανιζομένων, τὸν κοπετὸν τῶν ἀδικουμένων· αἱ γὰρ οἰμωγαὶ καὶ ὁ ὀδυρμὸς ἐπάγεται

8 ἴσως. 11 ὅτ' ἂν. 13 πεῖραν || ἐπειδὴ] ἐν τῇ ὥα «ἀντίρρησις τῷ δαιμόνῳ». 22 συληθέντων] σχόλιον· «ἐν γὰρ ταῖς πανηγύρεσιν οἱ κλέπται παρενεδρεύουσι καὶ ἀποσυλῶσιν».

παρὰ τῶν ἀδικουμένων, ἵνα δειχθῇ ἡ τῶν πενήτων ὑπομονή. Καὶ εἶδον καὶ οὐκ ἦν πανήγυρις πνευματική, ἀλλὰ θάλασσα ἀνεμιζομένη καὶ ταρασσομένη, πάντας ὁμοῦ τοῖς ἑαυτῆς κύμασι καλύψαι σπουδάζουσα. Λέγε μοι οὖν, ὦ κακὴ ἔννοια καὶ ὁ τῆς προσκαίρου ἡδυπαθείας τε καὶ κενοδοξίας δαίμων, τί μοι ὄφελος τῆς τούτων ἁπάντων θεωρίας τε καὶ ἀκροάσεως, μηδενὶ τῶν ἀδικουμένων ἰσχύοντι βοηθῆσαι, μήτε δὲ τὴν ὁρμὴν τῶν ἀδικούντων ἀναστρέψαι δυναμένῳ, μήτε δὲ τοὺς σφαλλομένους διορθώσασθαι συγχωρουμένῳ, τάχα δὲ καὶ ἑαυτὸν τούτοις προσαπολλύοντα; ὥσπερ γὰρ ὀλίγον ὕδωρ καθαρὸν ὑπὸ πολλῆς ἰλύος ἐξαφανίζεται, οὕτως ἃ νομίζομεν καλὰ ἐν τῷ βίῳ ποιεῖν τῶν ἀνθρώπων, ὑπὸ τοῦ πλήθους τῶν κακῶν καλύπτεται. Τίς οὖν ἡ ὠφέλεια μου; ἢ δῆλον ὅτι τῆς ψυχῆς ἡ βλάβη. Διὰ τοῦτο οὖν ἐγὼ μεταναστεύω ἐπὶ τὰ ὄρη· "ὡς στρουθίον γὰρ ἐρρύσθην ἐκ τῆς παγίδος τῶν θηρευόντων" διὰ τῆς χάριτος τοῦ Χριστοῦ. Καὶ γὰρ ἐν ταύτῃ τῇ ἐρήμῳ διάγω, κακὴ ἔννοια, ἐν ᾗ ὁ Κύριος ἡδέως διέτριβεν. Ἐνταῦθα ἡ ὄρῦς ἡ Μαμβρή, ἐν ᾗ ὁ Κύριος ὤφθη τῷ Ἀβραάμ. Ἐνταῦθα ἡ οὐρανοφόρος κλίμαξ καὶ αἱ τῶν ἀγγέλων παρεμβολαὶ αἱ τῷ Ἰακὼβ ὀφθεῖσαι· ἐνταῦθα ἡ ἔρημος, ἐν ᾗ ὁ λαὸς ἁγισθεὶς ἐνομοθετήθη καὶ οὕτως εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσῆλθεν. Ἐνταῦθα Μωυσῆς εἶδε τὸν Θεόν· ἐνταῦθα τὸ ὄρος τὸ Καρμήλιον, ἐν ᾧ Ἠλίας αὐλιζόμενος τῷ Θεῷ εὐηρέστησεν. Ἐνταῦθα ἡ ἔρημος, ἐν ᾗ ὁ μακάριος Ἰωάννης ἀκριδοφαγῶν μετάνοιαν τοῖς ἀνθρώποις ἐκήρυξεν. Ἐνταῦθα τὸ ὄρος τῶν Ἐλαιῶν, εἰς ὃ Χριστὸς ἀνερχόμενος προσηύχετο ἡμᾶς διδάσκων κατ' ἰδίαν προσεύχεσθαι· φησὶ γάρ "ὅπου εἰσὶ δύο ἢ τρεῖς εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν". Ἐνταῦθα ἡ στενὴ καὶ τεθλιμμένη ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, ἐνταῦθα διδάσκαλοι καὶ προφῆται οἱ ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἐνταῦθα ἀπόστολοι καὶ εὐαγγελισταὶ καὶ ὁ τῶν μοναχῶν ἐρημοπολίτης βίος. Ταῦτα γνησίως καταδέδεγμαι, ἅπερ τοῖς μάρτυσι τοῦ Χριστοῦ καὶ τοῖς δικαίοις πᾶσιν ἐπήγγελ-

13 διατοῦτο. 14 Ψαλμ. 123, 7. 17 ὄρυς. 26 Ματθ. 18, 20.

ται, ἵνα ἀψευδῶς λέγω "διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς"· ἔγνων γὰρ ἐγὼ τὸν μὲν θεοφιλῆ Ἀβραὰμ τῇ τοῦ Θεοῦ φωνῇ πειθόμενον καὶ εἰς τὴν ἔρημον μετοικοῦντα, καὶ Ἰσαὰκ τὸν ἄπλαστον καταδυναστευόμενον, Ἰακὼβ τὸν πατριάρχην ξενιτεύοντα, Ἰωσὴφ τὸν σώφρονα πιπρασκόμενον, τοὺς τῆς ἐγκρατείας εὑρετὰς τρεῖς παῖδας πυρομαχοῦντας, τὸν εὐσεβῆ Δανιὴλ δεύτερον εἰς λάκκον λεόντων ῥιπτόμενον, τὸν παρρησιαστὴν Ἱερεμίαν εἰς λάκκον βορβόρου καταδικαζόμενον, Ἡσαΐαν τὸν τῶν ἀποκρύφων θεατὴν πριζόμενον, Ἰωάννην τὸν τῆς μοιχείας ἔλεγχον ἀποτεμνόμενον, Πέτρον ἀνασταυρούμενον, Παῦλον πάντα τὸν χρόνον ἐαυτοῦ διωκόμενον καὶ φυλακιζόμενον καὶ μετὰ ταῦτα ἀποτεμνόμενον, τοὺς λοιποὺς ἀποστόλους καὶ τοὺς τοῦ Χριστοῦ μάρτυρας διαφόρως ἀναιρουμένους· καὶ ἵνα μὴ μακρολογῶ, ὅπου γε καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἐσταυρώθη, ἵνα τῷ αὐτοῦ θανάτῳ ἡμᾶς ζωοποιήσῃ καὶ πάντας ἡμᾶς πρὸς τὴν ὑπομονὴν ἀλείψῃ καὶ διὰ τῆς ὑπομονῆς πρὸς ἑαυτὸν ἑλκύσῃ. Πρὸς τοῦτον οὖν ἐπείγομαι καὶ πρὸς τὸν Πατέρα καὶ τὸ πανάγιον Πνεῦμα, καὶ γνήσιος εὑρεθῆναι ἀγωνίζομαι, τὸ λοιπὸν ἀνάξιον ἐμαυτὸν κρίνας τῶν τοῦ κόσμου ἀγαθῶν· οὐ γὰρ ἐγὼ διὰ τὸν κόσμον, ἀλλ' ὁ κόσμος δι' ἐμέ".

6. Ταῦτ' οὖν ἐν ἑαυτῷ ἐπιλογιζόμενος, καὶ ἐπιτελῶν αὐτὰ σπουδαίως καὶ προθύμως, κατὰ τὸ εἰρημένον "ἕως θανάτου" ἀγώνισαι περὶ τῆς ἀληθείας. Ἀλλὰ καὶ ὁ ἀπόστολός φησι "βλέπετε μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος· ἀλλὰ παρακαλεῖτε ἀλλήλους ἄχρις οὗ τὸ σήμερον καλεῖται"· τὸ γὰρ σήμερον σημαίνει ὅλον τὸν χρόνον τῆς ζωῆς ἡμῶν. Οὕτως οὖν πολιτευόμενος, ἀδελφέ, καὶ σεαυτὸν σώσεις καὶ ἡμᾶς εὐφρανεῖς καὶ τὸν Θεὸν δοξάσεις, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1 Ψαλμ. 16, 5. 23 Πρὸς Ἑβρ. 3, 12—13.

XVII.

ΑΝΑΣΤΑΣΙΟΥ

ΜΟΝΑΧΟΥ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ ΣΙΝΑ

κεφάλαια διάφορα καὶ πάνυ ὠφέλιμα, καὶ περὶ βλασφημίας.

(Cod. Sabb. 408. f. 66—71).

Πεῦσις.

Πόθεν ἡ ψυχὴ τοῦ ἀνθρώπου πολλάκις λαλεῖ τινας ἔνδοθεν λογισμοὺς αἰσχρούς καὶ ἀκαθάρτους καὶ ῥυπαρούς, ἀκουσίως καὶ ἀπροαιρέτως, πολλάκις δὲ καὶ ῥήματά τινα ἄθεα καὶ βλάσφημα κατά τε αὐτοῦ τοῦ Θεοῦ καὶ τῶν ἁγίων καὶ ζωοποιῶν καὶ φρικτῶν μυστηρίων τῷ καιρῷ τῶν συνάξεων καὶ προσευχῶν καὶ τῆς θείας καὶ ζωοποιοῦ μεταλήψεως, ὥστε πολλάκις τινὲς ἐξ ἀθυμίας καὶ ἀπογνώσεως τῶν τοιούτων ἀθέων καὶ δυσφήμων ῥημάτων οὐκέτι ἑαυτοὺς χριστιανοὺς εἶναι ἐνόμισαν, ὡς τοιαῦτα περὶ Θεοῦ ἐννοούμενοι, ἄλλοι δὲ πολλάκις τῆς μεταλήψεως τῶν ἁγίων μυστηρίων ἑαυτοὺς ἀπέστησαν, ἕτεροι δὲ καὶ ἀνελεῖν ἑαυτοὺς ἢ κατακρημνίσαι ἐσκέψαντο, ὡς ὄφθεν βλασφημοῦντες κατὰ τοῦ Θεοῦ καὶ λοιπὸν ἐλπίδα σωτηρίας μὴ ἔχοντες, ἐννοούμενοι τὸν τοῦ Κυρίου λόγον τὸν φάσκοντα ὅτι τῷ βλασφημοῦντι εἰς τὸ ἅγιον Πνεῦμα οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι[1]; Πόθεν οὖν συμβαίνει ὁ τοιοῦτος λογισμός, καὶ ποίῳ τρόπῳ δύναται ἀπαλλαγῆναι ἀπ' αὐτοῦ;

Ἀπόκρισις.

1. Ὁ μὲν τοιοῦτος λογισμὸς συμβαίνει τοῖς πολλοῖς ἐξ ὑπερηφανίας αὐτῶν, τοῦ Θεοῦ συγχωροῦντος τῷ Σατανᾷ πειράζειν αὐτούς, ἵνα ταπεινωθέντες εἰς μετάνοιαν ἔλθωσιν, ἀπορρίψαντες τὸ ὑψηλὸν φρόνημα· ἄλλοις δὲ πάλιν εὐλαβέσι καὶ φιλοθέοις οὖσιν ἀπὸ φθό-

1 ἔνδοθε. 7 οὐκ ἔτι. 10 ὄφθε. 11 Matth. 12, 32.

νου διαβολικοῦ ὁ τοιοῦτος συμβαίνει λογισμός. Ὅθεν καὶ ὅσιοί τινες καὶ ἐνάρετοι καὶ ἀσκηταὶ δοκιμώτατοι, οἱ κατὰ τὴν ἔρημον τὰς διατριβὰς ἔχοντες, ἔσθ' ὅτε τοιούτῳ περιπίπτουσι λογισμῷ. Τὸ δὲ πονηρότατον τοῦτο τοῦ πολέμου ἐκείνου ἐστίν, ὅτι οὐδεὶς πειραζόμενος ὑπ' αὐτοῦ τολμᾷ ὅλως ἐξειπεῖν αὐτὸ ἀνθρωπίναις ἀκοαῖς, ὡς νομίζων ὅτι οὐδεὶς ἕτερος τῶν ἐν κόσμῳ ἀνθρώπων τοὺς τοιούτους μιαροὺς καὶ βλασφήμους κέκτηται λογισμούς· καὶ γὰρ καὶ φόνον ἐάν τις ποιήσῃ καὶ πᾶσαν ἄλλην πονηρὰν ἁμαρτίαν, θαρρεῖ ἐξομολογήσασθαι τῷ πλησίον τὸν τοιοῦτον λογισμόν. Τοῦτο δὲ ἡνίκα κατὰ διάνοιαν ἐνθυμεῖται ὁ ἄνθρωπος, νομίζει παραυτὰ ἀνοίγειν τὴν γῆν τὸ στόμα αὐτῆς ἢ πῦρ ἐκ τοῦ οὐρανοῦ καταβαίνειν καὶ ἀναλίσκειν αὐτόν· ὅθεν δή τινες ὑπὸ τοῦ τοιούτου λογισμοῦ πειραζόμενοι ἀπὸ τοῦ πλήθους τῆς ἀφάτου καὶ ἀμυθήτου λύπης καὶ ἀθυμίας καὶ ἀπογνώσεως ἐκτήκονται, καὶ αὐτῇ τῇ σαρκὶ καὶ τῷ προσώπῳ μαραινόμενοι ἀλλοιοῦνται, καὶ πάντα τρόπον καὶ μηχανὴν καὶ ἄσκησιν καὶ νηστείαν καὶ χαμευνίαν πολλάκις ἐπινοήσαντες ἐλευθερωθῆναι τοῦ τοιούτου λογισμοῦ οὐκ ἴσχυσαν, μὴ νοήσαντες ὅτι ἀκατάκριτός ἐστι καὶ ἀναίτιος πᾶς πιστὸς καὶ ὁλόψυχος χριστιανὸς ἄνθρωπος ἐκ τοιούτου πειρασμοῦ. Πῶς γὰρ δυνατὸν τὸν αὐτὸν Θεὸν καὶ προσκυνεῖν ἡμᾶς καὶ βλασφημεῖν; πρόδηλον γὰρ ὅτι αὐτὸν προσκυνοῦμεν, αὐτὸν δοξολογοῦμεν, αὐτὸν ἐπικαλούμεθα, αὐτὸν θεολογοῦμεν, αὐτῷ προσεδρεύομεν, αὐτὸν μόνον Θεὸν γινώσκομεν, δι' αὐτὸν κακοπαθοῦμεν, διὰ τὴν αὐτοῦ ἀγάπην ὑπὸ ἐχθρῶν παιδευόμεθα καὶ διὰ τὴν πίστιν αὐτοῦ διωκόμεθα, δι' αὐτὸν οἴκους καὶ πατέρας καὶ μητέρας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ γυναῖκας καὶ τέκνα ἀπαρνούμεθα, καὶ αὐτὴν ἡμῶν τὴν σάρκα εἰς μαρτύρια καὶ βασάνους ὑπὲρ αὐτοῦ προθύμως διδόαμεν· καὶ πῶς βλασφημεῖν ἡμᾶς ἢ ὑβρίζειν τὸν Θεὸν ἡμῶν δυνατόν, ὑπὲρ οὗ καθ' ἡμέραν ἀποθνήσκομεν;

2. Ἀλλ' οὗτος ὁ λογισμὸς φθόνος ἐστὶ καὶ βασκανία τοῦ δια-

24 ἐχθρῶν] σχόλιον ἐν τῇ ὥᾳ τοῦ φ. 68. «Ἐχθροὺς φησὶ τοὺς Ἰσμαηλίτας καὶ Ἀγαρηνούς, οἵτινες θλίβουσι τοὺς χριστιανοὺς ἕως τοῦ νῦν ἐν Συρίᾳ καὶ Παλαιστίνῃ καὶ Φοινίκῃ καὶ Περσίδι καὶ Αἰγύπτῳ καὶ ἐν τῷ ἁγίῳ ὄρει τῷ Σινᾶ».

βόλου, βουλομένου ἡμᾶς ἐμποδίσαι καὶ ἀποστῆσαι τοῦ Θεοῦ ἡμῶν. Ἀλλ' οὐδείς, ὡς προεῖπον, τῷ ἰδίῳ Θεῷ καὶ προσκυνεῖ καὶ βλασφημεῖ· οὔτε αὐτοὶ οἱ Ἕλληνες, οὔτε οἱ δαίμονες οἱ τὴν βλασφημίαν τῇ ψυχῇ ὑποβάλλοντες, τολμῶσι βλασφημῆσαι εἰς αὐτόν. Εἰ δὲ τοῦ ἀνθρώπου γέννημα ὑπῆρχεν ἡ τοιαύτη βλασφημία, πάντως ἂν ὅτι καὶ διὰ στόματος τὰ τοιαῦτα ἐφθεγγόμεθα ῥήματα. Νυνὶ δὲ αἱρούμεθα μᾶλλον πυρὶ κατακαῆναι ἢ διὰ στόματος ἡμῶν βλασφημίαν φθέγξασθαι τὴν οἱανδήποτε· ὅπερ ἀκριβῶς μαθόντες καὶ τὸν δόλον τοῦ διαβόλου νοήσαντες, μηδαμῶς τὸν τοιοῦτον λογισμὸν εἰς ψῆφον ἔχωμεν. Καὶ ἐντεῦθεν δὲ ὀφείλει πληροφορηθῆναι ὁ ἄνθρωπος, ὅτι ἀλλότριος αὐτοῦ ἐστιν ὁ τοιοῦτος πειρασμός, ὅτι τὰ ἴδια ἡμῶν πάθη καὶ τοὺς ἰδίους λογισμούς, οὓς ἔνδοθεν γεννῶμεν, τουτέστι πορνείαν, μοιχείαν, γαστριμαργίαν, φθόνον, μῖσος, ζῆλον, φιλαργυρίαν, καταλαλιάν, ἔριν, θυμὸν καὶ τὰ ὅμοια αὐτῶν, ἐν ἡμῖν ἐστι τὸ πρᾶξαι ἢ μὴ πρᾶξαι αὐτὰ καὶ τὸ λογίζεσθαι ἢ μὴ λογίζεσθαι ταῦτα. Τοῦτον δὲ τὸν τῆς βλασφημίας λογισμὸν καὶ πειρασμόν, ὡς ἀλλότριον ἡμῶν καὶ δαιμονικὸν ὄντα τούτου χάριν κωλῦσαι ἢ κόψαι οὐ δυνάμεθα· ἐν πᾶσι δὲ οἷς οὐ δυνάμεθα, ἀνέγκλητοι ἐσμεν καὶ ἀκατάγνωστοι παρὰ τῷ Θεῷ· μόνων γὰρ τῶν παθῶν καὶ τῶν λογισμῶν, ὧν τὴν ἐξουσίαν καὶ τὸ κράτος ἔχομεν, ἀπαιτούμεθα λόγον ὑπὸ τοῦ Θεοῦ, οὐχὶ καὶ ὧν οὐ δεσπόζομεν οὐδὲ τὸ κράτος τῆς κωλύσεως αὐτῶν ἔχομεν.

3. Τούτου οὖν τοῦ πονηροῦ λογισμοῦ καὶ δαιμονιώδους οὐδεὶς τῶν ἐν σαρκὶ ὄντων ἀνδρῶν δεσπόσαι ἢ κωλῦσαι δύναται· πνεῦμα γὰρ ὑπάρχον ἀσώματον ὁ δαίμων ἀοράτως εἰς τὰ ὦτα τῆς ἀσωμάτου ἡμῶν ψυχῆς τοιαῦτα ῥήματα προσωμίλησε, μὴ βουλομένης αὐτῆς. Ὁ οὖν ἄνθρωπος μὴ νοῶν τὸν τοιοῦτον λογισμὸν καὶ τρόπον, ἀλλὰ νομίζων τῆς ἰδίας ψυχῆς τυγχάνειν τὰ ἄθεα ῥήματα ἐκεῖνα, ταράσσεται καὶ ἀθυμεῖ καὶ διαπρίεται καὶ θορυβεῖται καὶ διαθρυλλεῖται καὶ ἐμπυρίζεται, ὥσπερ κεκαυμένην φέρων τὴν οἰκείαν συνείδησιν, καὶ ἀπογινώσκει τῆς ἰδίας ζωῆς καὶ σωτηρίας. Καὶ μή τις δόξῃ ἡμᾶς πρὸς ἀπάτην ἢ γλεύην ἢ μέθοδον ἢ πα-

10 ἐντεῦθε δὲ ὀφείλῃ. 13 ἐνδοθε. 24 δεσπῶσαι. 30 φέρων] ἐν τῇ ὥα «ἔχων».

ραμυθίαν τῶν πολεμουμένων ὑπὸ τούτου τοῦ πειρασμοῦ ταῦτα γράφειν ἢ λέγειν, ἀλλ' ὡς αὐτῷ τῷ Θεῷ λόγον μέλλοντες διδόναι τῶν ὑφ' ἡμῶν παραινουμένων ταῦτα εἰρήκαμεν, ἐξ ἀνδρῶν ἁγίων πληροφορηθέντες οὕτως ἔχειν τὴν ἀλήθειαν τοῦ πράγματος· ἐν οἷς φέρεται καὶ λόγος παρὰ τοῖς ἀρχαίοις ἱστορικοῖς, ὅτι τῷ μακαριωτάτῳ Πέτρῳ τῷ ἀρχιεπισκόπῳ Ἀλεξανδρείας καὶ μάρτυρί τις τῶν τῆς Σκήτεως πατέρων τοιοῦτον ἀνέθετο λογισμόν, ἐνοχλούμενος χαλεπῶς ὑπ' αὐτοῦ· πρὸς ὃν ὁ μακαριώτατος Πέτρος ἀπεκρίθη λέγων "Ἀπιθι, τέκνον· τῶν λοιπῶν σου ἁμαρτιῶν φρόντισον· ταύτην δὲ τὴν αἰτίαν τοῦ λογισμοῦ καὶ τὸ κρῖμα ἐπάνω μου κατάλιπε. Πρόδηλον γὰρ ὅτι ἀναίτιος ἐστι πᾶς ὁ ὁλοψύχως πιστεύων καὶ προσκυνῶν τῷ Θεῷ ἐκ τοῦ τοιούτου λογισμοῦ· φθόνος γὰρ καὶ γέννημα καὶ ὑποβολὴ τοῦ διαβόλου ἐστί, βουλομένου κωλῦσαι καὶ ἀποσπάσαι ἡμᾶς τῆς κατ' αὐτοῦ πάλης καὶ τῆς πρὸς Θεὸν δουλείας καὶ προσεδρείας. Καὶ ὅπως σε ἀπὸ διηγήματος μεγάλου πατρὸς πείσω, ὅτι περ οὐ τοῦ ἀνθρώπου ἐστὶν ἡ τοιαύτη ἐπίνοια ἀλλὰ τοῦ πονηροῦ δαίμονος, ἄκουσον ψυχωφελοῦς ἀποφθέγματος· ποτὲ γάρ κάμοί τοιούτου διενοχλοῦντος λογισμοῦ, ἀνεθέμην αὐτὸν τῷ τοῦ Θεοῦ θεράποντι καὶ ὁμολογητῇ Παφνουτίῳ, ὅστις μοι διισχυρίζετο λέγων, ὅτι ἐν αὐτῷ τῷ δικαστηρίῳ, ἡνίκα πυρὶ καὶ βασάνοις τὸ σῶμά μου ὑπὲρ τοῦ Χριστοῦ κατεκαίετο καὶ ἐξέετο, ὁ δαίμων ἔνδοθέν μου κατὰ τοῦ Θεοῦ βλασφημίας ἐφθέγγετο· πρὸς ὃν ἐμβριμησάμενος μετὰ θυμοῦ εἶπον· ὦ παμπόνηρε καὶ πάσης κακίας δημιουργέ, τὸ αἷμά μου καὶ τὴν ψυχήν μου ὑπὲρ τοῦ Χριστοῦ δέδωκα εἰς θάνατον, ἵνα μὴ αὐτὸν ἀρνήσωμαι ἢ βλασφημήσω, καὶ σὺ λογισμούς βλασφημίας λαλεῖς; Εἰ τὸν Θεόν μου καὶ κύριον βλασφημῶ, πῶς ὑπὲρ αὐτοῦ νῦν δι' ἐκχύσεως αἵματος μαρτυρῶ καὶ προσκυνῶ; Ἀλλὰ πρόδηλον ὅτι ἡ μὲν καλὴ ὁμολογία καὶ μαρτυρία ἐμὴ τυγχάνει, ἡ δὲ κατὰ τοῦ Θεοῦ βλασφημία σὴ καὶ ἐπὶ σὲ ἐπιστραφήσεται".

9 ἐν τῷ κειμένῳ «ἄπελθε», ἀλλ' ἄνωθεν διορθοῦται εἰς «ἄπιθι». 18 ποτὲ γὰρ κτλ.] «καὶ ταῦτα ὁ ἐν ἁγίοις Πέτρος διηγεῖτο τῷ Σκητιώτῃ, προτρεπόμενος θαρρεῖν». 22 ἔνδοθε.

4. Αὕτη τοῦ μακαριωτάτου Πέτρου ἡ πρὸς τὸν ἀσκητὴν διήγησις, ἣν ἐν τῇ συγγραφῇ Φίλωνος τοῦ ἱστοριογράφου φερομένην εὑρήκαμεν, διδάσκοντος ἡμᾶς ὅτι ἀδύνατον δι' ἑτέρου τρόπου ἀπαλλαγῆναι τοῦ τοιούτου λογισμοῦ, εἰμὴ διὰ τοῦ καταφρονεῖν αὐτοῦ καὶ ἐξουθενεῖν, ὡς ξένου καὶ ἀλλοτρίου τῆς ψυχῆς τοῦ ἀληθῶς χριστιανοῦ ὄντος. "Ἀλλὰ καὶ ὁ μακάριος Παμβῶ μοι διηγήσατο, ὅτι ὀχληθείς ποτε ὑπὸ τοῦ τοιούτου δαίμονος καὶ δεόμενος τοῦ Θεοῦ ἤκουσε φωνῆς ἄνωθεν λεγούσης πρὸς αὐτὸν Παμβῶ, Παμβῶ, μὴ ἀθύμει ἐπὶ ἁμαρτίᾳ ἀλλοτρίᾳ, ἀλλὰ τας ἰδίας μερίμνησον πράξεις. τὰς δὲ τοῦ πονηροῦ βλασφημίας ἐπ' αὐτὸν κατάλιπε". Ταῦτα διὰ βραχέων ὡς τέκνοις ἐσήμανα αἰτήσασιν, ὡς ἂν γνοίητε διὰ ποίου τρόπου δυνήσεσθε ἀπαλλαγῆναι τοῦ πονηροῦ. Ἀσπάζομαι ὑμᾶς ἐν Κυρίῳ. Ἀμήν.

---

2 Φίλωνος] σχόλιον εἰς φ. 71· «οὗτος ὁ Φίλων ὁ ἀνωτέρω προμνημονευθεὶς ἐπίσκοπος ὑπῆρχε τοῦ Καρπαθίου, ὅπερ ἐστὶν ἀκρωτήριον τῆς κυπριζούσης Κύπρου, τὸ πρὸς ἀνατολάς· τὸ γὰρ πρὸς δυσμὰς Πάφος καλεῖται, ὡς καὶ αἱ πράξεις τῶν ἀποστόλων δηλοῦσιν· «ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας» [13, 13]. Ἦν δὲ χειροτονία τοῦ μακαριωτάτου Ἐπιφανίου, ὑπεραγαπώμενος ὑπ' αὐτοῦ· ὃν καὶ κατέλιπεν, ἀπιὼν ἐν Ῥώμῃ πρὸς Ὀνώριον τὸν βασιλέα, ἀντέχεσθαι καὶ ἀντιλαμβάνεσθαι τῶν ἀναφερομένων ἐκκλησιαστικῶν πραγμάτων». 4 αὐτοῦ] ἄνωθεν διορθοῦται εἰς «αὐτόν». 5 ἐξουθενεῖν] ἐν τῇ ὥᾳ «γρ. καὶ ἐξουδενοῦν». 6. Ἀλλὰ καὶ κτλ.] ἐν τῇ ὥᾳ· «καὶ τοῦτο τοῦ παναγιωτάτου πάπα καὶ ἀρχιεπισκόπου Πέτρου ἐστὶ τὸ διήγημα· ὁ γὰρ Ἀναστάσιος ὁ ταῦτα λέγων καὶ γράφων πολὺ νεώτερος τούτων ἐτύγχανεν, ὧν ἡγούμενος τοῦ ἁγίου ὄρους Σινᾶ». 8 ἄνωθε.

XVIII.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ

λόγος εἰς τὸν ἅγιον Βάρβαρον.

(Cod. Patriarch. 40, f. 88—104[a]).

1. "Οὐ Βάρβαρος, οὐχ Ἕλλην", ὡς φησιν ὁ ἀπόστολος παρὰ ταυτῃὶ τῇ καινῇ διαθήκῃ, τῷ ἡμετέρῳ δηλαδὴ μυστηρίῳ καὶ κρείττονι, "ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός"· οὐδὲ γὰρ τότε ἦκον εἰς ὁμολογίαν τὴν ἁπλῆν ταύτην τὴν ἀκατάσκευον καὶ τὴν συνάδουσαν αὐτῇ πολιτείαν, τὴν καθαρωτέραν τε καὶ ὑψηλοτέραν, οἱ γλώσσῃ οἱ γένει οἱ νόμοις οἱ ἔθεσιν ἐκ διαμέτρου τυγχάνοντες. Μετὰ τὴν ἀρίστην τήνδε συμφωνίαν τοῦ σωτηρίου κηρύγματος διίστανταί τι τὸ παράπαν ἢ διαφέρονται. Ἀλλ' οἱ διαφωνοῦντες τὸ πρότερον, ὡς οἱ τῶν μουσικῶν ἂν φαῖεν ἐπήβολοι, κατ' ἐναντιωτάτην τάσιν τε καὶ διάστασιν συνάδοντες ἀναφαίνονται μᾶλλον ἢ τὰς τὴν αὐτὴν ἁρμονίαν δεχομένας καὶ συμφωνεῖν λαχούσας συμπάσχειν τε οὗτοι καὶ συνηχεῖν εἴποιεν· τὸ δέ γε θαυμασιώτερον, οἱ τέως τὸν νοῦν χθονιώτεροι καὶ νωθέστεροι τὴν διάνοιαν, λεπτογνώμονες καὶ οὐρανοβάμονες, ἀγχίνοί τέ τινες καὶ πολύνοι, μᾶλλον δὲ νόες αὐτόχρημα, οὐχ ὅτι γε λόγου θᾶττον ἀλλ' ἀληθῶς ἐρεῖν κρεῖττον ἢ ὥστε καὶ εἰπεῖν, ἀναδείκνυνται. Τὸ δ' οὕτως ἔχειν καὶ ἀληθέστατα τῷ τῆς ἀληθείας εἰρῆσθαι μύστῃ, πάνυ πλεῖστοι καὶ κατὰ καιροὺς διαφόρους παρέστησαν. Εἴπερ δέ τις καὶ ὁ νῦν ἡμῖν

1 Πρὸς Κολοσ. 3, 11. 8 τοπρότερον. 4 Οὕτως ἐν τῷ πρωτοτύπῳ «ἀγχίνοί τέ τινες καὶ πολύνοι».

λόγου προβεβλημένος ὑπόθεσις· Βάρβαρος γὰρ τὸ γένος, βάρβαρος τὸν τρόπον, βάρβαρος τὴν ἀπήνειαν — καὶ δῆλον ἐξ ὧν καὶ εἰς κλῆσιν τοῦτό οἱ μόνον ἀντ' ἄλλου τινὸς τῶν ὅσα τὸν καθέκαστα γνωρίζειν εἴωθε — προσηγόρευται.

2. Βάρβαρος τέως ἦν καὶ ἀλλόφυλος ὁ λαμπρὸς οὗτος τοῦ Χριστοῦ μάρτυς, καὶ στεφανίτης ἐκ τῶν ἀγώνων περίβλεπτος. Ὅπως δὲ τοῦτό τε κἀκεῖνο συνάμα, οὐδὲ γὰρ οὐδ' ἄχαρι τὸ διήγημα, τὴν ἀκοὴν ὑπόσχετε καὶ ἀκούσατε, καὶ τὸν ἐξαισίως οἰκονομοῦντα τὰ καθ' ἡμᾶς καὶ λόγοις ἀπορρήτοις τὸ πᾶν διιθύνοντα δοξάσατε τῆς ἀγαθότητος, μεγαλύνατε τῆς δυνάμεως. Ὁ ἐκ μὴ ὄντων τὰ ὄντα παραγαγὼν Κύριος, ὁ ἐκ τῶν λίθων ἐγείρας τέκνα τῷ Ἀβραάμ, οὗτος ἦδη καὶ ἐκ βαρβάρου, οὗτος ἐκ λῃστοῦ, οὗτος ἐξ ἀσεβοῦς ὅσιον ἐν ὁρίοις ἡμεδαποῖς ἀναδείκνυσι, μάρτυρα φανεροῖ καὶ ἐν παραδείσῳ, εἰ καὶ μὴ σὺν ἐπαγγελίᾳ καὶ παραυτά, ἀλλὰ μετὰ πολὺν ἄθλον εἰσάγει καὶ πικρότατον θάνατον· καὶ ὁ λόγος ἔνθεν ἀρξάμενος γνωριεῖ. Φθάνει δέ πως τὰ καθ' ἡμᾶς σκυθρωπά, ἅττα δὴ ἐκ τῶν ἐφ' ἡμῖν εἴωθεν ἡμῖν ἐπιγίνεσθαι, καὶ ἀνακόπτει τὴν περὶ τῶν θειοτέρων καὶ ἡδυτέρων διήγησιν· προχεῖται γάρ μου τῶν ὀφθαλμῶν δάκρυα καὶ τὸν λόγον οὐ μετρίως ἡ λύπη συγχεῖ, οὐ τοῦ μάρτυρος εἵνεκα καὶ ὧν ἐκεῖνος τῷ τέως προσέπταισεν· ἦ γὰρ ἂν οὕτω καὶ Παύλῳ τῷ μεγάλῳ τῶν προτέρων χάριν ἐπαισχυνοίμεθά τε καὶ δυσφοροίημεν καὶ τοῖς κατὰ Παῦλον ἐκ τῶν χειρόνων μετατεθεῖσι πρὸς τὰ βελτίονα. Οὐ τούτων οὖν χάριν, καὶ γάρ πως καὶ ἐπιγάνυμαι τούτοις τὴν μετάθεσιν ἐπιλογιζόμενος· καὶ ὅπως ἐξαισίως μεταπεποίηται ἐκ τῶν χειρίστων μεταβαλὼν πρὸς τὰ βέλτιστα. Ἴσασιν οἱ περὶ τὴν τῶν φυσικῶν ἐσχολακότες ἀκρίβειαν οἷόν τι τὸ τῶν ἐναντίων ἕξεων καὶ ὡς δυσμετάβλητόν τι χρῆμα ἡ ἀμετάβλητον. Οὔκουν· οὐ διὰ ταῦτα, τῆς δέ γ' εὐμεταβόλου καὶ ὀλισθηρᾶς ἡμῶν φύσεως καὶ τῶν συχνῶν ἔνθεν πλημμελημάτων, οἷς τὸν συμπαθῆ παροργίζομεν καὶ πρὸς ἀνυποίστους φεῦ κολάσεις ἐπαίρομεν τὸν αὐτόνυκτον εἰς οἶκτον, τὸν κατὰ φύσιν πλουτοῦντα τὸν ἔλεον. Ἐξ ὧν ἔστιν ὅτε τὰ ἔσχατα κινδυνεύομεν καὶ τὰ ἀφό-

2 ἄλλού τινος. 8 ἀβραάμ. 19 τωτέως. 22 ἐπιγάννυμαι.

ρητα τιμωρούμεθα καὶ ὅ φασι τοῖς ὑπὲρ κατάραν περιτυγχάνομεν, ὁποῖόν τι καὶ βασιλεύοντος Μιχαήλ, Μιχαὴλ ἐκείνου ᾧ Τραυλὸς τὸ ἐπίθετον. Συνῆδε δὲ ἄρα τοῖς τοῦ ὀνόματος καὶ τὰ τῆς ψυχῆς καὶ φερωνύμως ἄγαν ἐκέκλητο, οὐκ εὐθέως οὐδ' ὀρθῶς τε καὶ ὡς ἐχρῆν ἐννοούμενά τε καὶ παραφθειρόμενα· ἢ γὰρ ἂν ταῖς τῶν ἁγίων σεβασμίαις εἰκόσι καὶ ἱεροῖς αὐτῶν ἐκτυπώμασι σύμφωνα ταῖς θείαις τῶν πατέρων γραφαῖς ἐνοῶν καὶ λέγων αὐτός τε τὴν τιμὴν ἀπεδίδου καὶ τοῖς λοιποῖς ἀπονέμειν ἐθέσπιζεν. Ὁποῖον τῷ τότε τὰ πρὸς ἑσπέραν ἐπεπόνθει τῆς ἡμετέρας ἀρχῆς, μᾶλλον δ' ἡ πᾶσα συνεπεπόνθει ἀρχή; Ἦρξε μὲν γὰρ οὗτος κρίμασιν ἀπορρήτοις τοῦ τὰ τοιάδε παραχωροῦντος Θεοῦ, ὃς μόνος καὶ τοὺς λόγους οἶδε καθ' οὓς τά τε ὑπὲρ λόγον τά τε παρὰ λόγον, τὸν ἡμέτερον δηλαδὴ καὶ ἀνθρώπινον, τὰ τοιάδε παραχωρεῖν εἴωθεν· ἐπεὶ δὲ καὶ ἦρξε, κατὰ τῶν θείων καὶ ἱερῶν κανόνων, εἰ καὶ μὴ εὐθὺς ἀλλ' οὐ μετὰ πολὺν τὸν χρόνον, ἰταμῶς ἄγαν ἀπηνηξχύντηκε καὶ ὁμόσε κατὰ τούτων κεχώρηκεν, ἢ μᾶλλον ἑαυτὸν ὥσπερ συγκροτήσας ὁ ἀλιτήριος κατ' αὐτῆς εὐσεβείας εἴτουν ἀληθείας ἀληθῶς εἰπεῖν ἀπηυθαδειάσατο. Ἔνθεν τοι καὶ τὰ δεινὰ παρὰ πόδας—οὐ γὰρ ὅτι γε ἔνδοθεν τὸ κακὸν κορυφοῦται καὶ ἐμφύλιος ὅ φασι πόλεμος ἀνεγείρεται — καὶ Ἄδερ τις, ἄλλος Ἱεροβοὰμ νέος, εἰ καὶ μὴ κατὰ τοῦ τὴν πάρεδρον Θεῷ σοφίαν ηὐλήσατο Σολομῶντος, κατὰ δὲ τοῦ τὰ σκῆπτρα τότε κατέχοντος ἀνοσίως ἀνοσιώτατα κατεπαίρεται· πολλά τε καταβαλὼν καὶ ἀφανίσας, τέλος καὶ αὐτὸς καταβάλλεται καὶ αἰσχρῶς ἀφανίζεται.

3. Οὐ τοῦτο γοῦν μόνον ἀλλὰ καὶ ἔξωθεν μέγας τις ἐγείρεται κλύδων, νοτιωτέρου—ἵνα οὕτω φαίην—σφοδρότερον ἐνσκήψαντος πνεύματος ἢ ἀγρίας τινὸς λαίλαπος ταραξάσης καὶ ἀνακυκησάσης δεινῶς τὰ ἡμέτερα. Ἵνα γὰρ τὸν Βυζάντιον παραδράμω Θωμᾶν τὸν ἐπὶ Κοίλης Συρίας στρατολογήσαντα καὶ τὴν ἐπανάστασιν, ἣν κατὰ τοῦ κράτους πεποίηκε, καὶ ὅσοις ἐπαναστὰς κακοῖς τὰ ἡμέτερα περιέβαλε, τήν τε βασιλίδα, τὴν Κωνσταντίνου

15 ἰταμῶς. 17 ἀλιτήριος. 23 κατέχοντος] ἐν τῇ ὥα προσετέθη «ἢ γοῦν τοῦ γνησίως κληρονομήσαντος Ῥοβοάμ».

λέγω, διαφόροις πλήθεσι περιστοιχισάμενος καὶ πολιορκίαις πολυμηχάνοις ἠνωχληκώς, τῶν ἐγγύς τε καὶ πόρρω πλεῖστα πάνυ καταδραμών· ἵνα ταῦτα παρῶ, ἀλλὰ καὶ ναυστολοῦσιν οἱ ἐκ τῆς Ἄγαρ, τὸ δυσσεβέστατον ἔθνος καὶ ἀπηνέστατον. Καὶ πρῶτα μὲν τὰς περιφήμους τῶν νήσων—τί γὰρ τὰς ἄλλας δεῖ λέγειν;—Κρήτην τε καὶ Σικελίαν καὶ τὰς ἐκ κύκλου παρωνομασμένας, ἴσως διὰ τὴν πρὸς ἀλλήλας θέσιν καὶ τὴν ἐπ' αὐταῖς εἰ τύχοι τῶν νηῶν περινόστησιν, κραταιότατα παρεστήσαντο καὶ τό γε βαρύτατον συχνοὺς τῶν ζωγρηθέντων τοῦτο μὲν τῇ ἐκ τῆς σφετέρας αὐτῶν εὐτυχίας ἀπάτῃ, τοῦτο δὲ τῇ ἐκ τῆς αἰχμαλωσίας ἀνάγκῃ, πρὸς τὴν ἰδίαν φεῦ θρησκείαν μετέστησαν. Ὅθεν καὶ ἐπαρθέντες κατὰ τῶν παραλίων ἐκ τῶν ἐναλίων ὅλῳ θυμῷ καὶ θράσει ἀκατασχέτῳ κεχωρήκασι πόλεων, ἵν' ὡς ἔκ τινων ὁρμητηρίων κατὰ πάσης ἀφεθεῖεν Εὐρώπης καὶ τὰ πλείω τῶν ἡμετέρων χειρώσαιντο. Ὁ μικροῦ δεῖτα καὶ ἀπέβησκεν· ἐκ μὲν γὰρ τοῦ εὐθέος λαμβάνονται Νικοπόλεως, ἥτις ἐγχωρίως Μάζα κατωνομάζετο, ἐκ δὲ τῆς τῶν Ἑλλήνων καταπλοίας καὶ Ναύπακτος ἤκουσεν· εἶτα κατ' Ἀμβρακίας ὁρμήσαντες, ἧς πέρι λόγος οὗτοι τοῖς παλαιτέροις βραχύς— πόλις γὰρ αὕτη τῆς Αἰτωλίας περίφημος, πλεῖστα πρὸς συγγραφὴν τοῖς τὰ ἀρχαιότερα ἱστορήσασιν ἐκ τῶν ἐν αὐτῇ καὶ περὶ αὐτὴν χορηγήσασα — ταύτῃ μετὰ πολλῆς ὅτι παρασκευῆς μετὰ πολλοῦ τοῦ θράσους προσβάλλουσι, τί μὲν εἰς τειχομαχίαν οὐκ ἐπαγόμενοι, τί δ' οὐ μετὰ τὸ προσβαλεῖν ἐφευρόντες. Ἀλλ' οὔμενοῦν οὐδ' οἱ ἐντὸς ἀντιπαλαμᾶσθαι γενναιότερον ἠμελήκασι, παντοίας ἀντεπινοησάμενοι μηχανὰς καὶ διαφόροις τρόποις ἀποκρουσάμενοι καὶ δείσαντες, εἴπερ ἄλλοι τινὲς πώποτε, ὡς ἐφευρετικὸν ἡ ἀνάγκη καὶ εὐμηχάνους ἡ βία ποιεῖ. Ἐπεὶ δὲ πρὸς τὸ πλῆθος καὶ τὴν ἰσχὺν τῶν πολεμίων ἀπηγορεύκασι, συμμαχικὸν πρὸς τῶν ἀστυγειτόνων μετεκαλέσαντο καὶ οἱ προθύμως ξυμμαχήκασι, καὶ δὴ τοὺς τέως καὶ μόνης ἀπὸ θέας φοβεροὺς ἐκείνους πλήσαντες δέους ἀπήλασαν.

4. Ἐν κρότοις τοίνυν Ἀμβρακιῶται, ἐν εὐθυμίᾳ ἐν χαρμονῇ

26 ἄλλοι τινες.

καί γε ἐν παντοία φιλοφροσύνῃ τὸ ἐπικουρικόν, ἀλλ' ἐπιχολώτερον ὄντως τὸ βάρβαρον καὶ Βακτρίας ὅ φασι καμήλου μνησικακώτερον. Ἀναλαμβάνουσιν ἑαυτούς, κατὰ τῶν συμμαχησάντων ἀναζευγνύουσι, πρηστῆρος δίκην σφίσιν ἐμπίπτουσι. Δραγαμεστὸς ἡ πόλις ὠνόμαστο· τὰ δὲ τῶν πόλεων τὰ δὲ τῶν χωρῶν, ὡς ἴσμεν. ὀνόματα πλειστάκις τῷ χρόνῳ διαφόροις ταῖς αἰτίαις μεταπεποίηται καὶ βραχέα πάνυ τὴν ἀρχαιοτέραν κλῆσιν παρακατέχουσιν. Ὅπως τοίνυν ἡ πόλις ἐκαλεῖτο τὸ πρότερον, οὐκ ἔγνωμεν εἰς ἀκρίβειαν· Δραγαμεστὸν δ' ἐγχωρίως καλεῖσθαι μανθάνομεν. Πλὴν ἀλλ' ὡς βριαρῶς οὕτως οἱ βάρβαροι ἐπιπέσειεν, ἤκουσι καὶ παρὰ σφᾶς Ἀμβρακιῶται συστησόμενοι πρὸς τὴν μάχην καὶ τὰ ἴσα ἀντευποιήσοντες. Ἀλλ' οὐδὲν οὐδόλως ὀνήσαντες ἴσχυσαν· οὐδὲν γὰρ πρὸς τὴν ἐκείνων βίαν ἐφάνησαν, θυμῷ δεινῷ στρατηγουμένων τῶν δυσμενῶν καὶ ἀκαθέκτως παρορμωμένων εἰς ξυμβολάς, αὐτήν τε ζωὴν ἀναπεπεισμένων ὅσα ἡγεῖσθαι καὶ τὸ μηδέν. Ἔνθεν καὶ ἐν ἀπόρῳ γενόμενοι, τό τε αὐτόχθον τό τε ξυμμαχικόν, πρὸς τὸν μόνον ἐπὶ παντὶ ἀβουλήτῳ ἐπὶ παντὶ δυσχερεῖ βοηθὸν ἰσχυρόν, παράκλητορα δεξιόν, τὸν μόνον δυνατόν, τὸν μόνον ἀγαθὸν Θεὸν καταφεύγουσι καί γε τὴν τεκοῦσαν αὐτὸν ἄνθρωπον ὑπὲρ ἀνθρώπων γενόμενον, τὴν πάναγνον, τὴν συμπαθῆ, τὴν ἐξ ἡμῶν ἀφορισθεῖσαν ὑπὲρ ἡμῶν καὶ εἰς κατοικίαν ἐκλεγεῖσαν Θεῷ· μόνην γὰρ ἐξ ἁπασῶν ἠρετίσατο, μόνην τῶν ἀπὸ καταβολῆς κόσμου δοχεῖον εὑράμενος ἄξιον. Καὶ γοῦν τὸ τοῦ Σταυροῦ σημεῖον, δι' οὗπερ ὁ ἀόρατος ἐχθρός, ὁ πολυμήχανος ἢ δυσμήχανος στρατηγός, αὐταῖς δυνάμεσι καταβέβληται, καὶ τὴν τῆς Θεοτόκου σεβασμίαν εἰκόνα προβαλόμενοι μετὰ πίστεως, οἵαν γε πλουτεῖν τοὺς καὶ ὄρη μεθιστάνειν βουλομένους ὁ Σωτὴρ ὑποτίθεται, τοῖς ἀτρέπτοις τὸ πρὶν καὶ πρὸς τοὔπισθεν ἀμεταβάτοις προσβάλλουσι· καὶ προσβαλόντες — ὦ τῶν τοῦ Θεοῦ τεραστίων, ὦ τῆς ἀφάτου τοῦδε δυνάμεως — τρέπουσι παρευθὺς οἱ τέως περιδεεῖς κατὰ λαγωοὺς τοὺς θρασεῖς ὑπὲρ λέοντας, οἱ φεύγοντες ἀμεταστρεπτὶ τοὺς ἀκαθέκτως διώκοντας, ἀοράτων σφίσι συναιρομένων δυνάμεων, ὡς ἐκ

8 τοπρότερον. 10 σφᾶς. 22 τοπριν.

τῶν παραδόξων ἔργων ἐμαρτυρεῖτο, ὡς ἐκ τῶν ἑξαισίων τροπαίων ἐδείκνυτο· ἄρδην γὰρ ἀπολώλασιν, οἳ μὲν ἐπὶ χέρσου σφαγέντες, οἳ δ' ἐναπωσθέντες τοῖς λευγαλέοις κύμασι καὶ ὃν ἐξέφευγον θάνατον ὑποστάντες πικρότερον. Τότε δὴ τότε καὶ ὁ θαυμαστὸς οὗτος ἐναπολέλειπται Βάρβαρος, ὃς εἰ καὶ μὴ φυγών—τοῦτο δὴ τὸ περὶ τοῦ θεοπάτορος εἰρημένον Δαυὶδ—ἀλλὰ λαθὼν σέσωσται, τὴν κρείττω τούτω σωτηρίαν διοικονομοῦντος ἐντεῦθεν Θεοῦ· ἐναποκρυβεὶς γὰρ ἀμπέλου θριγκῷ τὸν φόνον διέφυγεν ὁ εἰς νέωτα χρηματίσας εὔφορος ἄμπελος γλεύκους γέμουσα, πίστεως, προσθήσω δὲ καὶ ἐλαία κατάκαρπος ἀφθόνως βλύζουσα ἔλαιον, ἔλαιον ὄντως ἀγαλλιάσεως, περὶ οὗ δὴ προϊὼν ὁ λόγος ἐρεῖ.

5. Νῦν δ' ὁπόθεν ἦν ἀναγραπτέον. Ἦν μὲν ἐκ Βαρβάρων, ὡς ἡ περὶ αὐτοῦ φησιν ἱστορία καὶ ἡ μεθ' ὧν συγκατείλεκτο στρατιὰ μαρτυρεῖ, ὡς δὲ λόγος αἱρεῖ καὶ πόλεως οὕτω παρωνομασμένης, περί που τὰ τῶν Ἄφρων ὅρια τυγχανούσης. Ἀλλὰ βαβαὶ τῆς τοῦ ἐχθροῦ καθ' ἡμῶν ἐπιθέσεως! Μετὰ τὴν βαρεῖαν ἥτταν ἐκείνην, μετὰ τὴν καὶ παρὰ προσδοκίαν ζωῆς ἐπιτυχίαν, τὸν ἀνήμερον καὶ αὐθις βίον ἠσπάσατο καὶ πάνυ πλείστους ἀφείλετο τῆς ζωῆς· προσέβη γὰρ τοῖς βουνοῖς, ταῖς λόχμαις ἐφήλατο καὶ τοὺς ὁδίτας διαφθείρων οὐκ ἔληγε. Καὶ πρῶτα μέν τισιν ἀγρόταις καὶ ἀγροτικῶς ἐσταλμένοις παροδεύουσιν ἐπιτίθεται, καὶ οὐχ ὅτι τὰς πήρας ἀφαιρεῖται καὶ τῶν ἐν αὐταῖς προαποστερεῖ, ἀλλὰ καὶ αὐτῆς στερίσκει τούτους ζωῆς· ἀνηλεῶς γὰρ τοὺς δειλαίους πεφόνευκε. Τὰ δ' ἐντεῦθεν τί χρὴ καὶ λέγειν ὅσους ἀνεῖλεν, ὅσας μιαιφονίας εἰργάσατο, λέων ὥσπερ ἐναλλόμενος ἐκ δρυμοῦ τοῖς οὐκ εὐτυχῶς διοδεύουσι, μόνον οὐ τῶν αἱμάτων πίνων, μόνον οὐ παραγευόμενος τῶν σαρκῶν; τῷ γὰρ τῆς ψυχῆς ἀγριωτέρῳ καὶ τὸ τοῦ σώματος ρωμαλέον συνέδραμε. Καὶ θὴρ αὐτόχρημα ἦν, καὶ θεήλατον κακὸν ἐνομίζετο· κἂν εὐχερῶς τις ἔχων μυθολογεῖν, ἄλλην τινὰ καὶ παρ' Αἰτωλοῖς αὐτὸν ἐτερατεύσατο Χίμαιραν.

6. Πλεῖστα δ' οὖν ὅρη διαμείψας Αἰτωλικὰ ἀνὰ τὸ Νύσαν οὕτω καλούμενον γίγνεται. Ἐν τῷδε καὶ ναὸς τῷ μεγαλομάρτυρι

17 παραπροσδοκίαν.

ἔδρυτο Γεωργίῳ, ἐν ᾧ ἐτιμᾶτο μὲν ὁ λαμπρὸς ἀγωνιστής, οὗ καὶ ἐπώνυμος ὁ σηκός, ἐλατρεύετο δ' ἀληθῶς ὁ ἀθλοθέτης καὶ στεφοδότης Χριστός. Τῶν τις καὶ γὰρ Νικοπολιτῶν, τὴν ἀξίαν πρεσβύτερος, τὴν ἀρετὴν εἰ καὶ μὴ ἄλλοις Χριστῷ γοῦν καὶ τῷ μάρτυρι γνωστὸς καὶ δεκτός,—ἀλλ' ἐνθαδὶ τοῦ λόγου γενομένῳ φρίκη μοι καὶ δέος ἐγγίνεται καὶ οὐχ ἥκιστα χαρά τε καὶ ψυχῆς ἀγαλλίασις· χαίρω γὰρ τρέμων καὶ δεδιὼς γέγηθα τὴν τῶν θείων μυστηρίων χάριν ἐννοούμενος καὶ οἵων ἀγαθῶν οἱ εὐσεβεῖν ἠλεημένοι κατηξιώθημεν. Παραγένοιτο μὲν ἔθος ὥσπερ αὐτῷ ὁ θεῖος ἐκεῖνος τῶν ἱερῶν τελεστὴς καὶ λειτουργεῖν ἐπιβάλοιτο τῷ Θεῷ. καὶ παρευθὺς ἐφίσταταί οἱ ὁ τοῦ Σατὰν οὗτοσὶ τρόφιμος καὶ θερμὸς εἰσέτι θεράπων αὐτοῦ, θῦσαι ὀργῶν τὸν θύοντα θυσίαν τὴν ζωηφόρον τε καὶ ἀναίμακτον. Ἀλλ' ὦ τῶν σῶν τεραστίων, Λόγε Θεοῦ, ὦ τῆς σῆς ἀρρήτου φιλανθρωπίας καὶ περὶ τὸ ἡμέτερον γένος κηδεμονίας — αὐτίκα τὸ εἰσιέναι τὸν θύτην καὶ ναζιραῖον ἐκεῖνον, ἑκάτερα γὰρ ἐκοσμεῖτο καὶ ἑκατέραν ἀξίαν ἐλάμπρυνε, καὶ ὁ Βάρβαρος ταῖς πύλαις παρεστὼς εὕρηται, ἐφ' ᾧ γε ὡς ἔφην τὸν εὑρεθέντα θύσειν τε καὶ ἀπολέσειν, τὰ ἐκείνου τε συλήσειν καὶ νοσφίσασθαι τὰ ἀλλότρια. Ἀλλ' ὁρᾶ θαυμάσια οἷα καὶ βλέπει ἐξαίσια· πρῶτα μὲν γὰρ τὸν πρεσβύτερον καὶ περὶ αὐτὸν βρέφος περικαλλὲς ἀστεῖον περιπολεῦον τὸ ἄδυτον. Ἦ δῆλον ὅστις γε ἦν ὁ ὁραθεὶς ὡσεὶ βρέφος· ὁ ὑπὲρ ἡμῶν καὶ βρέφος γενόμενος, θύτης τε καὶ θῦμα ἐθελουσίως, ὃς καὶ πάντα τὰ ἡμῶν, τὰ κατὰ φύσιν λέγω, ὑπὲρ ἡμῶν κατεδέξατο, ὁ φύσει Θεός· Θεοῦ γὰρ λόγος καὶ ἐνυπόστατος καὶ φύσει γεγονὼς ἄνθρωπος Χριστὸς Ἰησοῦς, τὸ μέγα καὶ σωτήριον ὄνομα. Ἐπεὶ δὲ καὶ ἐκτελεῖν τὰ τῆς ἱερᾶς ἁγιστείας ὁ σεβάσμιος ἐκεῖνος ἀνὴρ ἄρξαιτο—Ἰωάννης τοῦτο γε ὄνομα, καὶ τὰ εἰθισμένα μέλψαντι καὶ ὑμνήσαντι καιρὸς ἦν καὶ τοῦ ἀδύτου προελθεῖν, ἐφ' ᾧ περιαγαγεῖν ὡς νενομισμένον καὶ ἀναδεῖξαι τὰ Ἅγια, τῇ θεία τε αὖθις ἐγκαταθεῖναι τραπέζῃ καὶ τῶν μυστικωτέρων ἀπάρξασθαι,—ὁρᾷ μὲν τὸν αὐτὸν καὶ αὖθις τόπον περιὼν τὸ θαυμαστὸν ἐκεῖνο παιδίον, τὸ ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς

21 ἦ] ἦ. 23 ὃς] ὡς.

τῶν ἀνθρώπων, ὡς γέγραπται, τεθέαται δὲ καὶ νεανίας δύο ὡς λευκὰ μὲν ἐνδεδυμένους, ἡλίου δὲ δίκην μᾶλλον δὲ καὶ ὑπὲρ ἥλιον λάμποντας· οἳ καὶ ἑκατέρωθεν τὸν θύτην ὑπήρειδον καὶ τῆς γῆς ὡσεὶ δύο πήχεις ἐτίθουν μετέωρον. Ποιεῖ ταῦτα τὸν ἄτρεστον, συστέλλει τὸν ἀκατάπληκτον καὶ οὐχ ὅτι σωφρονίζει τῶδε τὸ θυμικόν, ἀλλὰ καὶ καθίστα τὸ λογιστικόν. Καὶ γοῦν σκέψιν ἐμβάλλει τοῦ πράγματος καὶ τίνα γε τὰ θεαθέντα προάγει περιεργάζεσθαι, καίπως ὑψηλότερόν τι καὶ ἀληθέστερον ὑποβάλλει διανοήσασθαι, ὡς ἄρα Θεῷ ταῦτα τελοῦνται καὶ Θεὸς ἐφιστάμενος ἐνεργεῖ. Ὡς δὲ καὶ τέλος τὰ τῆς ἱερᾶς θυσίας ἐλάμβανε καὶ τὸν ἅγιον ἄρτον, τὸ ἅγιον σῶμα Χριστοῦ, ὁ ἱερεὺς ὑφῶν ἦν, τοῖς προφανεῖσι καὶ πάλιν ἐωρᾶτο νεανίαις ὑπανυφούμενος· τοῦ φιλανθρώπου τάδε τερατουργίαι Θεοῦ, τοῦ ὀφθέντος ἐν βάτῳ Μωσεῖ, τοῦ πλήξαντος Παῦλον καὶ σωφρονίσαντος καὶ μυριάδας δι' ἐκείνου πρὸς ἑαυτὸν ἐπιστρέψαντος. Ἐπεὶ δὲ καὶ εἰς τέλος ὁ θύτης τὰ τῆς ἱερᾶς ἤγαγε θυσίας καὶ τοῦ νεὼ προελήλυθε, τόν τε Βάρβαρον ἐώρακεν ἄγριον ὁρῶντα, ἀγριώτερον βοῶντα, ἄναρθρά τε καὶ ἄσημα τὸ πλέον φθεγγόμενον· βαρβαρικῶς γὰρ ἐξηχεῖτο καὶ τὸ διὰ χρόνου ἐλληνίσαν αὐτῷ τῆς γλώττης, καὶ θροῦς τις ὡσπερεὶ θηριώδης καὶ δύσηχος φωνοῦντος αὐτοῦ προεφέρετο. Δεδειλίακε μέν, οὐ καταπέπτωκε δέ· οὐδὲν γὰρ ἄλλο φησὶ πρὸς αὐτὸν ἀλλ' ἢ τὸ "Ἄνες μικρόν, ἄνες ἐπ' ὀλίγον, ὡς ἂν ὑπὲρ τῶν ἐμῶν σφαλμάτων δυσωπήσω Θεόν· ἄνες ὑμνῆσαι τὰ τελευταῖα καὶ ὑπὲρ τῶν μελλόντων καὶ αἰωνίων διὰ βραχέων τὸν συμπαθῆ τὸν εὐσπλαγχνον ἱλεώσασθαι, τάχα γὰρ ἂν καὶ ἐν ὀλιγίστῳ τουτῳὶ χρόνῳ καὶ ἐν βραχυτάτῃ χρόνου ροπῇ, ὧν ἐν πολλοῖς τοῖς ἔτεσιν ἐξημάρτηκα, τὴν ἄφεσιν λάβοιμι". Ἀλλ' ὦ τοῦ τὰ πάντα θαυμασίως οἰκονομοῦντος Θεοῦ καὶ ὑπὲρ λόγον μεταποιοῦντος ὅπερ ἂν βούλοιτο καὶ πρὸς τὸ κρεῖττον μεταβιβάζοντος! Οὐχ ὅτι γε καιρὸν ἐνδίδωσι προσευχῆς, ἀλλὰ καὶ προάγεται περὶ τῶν ὁραθέντων πυνθάνεσθαι, τίνες τε οἱ νεανίσκοι οἱ ἔνδον ὄντα μετεωρίζοντες καὶ ποῦ κεκρύφαται τοῦ νεώ. Ὡς δ' οὗτος μηδὲν εἰδέ-

18 τοπλέον. 22 [illegible]

ναι περὶ αὐτῶν ἰσχυρίζετο, ὁ δὲ τοὺς χαρακτῆρας καὶ τὰς ἰδέας ἐγνώριζε καὶ τὰ περὶ αὐτῶν παρίστανεν ἀκριβέστερον, "ἄγγελοι, φησίν, οὗτοι Θεοῦ· ἄγγελοι ἀληθῶς, ἄνθρωπε, ὅσα με ἐκ τῶν λόγων ξυνεῖναι τῶν σῶν". Καὶ ὃς εὐθὺς "κἀγὼ τίνι τρόπῳ ἂν ἱλεώσωμαι τὸν Θεόν, εἰ βουλήσομαι;"—"Ὑπὲρ ἁμαρτωλῶν, φησί, κενώσας ἑαυτὸν ὁ Θεὸς τέλειος κατὰ πάντα γέγονεν ἄνθρωπος καὶ ὑπὲρ τῶν κατακρίτων ἡμῶν καὶ σταυρὸν καὶ λόγχην ὑπέμεινε. καὶ σὺ διστάζεις τὴν σωτηρίαν; Ἐπ' οὐδενί, εὖ ἴσθι, χαίρει Θεός, ὡς ἐπὶ ἁμαρτωλοῦ μετανοίᾳ, πλανωμένων τε ὁδηγίᾳ καὶ μεταμελομένων ἐπιστροφῇ".

7. Ταῦτα καὶ πλείω ἐπισυνείρας, συχνά τε τῶν τῆς παλαιᾶς ἱστορίας ἀναλεξάμενος, ὅσα δηλαδὴ περὶ τοῦ ἀρχαίου Λάμεχ, ὅσα τε αὖθις περὶ τοῦ εἰδωλολατρήσαντος ἱστόρηται Μανασσῆ, καὶ οὐχ ἥκιστα τῶν τῆς νέας, ἐφ' οἷς τὸν τῆς παραβολῆς τελώνην παρεισεκύκλησε καὶ τὸν ἐπὶ σταυροῦ λῃστὴν παρεισήγαγε καὶ τὴν αὐτοῦ διὰ μόνης ὁμολογίας ἐν τῷ παραδείσῳ αὐθωρὸν εἴσοδον ὑπηνίξατο, καὶ ἰσχυρισάμενος ὡς μετανοίᾳ πᾶσα ἀφίεται ἁμαρτία καὶ τῷ τοῦ βαπτίσματος χρίσματι, μᾶλλον δὲ φάναι χαρίσματι, τέλεον ἀφανίζεται καὶ ὅσα καὶ τὸ μηδὲν κρίνεται, μαλάσσει τούτοις τὸν ἀστεμφῆ, κάμπτει τὸν ἀκαμπῆ· δάκρυα γὰρ κρουνηδὸν προχέας τῶν ὀφθαλμῶν ὁ δάκρυα πολλάκις περιιδών, μᾶλλον δὲ συχνοῖς συχνὰς δακρύων ἀφορμὰς παρασχόμενος, καὶ τὰ πιστὰ δοὺς ἐνθένδε τῆς μεταθέσεως μυεῖται τὰ ὑψηλότερα, τὴν μακαρίαν ὁμολογεῖ Τριάδα καὶ Κανδάκης τις ἄλλος καθαπερεὶ βαπτισθῆναι ζητεῖ καὶ βαπτίζεται· τυχὸν γὰρ οὕτω καὶ ποταμός, ὡς ἐπ' ἐκείνου, παρεύρηται ὅρος παραρρέων τὸ παρακείμενον. Ἀλλ' οὐ μέχρι τούτων ἵσταται, οὐδ' ἀρκεῖται τῷ δωρεὰν σχεῖν τὸ βάπτισμα καὶ τὸ φώτισμα λαβεῖν χάρισμα καὶ τῶν ἁγιασμάτων προῖκα τυχεῖν· ἀλλὰ καὶ παρ' ἑαυτοῦ τοὺς ἀξίους ἀντεισενεγκεῖν πόνους οἴεται δεῖν. Ὅθεν καὶ κείρεται τὴν κόμην καὶ πρὸς τῷ τὸν παλαιὸν ἄνθρωπον τὸν τῆς ἁμαρτίας δήπουθεν ἀποδύσασθαι, τὸν νέον τε καὶ κατὰ Θεὸν ἐνδύσασθαι, καὶ τὴν στολὴν ἀμείβει καὶ ἀντ' ἐνδυμάτων βαρβαρικῶν, λῃστρικῶν δ' εἰπεῖν ἀληθέστερον, κώδιον

ἀμφιέννυται οὐ κρυπτῶν τὸν λύκον, τοῦτο δὴ τὸ τῆς παροιμίας· τὴν δὲ θείαν δεικνὺς ἀλλοίωσιν καὶ βεβαιῶν ὡς πρᾶός τις ἀμνὸς ἐκ θηρός, ζήλῳ τοῦ ὑπὲρ ἡμῶν ὄντος ἑαυτὸν εἰς σφαγὴν καὶ οὐκ ἐρίσαντος ἐπὶ τὸν σταυρὸν ἀγομένου οὐδὲ κραυγάσαντος, τῇ ἱερᾷ τῶν χριστωνύμων ποιμνῃ συγκαταλεγῆναι προείλετο. Ὁ δὲ μεῖζον, καὶ πεδεῖται χεῖρας ἅμα καὶ πόδας βαρυτάτοις ὅτι κλοιοῖς, καὶ ἐξαρτᾶται τούτῳ τοῦ τραχήλου σειρὰ τὴν κεφαλὴν συγκατακλίνουσα ταῖς χερσί. Ταῦτ' ἄττα καὶ γὰρ ὁ κατὰ Θεὸν ναζιραῖος Ἰωάννης αὐτοῦ κατεδίκασεν ἢ ἀληθέστερον εἰπεῖν τοιούτοις αὐτὸν εἰκαίωσεν, ἐκόντα καὶ γὰρ καὶ συχνὰ ὑπὲρ τοῦδε καθικετευσάντα· τὸ δέ γε θαυμασιώτερον καὶ οὐ μετρίας τοῖς πιστοῖς χαρᾶς πρόξενον, καὶ ἐκ τῶν οἷς πρὸς σφαγὰς ἐχρῆτο καὶ οἷς ὀργάνοις τῷ ἀλόγῳ καθυπηρετεῖ θυμῷ, κεχαλκεύται τὰ δεσμὰ καὶ ἡ ὁλοσωμάτος κατασχεσις, ἡ ὁλομελὴς μᾶλλον εἰπεῖν συμπιεσις τε καὶ συντηξις, κατεσκεύασται. Ὄντως πρὸς τὸν ἀρχέκακον ἀντιπαλαμωμένῳ Σαταν καὶ εἰς νοῦν ἐπελήλυθε καὶ εἰς πέρας ταῦτα προβέβηκεν, ὃν' ἅπερ ἐκεῖνος κατ' αὐτοῦ δεινῶς εὐράμενος ἐγχειρίσειεν, οὗτος ὑπὲρ ἑαυτοῦ σοφώτατα μεταμείψας τρόπον ἄλλον μεταχειρίσαιτο καὶ δι' ὧν ὠθεῖτο πρὸς τὴν ἀπωλειαν, δι' αὐτῶν δὴ τούτων ἀναβραμεῖται πρὸς σωτηριαν, τὴν στενὴν ὄντως βαδίσαι καὶ τεθλιμμένην καὶ ἀπαγουσαν εἰς ζωὴν προελόμενος, δείξειέ τε σαφῶς ὡς ὅλῃ ψυχῇ τὸν δεινὸν Βελιαρ ἐμίσησε, τὸν ἀποστάτην καὶ τύραννον τάς τε πονηρὰς αὐτοῦ δυνάμεις ἀπέφυγε, τῶν δεινῶν μηχανῶν τῶν συχνῶν σκαιωριῶν αὐτῷ στρατηγετῇ τὴν στρατιαν ἀποστραφεὶς τε καὶ βδελυξάμενος.

8. Καθαρᾷ δὲ καὶ εἰλικρινεῖ τῇ διαθέσει πρὸς τὸν κοινὸν δεσπότην καὶ βασιλέα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἠντομόλησεν, ὃς ἑαυτὸν ἀπαρνήσασθαι τὸν ἀκολουθῆσαι τῷδε βουλόμενον ἐνετείλατο. Ἀλλ' ἦν οὕτω δέσμιος ἐν Χριστῷ ὁ νέος τοῦ Χριστοῦ μαθητὴς καὶ προσφάτως μὲν τούτῳ μαθητευθείς, πάνυ δ' εὐθυμως τοὺς πειρασμοὺς κατ' ἐκείνους δὴ τοὺς πρώτως ἀκολουθήσαντας ὑποστῆναι προθυμηθείς, θερμῇ τε προθέσει καὶ ζήλῳ

8 ταυταττα. 26 καθαρα || εἰλικρινει.

περικαεῖ τὴν σάρκα τῷ πνεύματι δουλαγωγῆσαι προθέμενος· καὶ ἦν οὐκ ἐπ' ὀλίγον τριῶν δὲ ὅλων ἐτῶν δέσμιος τοῖς ὄρεσιν ἐναλλώμενος, ταῖς ὥραις ἐκκείμενος καὶ τῶν ἐν ἑκατέροις ἀνιαρῶν ἐμφορούμενος, τοῦτο μὲν λίθων προσκόμμασι θηρῶν τε καὶ ἑρπετῶν προσβολαῖς τε καὶ συναντήσεσιν ὀδυνώμενός τε καὶ συντριβόμενος, τοῦτο δὲ θάλπει καὶ νιφετῷ πιεζόμενος—τὰ δεινὰ ταῦτα καὶ ἀνθρωπίνῃ φύσει δυσφόρητα, ἐῶ γὰρ εἰπεῖν ἀφόρητα καὶ ἀνύποιστα — κτήνους δίκην βαδίζων ἢ ἕρπων εἰπεῖν ἀληθέστερον, κτῆνος ὥσπερ μεταλαμβάνων τροφῆς (αἱ παρευρισκόμεναι αὖτη βοτάναι) καὶ παραγευόμενος ὕδατος ἡνίκα ποτὲ αὐτομάτως ῥέοντι περιτύχοι καὶ παροδικῶς λάψειεν. Ἆρ' οὖν οὐ προσηκόντως ἂν καὶ οὗτος τὸ τοῦ Δαυὶδ εἰρήκει πρὸς τὸν Θεὸν "κτηνώδης ἐγενήθην παρὰ σοί, κἀγὼ διὰ παντὸς μετά σου", προστιθεὶς ἴσως τὸ "ἀπὸ τοῦδε", διὰ τὴν τῶν προτέρων δηλαδὴ μνήμην καὶ τὸν ἐπ' ἐκείνοις μετάμελον; καὶ λίαν ἀληθῶς προσφορώτατα. Ἀμέλει τοι καὶ εἰ μὴ λόγῳ ἔργῳ δ' ὥσπερ ἀποκρινάμενος ὁ Θεὸς "ἄγε" φησὶ "καὶ μετάβηθι· ἰδὼν γάρ" φησὶν "εἶδον τὴν σὴν κάκωσιν· ἀτενῶς πρὸς ἐμὲ βλέψαντος καὶ δυσφορεῖν καρτερῶς ὑπομείναντος, δεῦρο γοῦν καὶ εἰς τὴν ἐπηγγελμένην τοῖς μακαρίοις κατοικίσθητι γῆν, γλυκυθυμίαν πηγάζουσαν αἰώνιόν τε καὶ ἄφθονον". Καὶ δὴ μεθιστᾷ καὶ ὁ τρόπος οἷος ἐξαίσιος, μέγα τι τῶν αὐτοῦ κριμάτων διασαφῶν· παραχωρεῖ μὲν γὰρ Θεὸς εὐδοκῶν καὶ τὸ ἀνάπαλιν εὐδοκεῖ, καὶ λόγοι παραχωρήσεως ἔπονται καὶ συναναφαίνονται, μόνοις δὲ ξυνετὰ τὰ ἐν τούτοις ἀπόρρητα τοῖς τῶν θείων μυστηρίων λεπτογνώμοσιν ἑταστὰῖς καὶ θείαις ἐφιεμένοις οἰκονομίαις φιλοχωρεῖν, δόξαν ὁμοῦ καὶ διάνοιαν ὑπερβαίνουσι καὶ μόνου γινομένοις τοῦ νοῦ.

9. Καὶ οὐχ ἁπλῶς οὕτωσί. Τὴν δὲ κατὰ φύσιν τούτου λαβόντος ἐνέργειαν, ὑπ' οὐδεμιᾶς τε ἄλλης ψυχικῆς παραποδιζομένου δυνάμεως, τότε δ' οὖν ἀκούσιον φόνον παραχωρεῖ, ἵν' ὁ τό γε εἰς αὐτὸν ἧκον ὅσιος πολυχρόνιος καὶ μάρτυς τῇ προαιρέσει πολύαθλος, — ἐπ' ἔτεσι γὰρ τρισὶ καὶ μικρόν τι πρός, πολλὰ δέ φασι τὰ τρία σοφοί, τῇ ἀνυποίστῳ προσταλαιπωρῶν ἣν ἐρπύσει καὶ

2 ἐπολίγον. 10 ηνίκα ποτε. 14 τοιαποτοῦδε.

πρός τ' αἰσθητοὺς πρός τε νοητοὺς θῆρας ἀγωνιζόμενος καὶ τὰς ἐξ ἀμφοῖν προσβολὰς καὶ τὰ ἐκ τῶν προσβολῶν δεινὰ ὑφιστάμενος. Ἵν' οὖν οὗτος κατ' εὐδοκίαν τύχοι τοῦ ὀρεκτοῦ καὶ παρ' αὐτῷ Θεῷ γένοιτο ὅσιος ὁμοῦ καὶ μάρτυς δεχθείς, λαμπρός τε λαμπρῶς τοῖς ἐν ἑκατέρῳ τάγματι συγκαταλεγεὶς συνευφραίνοιτο αἰωνίως καὶ συναγάλλοιτο, παραχωρεῖ Θεὸς καὶ ὁ τοῦ Θεοῦ λάτρις φονεύεται. Ἔτυχόν τινες εἰς θήραν ἐξιόντες — τῶν τῆς Νικοπόλεως ἦσαν οὗτοι — φαρέτρας ἐπηρμένοι, διηγκαινισμένοι τὰ τόξα, προκεχειρισμένοι τὰ βέλη καὶ πρὸς βολὰς ηὐτρεπισμένοι τὰς δεξιάς· οἱ καὶ ἕωθεν εἰς ἑσπέραν θηρεύοντες "πολλά τε" τὸ τῆς ραψωδίας "ἄναντα κάταντα ὀχμια" διαδραμόντες καὶ φονῶντες καθ' ὧν ἀπετύγχανον, καὶ οἷον διψῶντες αἵματος πιέσθαι, ἄλλως τε γὰρ καὶ δεδιψήκεσαν ἐκ τῆς πανημερίου περιπλανήσεως, τῆς ὥρας ὀψέ, σκότους ἄρτι βαθέος τὴν καθ' ἡμᾶς περισχόντος οἰκουμένην, τῷ κατὰ θῆρα μὲν βαίνοντι (τὰ γὰρ τῶν ποδῶν καὶ χεῖρες ἐνεργεῖν ἢ μᾶλλον πάσχειν τούτῳ κατεδικάσθησαν καὶ τετράπουν μετεποίουν ἐκ δίποδος), κατὰ δὲ τὸν πρὸς ἀλήθειαν ἄνθρωπον τὰ ἄνω ζητοῦντι καὶ πρὸς τὰ ἐκεῖσε διὰ παντὸς βλέποντι, τῆς παραρρεούσης πιόντι πηγῆς καὶ ἐπανιόντι περιτυγχάνουσι καὶ δὴ κατ' αὐτοῦ βάλλουσιν, ἄσκεπτα μὲν (ὡς πρὸς θῆρα γὰρ ἀφῆκαν) εὐθύσκοπα δέ, ἐπεί τοι γε καιρίαν· κατὰ γὰρ πλευρᾶς τὸν μακάριον τοῦτον ἄνθρωπον βάλλουσιν. Ὃς δ' ὀδυνᾶται μὲν καὶ πικρῶς ἀνοιμώζει, φέρει δ' ὅμως καὶ τοῦτο δὴ ἀναβοᾷ τὸ θρυλλούμενον "πιε, Βάρβαρε, ποτήριον ὁποῖον ἄλλοις κεκέρακας". Ἑαυτόν τε ἀναλαβὼν εἰς ἰδίων ἔκτισιν σφαλμάτων καὶ τὰ τῆς ὀδύνης καὶ τὰ τοῦ πάθους προὐβάλλετο, "εὐχαριστῶ σοι" λέγων "ἀνεξίκακε Κύριε, ὅς με τῆς προγονικῆς ἐρρύσω πλάνης, ὅς με τῆς τοῦ Σατὰν δυναστείας μετέστησας καὶ πρὸς σωτηρίας ὁδὸν καθωδήγησας. Ὀφείλω, πάτερ Ἰωάννη, καὶ σοὶ χάριτας. Μέμνημαί σου τῶν ἀγαθῶν. εὐεργέτην οἶδα μετὰ Θεόν· νενουθέτηκας γὰρ καὶ τὰ εἰκότα μοι συμβεβούλευκας, πάνυ συνετῶς ὑποθέμενος προθέσθαι τῶν φαύλων τὰ ἀγαθὰ καὶ τῶν ματαίων τουτωνὶ καὶ ψευδῶν ἐκεῖνα προτιμῆσαι

10 Ἰλιάδος Ψ 116.

τὰ ἀληθῆ καὶ σωτήρια". Ταῦτ' ἄττα βληθεὶς ὁ μακάριος ἀνθωμολογεῖτο Θεῷ καὶ οὕτωσί πως τῷ σοφῷ ἠυχαρίστει μυσταγωγῷ καὶ θαυμαστῷ συμβούλῳ, τῆς ὀρθῆς τε διδασκαλίας καὶ τῆς πρὸς τὰ λῷονα συνεργίας καὶ συναινέσεως. Ἀλλ' οἱ λόγοι καὶ αἱ φωναὶ ἐξηχούμενοι τοῖς βαλοῦσι σαφῶς ὑπηγόρευον, ὡς ἄρα παρὰ τὸν σκοπὸν τὸ βληθὲν αὐτοῖς κατηυστόχηται· οἷς καὶ προθυμότερον ἰχνεύειν ἐπειρῶντο, οὐχ ὥστε διαχειρίσασθαι, ἀλλ' εἰ δυνατὸν ἰάσασθαι καὶ τοῦ πταίσματος ἱλεώσασθαι· ἀλλ' εὑρίσκουσι φεῦ τὰ λοίσθια πνέοντα καὶ σὺν βίᾳ καὶ μόλις φθεγγόμενον.

12. Μανθάνουσι δ' οὖν ὅθεν τε καὶ ὅστις καὶ ὅτῳ γε τρόπῳ δεδέσμητο, καὶ ἐπισκήπτονται μᾶλλον δὲ συχνὰ δυσωποῦνται μὴ ἄλλοσέ πη ἀπαγαγεῖν· συμπεφωνήκεσαν γὰρ ἑαυτοῖς ἤδη ἐπὶ τὴν πλησίον ποίμνην μετενεγκεῖν, πρὸς δὲ τὸν βαπτιστὴν ὁραμεῖν καὶ διδάσκαλον τὸν ὁμώνυμον τῷ τοῦ δεσπότου, κἀκείνου ὡς ἐνὸν ἐξεγόμενον καὶ τούτῳ οὕτωσί πως εἰπεῖν (χάριεν δὲ καὶ ἐπὶ λέξεως ὡς εἶχον τοὺς λόγους διεξελθεῖν). "Τὸ κτῆνος, ὃ χρόνον ἤδη συχνὸν δεσμοῖς πρὸς τῆς σῆς ἁγιότητος ἀλύτοις συνείχετο, βραχύ τι πάνυ καὶ μεταστήσεται. Σπεύσας οὖν, τίμιε πάτερ, ἐλθὲ καταχώσων τὸ πτῶμα, συγκαλύψων μου τὸν νεκρόν". Ἀλλ' οἳ μὲν παρὰ τῇ Νικοπόλει γένοιντο καὶ τῷ δηλωθέντι παρασταῖεν ἀνδρὶ τὰ τοῦ μάκαρος ἀπαγγέλλοντες· ἐν τοσούτῳ δὲ οὗτος τὴν ἄνω πόλιν καταλάβοι τὴν ἀχειροτεύκτον τὴν ἀνώλεθρον καὶ πρὸς τὸν Θεὸν αὐτὸν ἀναπταίη, μηδενὶ βαρούμενος, ὑπὸ μηδενὸς μηδ' ὁπωσοῦν καθελκόμενος. Καὶ τοῦτο δὲ πρὸς τῆς περὶ αὐτοῦ μεμαθήκαμεν ἱστορίας, ὡς φωνὴ μεθισταμένου ἄνωθεν ἐξηχεῖτο εὐμενῶς ἄγαν καλοῦσα καὶ τοιαῦτ' ἄττα διαρθροῦσα τρανότατα. "Ἄγε δὴ μετάβηθι, Βάρβαρε· κατάλιπε τοὐντεῦθεν τὰ γήϊνα καὶ σπεῦσον πρὸς τὰ οὐράνια. Δεῦρ' ἴθι, γενναῖε, τοὺς μισθοὺς τῶν πόνων ἀπολήψόμενος· ἄνελθε τῶν καλῶν δεξόμενος ἀγώνων τὰ ἔπαθλα".

13. Ἀλλ' ἐπειδὴ καὶ ἀνηγγέλη τῷ θείῳ τοῦδε καθηγητῇ τὰ περὶ αὐτοῦ καὶ ὃς πτεροῖς ὥσπερ χρησάμενος παραγέγονεν, οὐδὲν δὲ τοῦ δρόμου καὶ τῆς ταχυτῆτος ὤνατο—ὃν γὰρ ἐπόθει θεάσασθαι

1 ταῦτάττα. 23 μηδοπωσοῦν. 26 τοιαῦτάττα.

νεκρὸν εὕρηκεν· οὐ τῆς ὁμιλίας τυχεῖν ἐγλίχετο, ἄπνουν ἑώρακεν— ἄλλως δεῖσθαι τὸ τοῦ μεταστάντος ἱερὸν οὗτος λείψανον· ὅσα γὰρ δὴ καὶ νενόμισται ἐπὶ τοῖς μεταστάσι τελεῖν, αἴδοι καὶ πόθῳ πληροῖ. Συνεπεβάλοντο δὲ τῶν τελουμένων καὶ οἱ βαλόντες θηρατὴ καὶ τοῦ θανάτου γεγονότες παρὰ βούλησιν αἴτιοι, δάκρυα θερμὰ σπένδοτες καὶ συγγνώμην τῆς παρὰ γνώμην αἰτοῦντες βολῆς. Γίνεται δέ τι τῶν πάλαι καὶ νῦν παραπλήσιον, ἐκείνων λέγω τῶν τοῦ Θεοῦ τεραστίων τῶν ὑπὲρ δύναμιν μὲν ἀνθρωπίνην κἀντεῦθεν δὴ δοκούντων ἐξαισίων παρεξεταζομένων τοῖς φυσικοῖς. ὅσα δὲ καὶ τὸ μηδὲν κρινομένων πρός γε τὴν μεγάλην τοῦ ἐκ μὴ ὄντος παραγαγόντος ἅπαντα δύναμιν. Βούλεται ὁ τῆς κρείττονος ζωῆς τῷ μάκαρι προξενος καὶ συμπροθυμοῦνται οἱ τοῦ θανάτου παραίτιοι, μᾶλλον δ' οἱ συνάμα μακαρίας ζωῆς αἴτιοι. κἂν ὁ μὲν ἐκών τε καὶ διαθέσει χρηστοτερα ψυχῆς, οἱ δ' ἀπροόπτως καὶ παρὰ προσδοκίαν ἀληθῶς ἅπασαν. Βούλονται δ' οὖν παρὰ τὴν πλησιαιτέραν τῶν πόλεων ἀγαγεῖν — ἡ Νικόπολις αὕτη γε ἦν — ὡς ἂν δὴ τιμήσαιεν μὲν αὐτὸν ὡς εἰκός, κοσμήσαιεν δὲ καὶ τὴν πόλιν οὐχ ἥκιστα· ἀλλ' ἔλαθεν αὐτοὺς ἐκφυγών, γῆς μυχοῖς ἐναποκρυβεὶς καὶ ὡς Ἐνώχ τις ἄλλος μετατεθείς· ἵνα δὴ καὶ νεὼς τότε μὲν πρὸς αὐτὸν σχεδιάζεται, ἀνοικοδομεῖται δ' εἰς αὖθις πολυτελέστερον καὶ λαμπρότερον. Τὸ μὲν μεῖζον, καὶ μύρον τὸ ἀπ' ἐκείνου τῶν τῆς γῆς λαγόνων δαψιλῶς ἀναδίδοται καὶ νάει ποταμηδόν· τὸ δὲ μέγιστον καὶ θαυμασιώτερον, καὶ ἴασεις παντοίων ἐκτελεῖ νοσημάτων χρῄζουσιν ἢ ὁπωσοῦν μεταλαμβανόμενον. Ἴδοι τις ἂν ἐκεῖσε παραγενόμενος πλήθη πολλαχόθεν συρρέοντα, τῶν μὲν νόσων ζητούντων ἀπαλλαγήν, τῶν δὲ τά τε γινόμενα ἱστορῆσαι καὶ Θεὸν δοξάσαι καὶ τὸν ὑπὲρ οὗ καὶ δι' ὃν Θεὸς τάδε διενεργεῖ μεγαλῦναι τὰ εἰκότα καὶ ἑαυτοῖς ἱλεώσασθαι, ἐπὶ παντί τε δυσχερεῖ ἐπὶ παντὶ ἀβουλήτῳ μετακαλέσασθαι βοηθὸν αὐχεῖν ἱκανόν, παρακλήτορα δεξιόν· οἱ δὲ θερμότεροι καὶ πόθῳ τοῦ αὐτοχειρὶ τοῦ μύρου ἀρρύσασθαι καὶ ἐπ' οἴκου διακομίσαντες κτήσασθαι, ὡς ἂν ἐν συμφοραῖς ἐν ἀνάγκαις πλουτοῖεν ἀλεξιτήριον

21 μῦρον τοαπεκεῖνου. 23 θαυμασιότερον.

εὖ ποιοῦντες· τί γὰρ τῶν νοσημάτων οὐ λύει τὸ μύρον; τί δὲ τῶν ἀνιαρῶν ἡ τοῦ μύρου χάρις οὐ διασκίδνησιν;

14. Εἰς πεῖραν ἦλθον ὁ συγγραφεὺς ἔγωγε τῆς τούτου δυνάμεως, εἰ καὶ μὴ ἐκεῖσε γενόμενος ἀλλὰ τῇδε δεξάμενος, κἀπὶ νόσων χαλεπῶν προσβολαῖς ἄρθρων ὀδύναις ἀνυποίστοις καὶ ἀλλοίοις λυπηροῖς συναντήμασι χρισάμενος, καὶ οὐχ ὅτι γε ἀνασφήλας κατὰ βραχύ, ἀλλ' ἀπαλλαγεὶς εὐθὺς τέλεον. Οὔμενουν οὐδὲ τοῦτο παρέλθοιμι. Τῶν ἐμῶν ἑνὶ τέκνων νόσος ἐνέσκηψε καὶ ἡ νόσος τῶν χαλεπῶν· θυγάτριον τοῦτό γε ἦν ἁπαλὸν ἔτι τὴν ὥραν, ἄρτι γὰρ τοῦ ψελλίζειν ἀρξάμενον. Λοιμῶδες τοῖς ἰατροῖς διεγνώσθη τὸ νόσημα, ὅπερ δῆτα καὶ ἦν· ἐξανθεῖν γὰρ ὁ χρὼς μετὰ συχνὰς ἤρξατο, ὅτε καὶ διεδείχθη ὁποῖον ἦν ἀκριβέστερον, τοῦτο δὴ καὶ οὐκ ἄλλο ὃ συντιθέντες λώβην χρηστὴν κατονομάζουσιν οἱ πολλοί. Δέος δὲ ἡμῖν οὐ μικρόν, μὴ ἐκχυθὲν τὸ πάθος καλύψειε τὸν χρῶτα, ὀφθαλμούς τε καὶ ὦτα κατάσχοι καὶ καθάπαξ διαθράμοι τὴν ὁλομέλειαν, καὶ οὐχ ὅπως εἰδεχθές τι θέαμα τὴν παῖδα ἐργάσαιτο, ἀλλὰ καὶ τὰς ὄψεις λωβήσαιτο. Ἦν δὲ καὶ ἄλλως ἡμῖν τὸ νόσημα φοβερόν, δυοῖν μοι παίδων πρὸ μικροῦ προσταλαιπωρησάντων τῶδε ἐφ' ἱκανὸν καὶ μονονοὺ Θεοῦ φυλακῇ ἀβλαβῶν διατηρηθέντων τὴν ὀπτικήν. Ἀλλ' οὕτω μὲν πάσχον ἦν τὸ θυγάτριον, συνεπάσχομεν δ' οἱ γεννήτορες οὐχ ἧττον διὰ τὸ ἐσαῦθις καὶ προσδοκώμενον ἢ διὰ τὸ παρὸν καὶ βλεπόμενον. Εἰσηγεῖται δέ τις διηγουμένοις τὰ τοῦ πάθους περιτυχών, ἐν πείρᾳ τάχα τῆς ἐν τούτῳ γεγονὼς χάριτος, χρίσαι τοῦ μύρου τὰ πρόσωπα τῇ παιδί, προσεπιδηλώσας καὶ οἷου τοῦ μύρου τοῦ θείου δῆτα τουτουὶ Βαρβάρου· καὶ — ὦ τῶν τοῦ Θεοῦ πρὸς τοὺς ἁγίους αὐτοῦ δωρεῶν, ὦ οἷα καὶ ἐνταῦθα χαρίζεται οὓς τῶν αἰωνίων ἐκεῖ καταξιῶσαι κέκρικεν ἀγαθῶν — ὁμοῦ τε κέχριστται ἡ θυγάτηρ καὶ ὁμοῦ τεθεράπευται, σβεσθέντων αὐτίκα τῶν ἐπιφανέντων αὐτῇ κατὰ πομφόλυγας οἰδημάτων· ἀνθήματα ταῦτα παῖδες Ἀσκληπιαδῶν ἀντιφραστικώτερον ἔμοιγε δοκεῖν ὀνομάζουσι. Ταῦτα μὲν δὴ περὶ τοῦ μύρου ὑμῖν ἐκ τῶν ἐμῶν, ὅ φασιν· ἃ

1 μῦρον. 7 καταβραχύ. 30 πομφόλυγας.

γὰρ πρὸς ἑτέρων ἀκήκοα, σχολῆς τε δεῖται καὶ χρόνου καὶ ἱστορίας ἔργον οὐκ εὐφημίας. εἰς πλεῖστόν τε ἐκτεινομένης καὶ τῇ τοῦ χρόνου παρατάσει διὰ τὴν ἐπὶ τοῖς διαλείμμασι ῥαστώνην οὐκ ἀποκναιούσης τοὺς ἐντυγχάνοντας· τῷ τοι καὶ τὰ τῆς διηγήσεως πέρας ἐχέτω, τὰ δὲ τῆς ἱκετηρίας ἀρχὴν λαμβανέτω.

15. Προΐστασο, μάκαρ, λιπαροῦμεν, καθικετεύομεν· προΐστασο ἡμῶν εἰς Θεόν. Ναὶ ναὶ προΐστασο τοῦ θείου λάχους, τοῦ χριστωνύμου τοῦδε πληρώματος· δυσώπει θερμῶς ὑπὲρ ἡμῶν, ὧν εἵνεκα κοινῇ καὶ καθ' ἑκάστους πλημμελοῦμεν καὶ παροργίζομεν. Συνίστασο κατ' ἀσεβῶν ἡμῖν ἀλλοθρόων Ἀγαρηνῶν, ὧν ἀπέστης, ὧν τὴν μιαιφονίαν μεμίσηκας, ὧν διαζευχθεὶς πεφίληκας τὰ ἡμέτερα καὶ συγκατειλέχθης τοῖς τοῦ Χριστοῦ καὶ τὸν τοῦ Χριστοῦ ζυγὸν χρηστόν, ὡς εἴρηκεν, ἡγησάμενος ἐπανήρησαι καὶ τὰ τοῦ καμάτου διὰ τέρματος τέτληκας, ἀμέλει τοι καὶ τοῖς ἐκλεκτοῖς αὐτοῦ συνηρίθμησαι καὶ τῆς ἄνω βασιλείας κληρονόμος ἐγγέγραψαι. Κατὰ παντὸς ἁπλῶς ἀντίξου συνίστασο, ὑπερμάχει τῆς ἡμετέρας ἀρχῆς, καταγωνίζου τοὺς ἡμῖν δυσμενεῖς, τῶν τῆς βασιλείας σκήπτρων προΐστασο, τοὺς ἀλάστορας ἐχθροὺς ἀποδίωκε· πολλοὶ γὰρ οὗτοι καὶ πολλαχόθεν καὶ ἀκριβῶς εἰς κύκλον περιαχθέντες δεινῶς περιστοιχίζουσι τὰ ἡμέτερα. Κἀμοῦ καὶ τῶν ἐμῶν—ὁ τοῦ λόγου συγγραφεὺς ταῦτ' ἐγὼ φθέγγομαι—ἀντιλαμβάνου πρὸς Θεὸν δέομαι, βίον ἐκεῖθεν ἀκύμαντον ἡμῖν ἐξαιτούμενος, κοσμικῶν κλυδωνίων ἀνώτερον καὶ παθῶν ζάλης ὑπέρτερον, πρὸς δὲ νόσων χαλεπῶν λύτρωσιν καὶ ὑγιείας ἀσφαλοῦς βράβευσιν, μετὰ δὲ τὴν ἐντεῦθεν καὶ ἐξ ἀνθρώπων μετάστασιν αἰώνιον ζωὴν καὶ μακαρίαν ἀπόλαυσιν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

---

13 Ματθ. 11, 30.

XIX.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ

τοῦ πρωτονοταρίου καὶ πρωτοβεστιαρίου τοῦ

ΛΟΥΚΙΤΟΥ

ἐπιτάφιον εἰς τὸν ἐν βασιλεῦσιν ἀοίδιμον ἐκεῖνον καὶ τρισμακάριστον κύριον Ἀλέξιον τὸν μέγαν Κομνηνόν.

(Cod. Patriarch. 276, f. 139—143).

1. Τί τὸ καινὸν τοῦτο καὶ κατηφὲς ἄθροισμα σήμερον; Τίς ὁ τοσοῦτος νῦν ὄχλος ἐνταῦθα περὶ ἡμᾶς, καὶ τί βουλόμενος τὸν ἱερὸν σηκὸν τοῦτον κατέλαβεν; Ἢ πᾶσι δῆλον καὶ προφανὲς καθέστηκε τὸ παραίτιον, κἂν ὑμεῖς μὴ λέγητε, τῆς συμφορᾶς τῷ πλήθει καμπτόμενοι, καὶ πρό γε πάντων ὑμῶν αὐτὸς ὁ ταῦτα γράφων ἐγώ. Ἡρωφυὴς ἐκεῖνος ὁ τρισαριστεὺς καὶ γίγας Ἀλέξιος ὁ ἐμὸς καὶ μέγας αὐτοκράτωρ ὁ Κομνηνὸς ἐννάτην ἡμέραν σήμερον—βαβαὶ τοῦ πάθους, βαβαὶ καὶ τρίτον αὖθις βαβαὶ—τῷ τάφῳ συγκαλυπτόμενος, κἀντεῦθεν ὡς ἔθος θεῖον μνημονευόμενος καὶ συγκαλῶν ἡμᾶς πρὸς θείαν ἑστίασιν. Ὑπὸ γῆν τῷ τάφῳ κρυπτόμενος ὁ πᾶσαν γῆν πληρώσας εὐεργετήμασιν, ἄφωνος ὁ Σειρήνων ἐκείνων τῶν ᾀδομένων καλλιφωνότερος, ἄπνους ὁ ταῖς ὕγξι τῶν λόγων μικροῦ δεῖν καὶ τοῖς ἀψύχοις αἴσθησιν παρεχόμενος, νεκρὸς ὁ Περσῶν νεκρώσας τὸ φρύαγμα καὶ τὸν πατρῴων κλῆρον ἀναστήσας εἰς ὕψωμα, μεμονωμένος ὁ σατράπαις καὶ μεγιστᾶσι καὶ ἀρχηγοῖς ὁλοσχερῶς ἐν κύκλῳ δορυφορούμενος! Τί βούλεσθε, φιλόθεον καὶ φιλοδέσποτον ἄθροισμα; Πενθήσωμεν πρότερον τὸν κοινὸν λαμπτῆρα τοῦ κόσμου, καὶ μετὰ ταῦτα τοῦτον τοῖς ἐγκω

μίων λόγοις ἐπαινεσόμεθα. εἰ δυνατόν ἐστι καὶ κατ' ἀξίαν τουτονὶ πενθῆσαι καὶ ἐπαινέσαι προσάξια· μόνος γὰρ οὗτος τῶν ἐκ παντὸς αἰῶνος βασιλέων ἐπάξιος καὶ πενθηθῆναι μεγάλως καὶ ἐπαινεθῆναι πλουσίως παρὰ παντὸς γένους ἀνθρώπων καὶ πάσης ἡλικίας καὶ τάξεως, καὶ τούτων αὖθις ἀνώτερος. Ὑπερβαινόντων ἅμφω πάντα νοῦν καὶ διάνοιαν τῷ μεγέθει τοῦ ὑπερβάλλοντος, ἐμοί δοκεῖ καὶ ὑμεῖς οἶδ' ὅτι συνευδοκήσετε τὴν ἀρχὴν ἀπὸ τοῦ πενθίμου μέρους ποιήσασθαι, κἀντεῦθεν ὅση δύναμις ἀγαγεῖν τὸν λόγον εἰς ἐπαίνων τάξιν καὶ χάριτας· οὕτω γὰρ ἂν ἐμοί τε καὶ πᾶσιν ὑμῖν καλῶς ἔξει τὰ τοῦ σπουδάσματος.

2. Αἳ αἳ τοιγαροῦν συμφορᾶς μεγάλης, ἧς ὑπέστημεν ἅπαντες! αἳ πένθους ἀπαρακλήτου πολλῷ τῷ περιόντι τὰ πάλαι πένθη καὶ τὰ ἐσόμενα καὶ τὰ νῦν κατὰ κόσμον ὄντα μικρὰ δεικνύντος καὶ παρερχόμενα, καὶ ὄναρ εἶναι πρὸς τὸ παρὸν τοῦτο καὶ ἡμέτερον φανταζόμενα! Φεῦ πικρίας, ἧς ἀνατολὴ καὶ δύσις ἐνεφορήθησαν καὶ ἀρκτῶν μέρος καὶ μεσημβρινὸν ἐνεπλήσθησαν! Φεῦ ὀδύνης ὑπὲρ σπάθην δίστομον, ὑπὲρ μάχαιραν, ὑπὲρ ὀξὺ βέλος καὶ ῥομφαίαν ἀπότομον, τὰς τῶν ἀνθρώπων καρδίας διχοτομούσης ἔνδον καὶ διαιρούσης καὶ πανταχοῦ κεντούσης καὶ διερχομένης ἀνύποιστα! Οἴμοι καὶ πᾶσιν ὑμῖν! Οἵαν πυρὸς ἀκμὴν ὑπὲρ τὸ Αἰτναῖον ἄνω κάτωθεν ἐκβραττόμενον καὶ φλογὸς ῥύμην καὶ καμίνου ζέσιν τῆς Χαλδαϊκῆς ἐκείνης ἐπέκεινα καὶ πάσης ἄλλης πρὸ ταύτης ἢ καὶ μετὰ ταύτην ἴσως τυγχάνουσαν ἐγνωρίσαμεν! Τίς ὕδωρ ταῖς κεφαλαῖς ἡμῶν βλύσειε, κατὰ τὸν θρηνῳδὸν ἐκεῖνον Ἱερεμίαν, καὶ ροῦν δακρύων ταῖς ἡμετέραις κόραις πηγάσειεν, ὡς τὴν ἔνδον φλόγωσιν τὴν ἐν μέσοις τοῖς σπλάγχνοις ἀποτεφρώσαιμεν! Τίς, κατὰ τὸν προφητάνακτα Δαβὶδ τὸν μέγαν καὶ θεοπάτορα, ᾆσμα καινὸν ἆσας καὶ νέαν ᾠδὴν συστησάμενος καὶ μελῳδήσας ἐν πνεύματι τὸ τῆς λύπης ὑπερβάλλον ὡς ῥεῦμα καὶ πονηρὸν ἄλλο πνεῦμα συνέχον ἀναχαιτίσειε; ποῖος Ὀρφεὺς μετακινῶν ὡς λόγος καὶ τὰ ἀναίσθητα, μέλος συνθεὶς καὶ λόγον συναρμοσάμενος θέλγοντα, καὶ μουσουργήσας ψεύγματα χαριτόκροτα τοῦ κοπετοῦ τὸ πλεῖστον καταπραΰνοι;

4. Μόνος ὄντως αὐτὸς οὗτος ὁ ἐν βασιλεῦσιν ἀοίδιμος, ὁ παρ' ἡμῶν νῦν ἐνθέως μνημονευόμενος καὶ τοῦ παρόντος πάθους ὑπόθεσις καὶ τοῦ πάθους αὐδὶς ἀφαίρεσις ἦν. Μόνης ἡμῖν ἔδει τῆς ἐκείνου θείας φωνῆς καὶ χρυσῆς γλώττης, εἴπερ ἐξὸν ἦν καὶ δημηγορίας πρὸς τὴν ὑπὲρ ἐκείνου παράκλησιν· οἶμαι γὰρ εἴ τις ἐξ αἰῶνος ἐγένετο ἢ καὶ μέχρι τῆς τούτου συντελείας αὐδὶς γενήσεται γλυκυφραδὴς ἀνὴρ καὶ τερπνόστομος, χρυσολόγος ἄνθρωπος καὶ τερψίχειλος, πρὸς τὸν περιώνυμον τουτονὶ βασιλέα καὶ λίαν ἐξάκουστον καὶ περιβόητον συγκρινόμενος σελήνη πρὸς ἥλιον καὶ σκιὰ πρὸς φῶς καὶ ὄναρ πρὸς ἀλήθειαν καὶ πρὸς ἡμέραν νὺξ λογισθήσεται. Οἵας στολὰς γυμνὰς ταύτας καὶ κατηφεῖς ἀντὶ λαμπρῶν καὶ τερπνῶν ἐσθήτων ἐνεδυσάμεθα, τὴν ἔνδον λαμπρότητα καταγγέλλοντες! Ἡμέτερος ἥλιος ὑπὸ γῆν, καὶ σκότους ἡμεῖς εὐθέως ἀνάμεστοι· τὸ ἡμέτερον ἔδυ φῶς καὶ ζόφωσις ἡμᾶς εὐθὺς καὶ γνόφος ἐκάλυψεν, ὁ φαίνων λύχνος ἀπέσβυστο καὶ ὠδῖνες θανάτου παραυτίκα καὶ χείμαρροι πικρίας ἡμᾶς ἐξετάραξαν. Ἐταλαιπωρήσαμεν νυκτὸς καὶ ἡμέρας, ἕως τέλους κατακαμπτόμενοι καὶ διὰ παντὸς πορευόμενοι σκυθρωπάζοντες. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχὺς ἡμῶν καὶ ἡ καρδία ἡμῶν ἐγενήθη ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς ἔσωθεν διαπλάσεως, καὶ ἡ γλῶσσα ἡμῶν ἐκολλήθη τῷ λάρυγγι ἀπὸ τοῦ κράζειν ἡμᾶς ὅλην τὴν ἡμέραν καὶ νύκτα πᾶσαν ὡσεὶ νυκτικόρακες.

5. Ποῦ ἐστιν ὁ ἡμέτερος αὐθέντης καὶ βασιλεύς, ὁ περίβλεπτος ἄναξ, ὁ σπλαγχνικὸς πατὴρ καὶ φιλόστοργος, ὁ κηδεμονικὸς τολμηρῶς εἰπεῖν ἀδελφὸς καὶ φίλος καὶ σύντροφος; Ὢ οἵα κεφαλὴ θεοστεφὴς καὶ βοστρύχων χάρις καὶ μέτωπον χρυσαυγέστατον τῷ τάφῳ συνεκαλύφθησαν! Ὢ οἷον χρυσοῦν στόμα καὶ μαργαρώδεις ὀδόντες καὶ χείλη χάριτος γέμοντα καὶ γλῶσσα κάλαμον γραμματέως ὀξυγράφου νικῶσα, καὶ ἀκτινοειδὲς γένειον καὶ ὀφρύες ἄνωθεν ὡς ἴριδες διαλάμπουσαι, καὶ βλέφαρα θαυμαστὰ καὶ ὀφθαλμῶν κύκλοι θεοπλαστούργητοι τῇ λάρνακι κατεκρύβησαν! Φεῦ, οἵας βριαρὰς χεῖρας καὶ λεοντώδεις βραχίονας καὶ σιδηρᾶ στέρνα καὶ ὑπερμεγέθεις ὤμους καὶ μετάφρενα θαυμαστὰ καὶ χι-

ονοειδῆ δειρὴν ἄνωθεν λίθος τρίπηχυς ἠσφαλίσατο! Φεῦ, οἷαν ὀσφὺν ἀνδρείαν καὶ μηροὺς ἀδαμαντίνους, καὶ ἀντίτυπα γόνατα καὶ σθεναρὰς κνήμας καὶ πόδας φεγγοφανεῖς, πτηνοὺς τὴν φύσιν ἂν εἴποι τις, ὁ δεινὸς ἐπέδησε θάνατος! Ποίαν—ὦ τοῦ θαύματος— ἡλικίαν ὑπὲρ κυπάριττον ἀνατρέχουσαν, ὑπὲρ πεῦκον ἐκθάλλουσαν καὶ ὑπὲρ Λιβάνου κέδρον εἰς μῆκος καὶ πλάτος ἐκτεινομένην, ὁ πικρὸς ᾅδης διεμελίσατο! Οἴμοι! καὶ πῶς συνεσχέθη ὁ ἀκατάβλητος; πῶς ἐνικήθη ὁ ἀήττητος; πῶς πέπτωκεν ὁ ἀκαταγώνιστος; Ἵνα τί δέ, οὐ μικροῦ πᾶν ἔθνος πολέμιον τὴν σπάθην ἔφριξε καὶ τὰ βέλεμνα, οὗτος τῆς νόσου γέγονε παρανάλωμα;

6. Οὐδέν, ὦ παρόντες, ἄλλο παραίτιον ἢ θεσμὸς τῆς φύσεως ἀμετάθετος, θεῖος καὶ ἐκ Θεοῦ καθ' ἡμῶν τὸ κῦρος ἀναζωσάμενος, ὁ "γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ" πᾶσι πάντως ἐγκελευόμενος. Κἂν τοῦτω τιμῶν ὁ ἡμέτερος αὐτοκράτωρ, ὡς κἂν τοῖς ἄλλοις, τὸν νομοθέτην τοῖς τῆς φύσεως ὑπεῖξε θεσμοῖς· εἰ μὴ γὰρ τοῦτ' ἦν ἴσως, τάχ' ἂν ἔγνωσαν καθ' ἑαυτοῦ ταχύναντες ὁ πανδαμάτωρ ᾅδης καὶ θάνατος; Ὡς εὐτυχέστεροι πάντῃ πάντως ἡμῶν οἱ πρὸ ἡμῶν θανόντες καὶ προτελευτήσαντες ἄρχοντες, καὶ νῦν εἰσὶ λύπης μὲν τῆς παρούσης καὶ τῶν πολλῶν δακρύων ἀμέτοχοι, αὐτὸν δ' ἐκεῖνον ὅσον ἐφικτὸν ὁρῶντες ἐν κόλποις Ἀβραὰμ ἐπαναπαυόμενον, ἐν σκηναῖς δικαίων συνευφραινόμενον καὶ ἐν τόπῳ χλόης ἀναστρεφόμενον. Ὡς εὐδαιμονέστεροι πάντα τρόπον οὓς ἐκεῖνος ἔτι ζῶν ἀείμνηστος χρυσέοις χείλεσιν ἐμακάρισεν, οἱ σὺν τοῖς ἀγγέλοις αὐτὸν ὁρῶσιν ὡραϊζόμενον, τοῖς χοροῖς ὁσίων συναγαλλόμενον καὶ τοῖς προγόνοις βασιλεῦσι συμβασιλεύοντα, κἀντεῦθεν τῆς παρούσης λύπης οὐκ ἐπιστρέφονται. Ὡς μακαριστοὶ καὶ τῆς ζωῆς καὶ τοῦ τέλους ἅπαντες Τραπεζούντιοι καὶ γένος ἅπαν χριστώνυμον, ὅσοι τοῦτον ἐκεῖσε δουλοπρεπῶς ὡς εἶχον καὶ προσυπήντησαν καὶ ἐδέξαντο καὶ δουλικὴν αὐτῷ νῦν ὅσον ἐφικτὸν προσνέμουσι τὴν προσκύνησιν, ὀδυνηρῶς ἡμᾶς ἤδη ζῆν καταλείψαντες.

7. Ὑποδέξασθε, μέγιστε Κομνηνὲ βασιλεῦ Ἰωάννη θεοχάριτωτε καὶ σὺ εὐλογημένη δέσποινα Εὐδοκία πορφυρογέννητε, τὸν ἀριστέα ὃν ἐγεννήσατε, τὸν τροπαιοῦχον ὃν ἀνεθρέψατε, τὸν κλη-

ρονόμον ὃν ἐν κόσμῳ καταλελοίπατε καὶ μακαριστοὺς αὐτὸς ἡμᾶς ἀποδεδειχεν. Ἐν βασιλεῦσιν ἀοίδιμε μέγα Κομνηνὲ Μανουὴλ καὶ πανθαυμαστε, τὸν σὸν ἔγγονον θεασάμενος περιπλάκηθι, τὸν σὸν ἰδὼν τοῖς τρόποις διάδοχον ἐναγκάλισαι, καὶ τοῦτον ὡς ἐκδικητὴν τοῦ κράτους σου περιδέξιον ἄσπασαι. Τρισαριστεῦ Ἀλέξιε, μέγα βασιλεῦ ἀξιομνημόνευτε, Τραπεζοῦντος ὁ πρώτως τὴν βασιλειον δόξαν ἀναζωσάμενος, τῷ σῷ τάφῳ τὸν σὸν ἀπέγγονον παράλαβε τὸν ὁμώνυμον, νῦν δὲ καὶ ὁμόσκηνον καὶ ὁμόταφον. Ἴδε τον σοι καὶ λόγῳ καὶ ἔργῳ καὶ πράγματι καὶ ὀνόματι καὶ ἀριστείαις καὶ κατορθώμασι πάντῃ πάντως ἴσον καὶ ὅμοιον· διήγησαι τούτῳ σὺ τὰ σαυτοῦ καὶ οὗτός σοι τὰ ἴδια διηγήσεται, τοὺς σοὺς οὓς πολλοὺς καὶ πολλάκις ἀνέτλης κόπους ἀνάγγειλον καὶ οὗτός σοι τοὺς μυρίους οὓς ὑπέστη μόχθους ἀναγγελεῖ.

8. Πάντως δὲ τὸ τῶν Κομνηνῶν χρυσοῦν γένος ἐκδιηγούμενος οὐδ' ὑμᾶς ἔξω τίθημι τῆς τοῦ γένους τοῦδε σειρᾶς, Γίδε γενναῖε, Ἀξοῦχε μακάριε καὶ σὺ Γεώργιε θαυμαστέ, πλὴν τοῦ τέλους, καὶ εἴ τις ἕτερος· οἶδα γάρ, ὅτι τοῖς γονεῦσι τούτοις καὶ κασιγνήτοις καὶ ὑμεῖς ἐνδίκως συναναστρέφεσθε καὶ τῶν ἴσων καὶ αὐτοὶ σὺν τούτοις ἐπαπολαύετε. Παλαιολόγοι βασιλεῖς μεγάλοι καὶ γενναιότατοι, τὸ νέον τετραβασίλειον καὶ ἑξαίσιον, ὅσοι τε προτεθνήκατε, Μιχαὴλ ὁμοῦ τε καὶ Μιχαὴλ οἱ περίβλεπτοι, καὶ ὅσοι νῦν τοῖς ζῶσι συγκαταλέγεσθε, Ἀβραὰμ Ἀνδρόνικε δεύτερε καὶ γίγα ὄντως Ἀνδρόνικε καρτερόθυμε — πολεῖτε γὰρ οἶδ' ὅτι καὶ ὑμεῖς τὴν παροῦσαν γνῶναι διήγησιν καὶ τοῦ καταλόγου τούτου καὶ αὐτοὶ γενέσθαι μέρος ἱμείρεσθε — τὸν ὑμέτερον ὃ μὲν ἔγγονον ὃ δὲ ἐξάδελφον θεασάμενοι χερσὶ χεῖρας ὁρέξατε νοερῶς καὶ ἱερῶς τοῦτον ἐναγκαλίσασθε· καὶ ὃ μὲν τὸν τοῦ ἀνεψιοῦ ὃ δὲ τὸν τοῦ θείου ἐνωτισάμενοι θάνατον σκυθρωπάσατε καὶ ἄμφω γοερῶς τοῦτον πενθήσατε, τὸν ὥσπερ τῶν Κομνηνῶν καύχημα χρηματίσαντα, οὕτω δὴ καὶ τῶν Παλαιολόγων γενόμενον. Ἀλλ' ὤ μοι! τί πάθω; γεννάδαι γὰρ ἄνωθεν Κομνηνοὶ προκύψαντες κράτορες ἡμᾶς ὀνείδεσι βάλλουσι καὶ αὐτοὶ μετασχεῖν τῶν ἴσων ἐθέλουσιν, ἔνθεν μὲν Ἀλέξιος Ἰωάννης Μανουὴλ καὶ Ἀλέξιος οἱ

βασιλικώτατοι, ἐκεῖθεν δ' αὖθις Ἰσαάκιος καὶ Ἰσαάκιος οἱ σεβαστοκράτορες, βασιλεὺς Ἀνδρόνικος ὁ πολὺς καὶ σεβαστοκράτωρ Μανουὴλ ὁ χαρμόσυνος, καὶ πρὸ τούτων δὴ πάντων ὁ μέγας βασιλεὺς Ἰσαάκιος ὁ τῶν Ῥωμαϊκῶν ἀρχῆθεν σκήπτρων ἐπιλαβόμενος καὶ Κομνηνῶν κρηπὶς καὶ ῥίζα γενόμενος. Ἀπολαύσατε τοιγαροῦν καὶ ὑμεῖς — χρεὼν εἰπεῖν πρὸς αὐτούς — ἡρωγενεῖς γενάδαι, τροπαιοῦχοι πανθαύμαστοι, τῆς τοῦ συγγενοῦς καὶ ἀπεκγόνου τοῦδε συνομιλίας· ἐπαπολαύσατε· καὶ ὃν ἔτι τῷ βίῳ τούτῳ καὶ τῷ σαρκίῳ διὰ πολλοῦ τοῦ θαύματος ἄνωθεν ἤγετε, τοῦτον ἀφ' ἡμῶν ἐντεῦθεν γενόμενον καὶ πρὸς ὑμᾶς αὖ παραγενόμενον ὑποδέξασθε.

9. Ἀλλὰ καιρὸς ἤδη λοιπὸν κατὰ τὴν ὑπόσχεσιν καὶ τοῖς ἑξῆς προβῆναι τοῦ διηγήματος καὶ μικρῶν ὅσον ἐγκωμίων λόγοις καθ' ὅσον ἐφικτὸν μνησθῆναι τοῦ αὐτοκράτορος. Δεῦτε τοιγαροῦν ἀκούσατε καὶ διηγήσομαι ὑμῖν, ὡ παρόντες· κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου· ἀνοίξω γὰρ ἔτι τοῦτο, οὐκ ἐν παραβολαῖς δὲ ἀλλ' ἐν αὐτοῖς δὴ τοῖς τῆς ἀληθείας γνωρίσμασι, καὶ φθέγξομαι οὐκ ἀνειμένως δὲ καὶ πρὸς χάριν ἀλλὰ μεγαλοπρεπῶς τε καὶ φιλαλήθως, ἐπεὶ τὴν κοιλίαν μου ἀλγῶ — κατὰ τὸν προφήτην — καὶ τὰ αἰσθητήριά μου μαιμάσσει, καὶ οὐκ ἔχω πῶς ἐμαυτὸν ἐπίσχω μὴ φθέγγεσθαι. Τὰ γοῦν ἐκείνου τοῦ γίγαντος μὴ ὅτι πάντα λέγειν — τοῦτο γὰρ ἄπορον καὶ ἀδύνατον — ἀλλὰ κἂν γοῦν μερικά τινα καὶ ἐκ μυρίων ὀλίγα καὶ ὀλιγάκις. Οὐ τοῦ παρόντος ἴστε καιροῦ· σχολῆς γὰρ ἰδίας δεῖται ταυτί, καὶ πολλοῖς οἶμαι καὶ καλοῖς μεθ' ἡμῶν μελήσει περὶ αὐτοῦ. Διὰ δὲ τὸ τῆς ἡμέρας ἴσως τῆς παρούσης αἰδέσιμον καὶ τὸ μυρίανδρον καὶ καινὸν τοῦτο συνάθροισμα, σήμερον οἱ ἄλλο τι χρέος μετὰ τῶν ἄλλων καὶ τὸν παρόντα λόγον ἀπεκδεχόμενοι ὡς πελάγους ὑμῖν ὅσον ἐφικτὸν σταγόνας ἢ ῥανίδας γνωρίσωμεν.

10. Τίς γοῦν οὕτω βασιλεὺς μέγας ἦν καὶ αἰδέσιμος, ὡς ὁ βασιλεὺς ἡμῶν ἐγνωρίζετο; Ὡραῖος μὲν εἰς ὄρασιν ἦν καὶ καλὸς παντοίως εἰς γνῶσιν, ἀλλὰ καὶ τὸ ἦθος ὄντως ὑπέρτερος. Τίς οὕτως ἀνδρεῖος, ὡς ὁ ἡμέτερος, ἐχρημάτισεν, ἕλκειν τόξα καὶ βέ-

λη πεμπειν καὶ δόρυ κινεῖν καὶ σπάθην σείειν καὶ ἀσπίδα στρέφειν καὶ λοιπὸν ὅπλον μεταχειρίζεσθαι; Ποῖος οὕτω βοᾶται μὲν ἰσχυρὸς ἐν πολέμοις, κραυγάσαι δὲ κραταιὸς ἐν ταῖς παρατάξεσι, κἀντεῦθεν περιολκὰς τροποῦσθαι δυνάμει καὶ φάλαγγας ῥηγνύειν καὶ ὡς ἐν ἐκφράσει κεφαλὰς συγκόπτειν βαρβαρικὰς οἷα στάχυας; Ὁποῖος δ' αὖθις ἐν συμπλοκαῖς ὀξύνους, ἐν διωγμοῖς ὡς ἔνθους ἐφαίνετο; Τούτου τὴν ῥομφαίαν Ἰβηρικαὶ δυνάμεις ὑπερεθαύμασαν, Ἀβασγικαὶ συντάξεις ὑπερετρόμαξαν καὶ Χαζαρικαὶ πληθύες ὑπερηγάσθησαν. Λατινικὸν γένος, αὐτοῦ τῶν βελῶν ἐν πείρα γενόμενον, πάντα τρόπον ἔφριξε καὶ ἡσύχασε. Ῥωμαϊκὸν φῦλον ὡς προγονικὸν αὐτοῦ αὐθέντην ἐκπάγλως ὑπερηγάπησε, χριστιανικὸν πλῆθος ξύμπαν—ἐῶ γὰρ λέγειν καὶ βάρβαρον—αὐτὸν ἐνδίκως ὑπερεφίλησεν· εἰς ἅπασαν γὰρ τὴν γῆν ὁ φθόγγος τούτου διέδραμε καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ χρηστὰ τοῦδε πλεονεκτήματα. Ἡ τούτου σπάθη διὰ παντὸς τὰς τῶν Περσῶν σάρκας βρώματα τοῖς οὐρανοῦ πετεινοῖς ἐθεώρει, τὰ δὲ τούτου βέλη διηνεκῶς τὰ θνησιμαῖα τούτων τοῖς κυσὶ βορὰν ἔδωκαν.

11. Ἀλλὰ τί ταῦτα, ὅπου γε ἡ ὑψηλὴ τούτου κλῆσις ἐν στρατοπέδῳ σχεδιασθεῖσα Περσικὰς ἀρχὰς ἐτροπώσατο, βαρβαρικὴν ἰσχὺν ἐπιέσατο καὶ λαφύρων ἐντεῦθεν πλῆθος ἀφήρπαστος; Ἀνδρεῖος ἦν κατὰ τὸν Σαμψών, ὡραῖος κατὰ τὸν Ἰωσήφ· τὸ πρᾶον εἶχεν ὡς ὁ Δαβίδ, τὴν γνῶσιν πάντως ὡς Σολομῶν, τὴν φιλοξενίαν ὡς Ἀβραάμ, τὴν ἐπαγγελίαν ἐπλούτει ὡς Ἰσαὰκ καὶ τὴν πατρικὴν εὐλογίαν ὡς Ἰακὼβ ὁ θεῖος ἐκληρονόμησε. Πάντων τῶν ἀνέκαθεν ἀφ' ἡλίου ἀνατολῶν εὐγενῶν εὐγενέστερος, τῶν ἐν κόσμῳ διάκρισιν ἐσχηκότων ὁ διακριτικώτατος, τῶν εὐεργετεῖν αὐχούντων ἢ αὐχησάντων ὁ εὐεργετικώτατος, τῶν δωρεῖσθαι προθυμουμένων ἢ καὶ φιλοτιμουμένων χαρίζεσθαι ὁ δωρεαστικώτατος ἅμα τε καὶ χαριστικώτατος, τῶν ἐκ παντὸς εἰπεῖν αἰῶνος ὁ κηδεμονικώτατος καὶ φιλοδωρότατος. Περὶ τὸ κράτος καὶ τὴν βασίλειον ἀρχὴν Ἀλέξανδρος δεύτερος ἐχρημάτισε, περὶ τὴν εὐσέβειαν καὶ τὴν ὀρθόδοξον πίστιν Κωνσταντῖνος νέος ἐγένετο, περὶ δὲ τὸ κηδεμονικὸν ὁμοῦ καὶ φιλόδωρον καὶ ὑπὲρ αὐτοὺς εἰπεῖν, καθὰ δὴ

καὶ ὑπὲρ τοὺς ἅπαντας. Εἰ δυνήσεταί τις ἀριθμεῖν ἄστρων πλῆθος καὶ σταγόνας θαλάσσης καὶ σωρὸν ἄμμου καὶ νιφάδας χιόνος, ἰσχύσειεν ἂν κἀκείνου τὰς εὐεργεσίας ἀπαριθμήσασθαι.

12. Πέλαγος ὄντως ἦν ὁ γεννάδας ἀτλαντικόν, ὠκεανὸς ἄλλος πᾶσαν κύκλῳ γῆν ἐπάρδων εὐεργετήμασι· παράδεισος ἕτερος ἐφάνη περὶ τὴν γῆν θεοφύτευτος, Γαιὼν ὥφθη Φεισὼν Τίγρης καὶ Εὐφράτης οἱ ποταμοί. Ἀλλ' οὗτοι μὲν ἔστιν ὅτε καὶ ψύχει πήγνυνται καὶ θέρμῃ συστέλλονται καὶ θέρει μέν εἰσι δαψιλέστεροι, χειμῶνι δὲ δυσροώτεροι· οὗτος δ' ὁ βασιλεὺς ὁ μέγας ὁ περίβλεπτος, ὁ αὐτὸς διὰ παντός. Κἂν ἔαρι κἂν χειμῶνι κἂν φθινοπώρῳ πάντως ἐτύγχανεν ὁ αὐτός. Κἂν θλίψεσι κἂν συμφοραῖς κἂν ἡδοναῖς κἂν χαρμοναῖς ὁμοίως ἐπήγαζε μόνος αὐτὸς ἑαυτὸν ὑπερνικᾶν ἀεὶ φιλοτιμούμενος τοῖς εὐεργετήμασι· καὶ ὡς οὐκ ἔστιν ἀποκρυβῆναί τινά ποτε τῆς ἡλιακῆς θέρμης, οὕτως οὐδὲ τῆς ἐκείνου δαψιλεστάτης ἀποτυχεῖν χρηστότητος ἐξεγένετο.

13. Ἀλλ' ἔλαθον ἐμαυτὸν πρὸς ἀχανὲς πέλαγος ἐμπεσεῖν ἐλαυνόμενος, κἀντεῦθεν ἐμαυτῷ τὴν ὑποστροφὴν οὐ ῥᾴδιαν ἀλλὰ δυσχερῆ καὶ ἄπλωτον ἐργαζόμενος. Τὰς κώπας τοιγαροῦν ἐνταῦθα τῶν ἐγκωμίων σχάσας καὶ μὴ βουλόμενος— οὐδὲ γὰρ ἡλιακὸν φῶς λαμπάδων δεῖται τὸ σύνολον, κἂν πολλαὶ καὶ ὑπερμεγέθεις αὗται συγχύνωσιν, οὐδὲ ῥυάκων ῥύμης τὸ πέλαγος, κἂν εἰ καὶ κατὰ ποταμοὺς αὐτοὶ τοῖς ῥεύμασι πέλωσι—προσφωνηματικῶς ἐπ' αὐτὸν τὸν ἄνακτα τὸν ἀείμνηστον τοῦ λόγου στρέψω τὸ πρόσωπον, εἶθ' οὕτως ἑξῆς προσθήσω τέλος τῷ διηγήματι. Χαίροις τὸ λοιπὸν καὶ χαῖρέ μοι, βασιλεῦ ἀοίδιμε καὶ θαυμάσιε· χαίροις πολλῶν καὶ μεγάλων ἐξ ἑκατέρου μέρους βασιλέων ἀπόγονε, Κομνηνῶν ἐγκαλλώπισμα, Παλαιολόγων ἀγλάϊσμα, τοῦ γένους ὡράϊσμα, τῆς κοινῆς πατρίδος, τοῦ φίλου πᾶσιν ἐδάφους λέγω, τὸ ἀγαλλίαμα. Χαίροις ἀνατολῆς καύχημα, δύσεως χάρισμα, τῶν ἀρκτικῶν μερῶν ἄκουσμα καὶ τῶν μεσημβρινῶν περιτείχισμα· χαίροις ὀρφανῶν καλλονὴ καὶ τῶν ξένων χαρμονή, τῶν ἀπόρων ἡδονὴ καὶ τῶν πεινώντων πλεισμονή. Χαῖρε, ὅτι ὑπῆρχες θλιβομένων παράκλησις, ὀδυνωμένων ἀνάψυξις, καταφευγόντων ἐπίσκεψις καὶ οἰωκομένων ἀντίληψις·

χαῖρε, ὅτι ἐγένου καθάπερ ζῶν ποθεινότατος, οὕτω δὴ καὶ θανὼν ποθεινότερος. Χαῖρε, ὅτι ὁ οὐρανὸς ἄνωθεν ἐφ' ἱκανὸν ἐστύγνασεν ἐπὶ τῇ μεταστάσει σου· χαῖρε, ὅτι ὁ ἥλιος ἐξέλιπεν ἐπὶ τῷ θανάτῳ σου πρὸ ὀλίγου καὶ μετ' ὀλίγον αὖθις ἐκλείψει, καὶ ἡ σελήνη ἐσβέσθη αὖθις ἐπὶ τῷ τάφῳ σου καὶ ὅσον οὔπω πάλιν σβεσθήσεται· χρόνον γὰρ ἤδη συχνὸν ἐκαινοτομοῦντο ταῦτα δὴ τὰ στοιχεῖα τῇ μεταστάσει σου, κἂν ἡμεῖς ἠγνοοῦμεν τέως τῶν γινομένων τὴν ἔκβασιν, καὶ εἰς τὸν χρόνον διὰ σὲ καὶ αὖθις τουτονὶ καινοτομηθήσονται. Ἀγάλλου τέρπου καὶ χόρευε τῇ Τριάδι νῦν· οὕτω γὰρ εὐχόμεθα.

14. Παριστάμενος μετὰ πάντων τῶν εὐσεβῶν πρό σου βασιλέων, συνευφραινόμενος, μετὰ ἀγγέλων συναγαλλόμενος, ἐν κόλποις Ἀβραὰμ ἐπαναπαυόμενος καὶ μετὰ δικαίων πάντων συναριθμούμενος, ἆρον κύκλῳ τοὺς σοὺς νοεροὺς ὀφθαλμοὺς καὶ θέασαι τὴν παροῦσαν ἤδη κατάστασιν, ἀρχιερέων συνέλευσιν πολιᾷ καὶ συνέσει τετιμημένων, ἱερέων καὶ μοναστῶν ἱερῶν συνδρομήν, ἀρχόντων συνάθροισιν, τοῦ κοινοῦ παντὸς σύναξιν παντοδαποῦ συνεδρίου ἐκ πάσης ἡλικίας καὶ τάξεως καὶ τὸν ἱερὸν τουτονὶ σηκὸν ἐντεῦθεν στενοχωρούμενον, πάντων ὑπὲρ σοῦ πρεσβευόντων, χεῖρας ὁσίας αἰρόντων, αἰνούντων καὶ εὐλογούντων τὸν Κύριον καὶ δεομένων ὡς ἔθος ὑπὲρ τῆς σῆς, βασιλεῦ, πρὸς Κύριον μεταστάσεως, ἀνέσεως καὶ συνήθους τῶν ἐπταισμένων ἀφέσεως καὶ μακαρίας σῆς ἀναμνήσεως. Ἔδειξας τῷ λαῷ σου σκληρὰ τῷ θανάτῳ σου· ἐπότισας ἡμᾶς οἶνον κατανύξεως τῇ κηδεύσει σου. Πλήρωσον ἤδη λοιπὸν καὶ εὐφροσύνης καὶ χαρᾶς τὰς καρδίας ἡμῶν, ὥσπερ εἴωθας, ἵνα διὰ σοῦ πρὸς Κύριον πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύοιμεν....

Τὸ ἑξῆς λείπει.

ΔΟΣΙΘΕΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΣΗΜΕΙΩΣΕΙΣ ΕΙΣ ΤΟΝ ΠΡΟΚΕΙΜΕΝΟΝ ΛΟΓΟΝ

Σελ. 424, 32. Εὐδοκία] Εὐδοκία ἦν θυγάτηρ [Μι]χαὴλ τοῦ Παλαιολόγου [καὶ] ἀδελφὴ Ἀνδρονίκου [Πα]λαιολόγου τοῦ γέροντος.

Σ. 425, 20 τετραβασιλειον] Τεσσαρες γὰρ ἑως τότε Παλαιολόγοι ἐβασίλευσαν· πρῶτος Μιχαήλ, δεύτερος Ἀνδρόνικος ὁ γερων, τρίτος ὁ Μιχαήλ, υἱὸς τοῦ Ἀνδρονίκου, καὶ τέταρτος Ἀνδρόνικος, υἱὸς μέν Μιχαήλ, ἔγγονος δὲ Ἀνδρονίκου· μεθ' ὃν Ἰωάννης Καντακουζηνός.

Σ. 425, 21 Μιχαήλ] Οὗτος ἐβασίλευσεν [Κων]σταντινουπόλεως [ἀμέ]σως μετὰ τὸν Θε[όδω]ρον τὸν Δούκα τὸν [Βα]τάτζην, καὶ ἔστι π[ατὴρ] τῶν Παλαιολόγων.

Σ. 425, 21 ὁμοῦ τε καὶ Μιχαήλ] Οὗτος ἦν υἱὸς Ἀνδρ[ονίκου] τοῦ Παλαιολόγου ὃ[ς καὶ] προετεθνήκει το[ῦ Μιχαήλ].

Σ. 425, 22 Ἀνδρόνικε δεύτερε] Οὗτος ἦν υἱὸς τ[οῦ] ἄνωθεν Μιχαήλ.

Σ. 425, 23 Ἀνδρόνικε καρτερόθυμε] Οὗτος ἦν υἱὸς τοῦ ἄνωθεν Μιχαήλ [καὶ] ἔγγονος τοῦ [Ἀνδρονίκου].

Σ. 425, 24 γνῶναι διήγησιν] Ὁ γὰρ Μιχαὴλ πρῶτος ἐν Παλαιολόγοις γεννᾷ Ἀνδρόνικον τὸν γέροντα, ὃν ἐνταῦθα καλεῖ Ἀβραὰμ δεύτερον, καὶ Εὐδοκίαν τὴν καὶ μητέρα τοῦ παρόντος Ἀλεξίου Κομνηνοῦ· διὰ τοῦτο καὶ ἀνεψιὸς δικαίως καλεῖται τοῦ γέροντος Ἀνδρονίκου, ὡς ἐξ ἀδελφῆς υἱός. Ὁ δὲ Ἀνδρόνικος γεννᾷ τὸν Μιχαήλ, οὗ ὁ Ἀλέξιος πρῶτος ἐξάδελφος· ὁ δὲ Μιχαὴλ γεννᾷ Ἀνδρόνικον τὸν καὶ γίγαντα ἐνταῦθα ὀνομαζόμενον, καθὸ ὁ Ἀλέξιος θεῖός ἐστι τοῦ Ἀνδρονίκου, διὰ τὸ εἶναι αὐτὸν τὸν Ἀνδρόνικον υἱὸν μὲν τοῦ ἐξαδέλφου αὐτοῦ Μιχαήλ, ἔγγονον δὲ τοῦ θείου αὐτοῦ Ἀνδρονίκου.

Σ. 425, 33 Ἀλέξιος Ἰωάννης, Μανουὴλ καὶ Ἀλέξιος] Οὗτοι ἦσαν βασιλεῖς Κωνσταντινουπόλεως, ὧν ὁ μὲν [Ἀλέξιος] ἐγένετο βασιλεὺς ἐν [ἔτει] ϛφπϑ΄ (cod. ϛφπζ΄) ἔτος, ὁ δὲ [Ἰωάννης] ὁ υἱὸς αὐτοῦ κατὰ τὸ [ϛχβ΄], ὁ δὲ Μανουὴλ ὁ υἱ[ὸς] Ἰωάννου κατὰ τὸ ϛ[χνα΄], ὁ δὲ Ἀλέξιος υἱ[ὸς τοῦ] ἄνωθεν Μανουὴλ [κατὰ] τὸ ϛχπϑ΄ (cod. ϛχπς΄), [μεθ' ὃν] ἐβασίλευσεν ὁ [Ἀνδρό]νικος Κομνηνὸς [υἱὸς] τοῦ ἄνωθεν [Ἀ]λε[ξίου], οὗτινος οὐ μέμνηται, ἴσως διότι ἐζ[ωγρήθη καὶ] διότι ἐφονεύθη [ὑπὸ τοῦ] Ἰσαακίου Ἀγγ[έλου] κατὰ τὸ ϛχ[ηϑ΄].

Σ. 426, 4 Ἰσαάκιος] Οὗτος ἐβασίλευσε Κωνσταντινουπόλεως μετὰ Μιχαὴλ τὸν Στρατιωτικόν, τῷ ϛφξς΄ ἔτει. Πρῶτος οὗτος ἐν Κομνηνοῖς, μεθ' ὃν βασιλεύει Κωνσταντῖνος ὁ Δούκας, τοῦ Ἰσαακίου μοναχοῦ γενομένου καὶ αὐτῷ τὴν βασιλείαν καταλιπόντος. Οὗτος ὁ Ἰσαάκιος εἶχεν ἀδελφὸν Ἰωάννην καὶ ἀδελφιδοῦν Θεόδωρον τὸν Δοκειανόν· ἀλλ' οὐδέτερον κατέλιπε τῆς βασιλείας διάδοχον· οὕτω γὰρ αὐτῷ ἔδοξε [1].

[1] Τὰ ἐν ἀγκύλαις ἀποκοπέντα διὰ τῆς τοῦ βιβλιοπήγου κοπίδος συνεπληρώθησαν ὑπ' ἐμοῦ.

XX.

Τοῦ πρωτονοταρίου Τραπεζοῦντος

ΣΤΕΦΑΝΟΥ τοῦ ΣΓΟΥΡΟΠΟΥΛΟΥ

πρὸς τὸν βασιλέα κυρὸν Ἀλέξιον τὸν Κομνηνόν

ΣΤΙΧΟΙ ΕΓΚΩΜΙΑΣΤΙΚΟΙ.

(Cod. Patriarch. 370, f. 455—471).

Μὴ θαυμάσῃς, αὐτοκράτορ,
εἰ λαλοῦμεν τεθνηκότες
καὶ φθορᾶ δαπανηθέντες
ἐξ επιδρομῆς ἀνθρώπων·
ἔστι γὰρ καὶ ταῦτα λόγος
παλαιῶν ἀνδρῶν πανσόφων,
ὅτι πόνος ἐξαπίνης
πρόξενός ἐστιν ὑγείας
καὶ πηδᾶ πολλάκις γῆρας
πνεύματι χρισθὲν τῷ θείῳ,
καὶ συμβολικῶς ἐγείρει
καὶ νεκροὺς ἡ προθυμία.
Τοίνυν ὁ πρός σε μου πόθος
καὶ τὸ πρόθυμον τῆς γνώμης
ἀνιστᾷ τὸν νοῦν πεσόντα
καὶ δεινῶς νενεκρωμένον
συμφοραῖς ἀλλεπαλλήλοις,
καὶ κινεῖ μοι τὴν γραφίδα
καὶ τὰς φρένας ἐξεγείρει
καὶ σκιρτᾶν παρασκευάζει
βασιλέως μόνη μνήμη
σοῦ τοῦ παγκοσμοποθήτου.
Ὅθεν πρώτην δουλικήν σοι
τὴν προσκύνησιν προσάγω,
καὶ δοκῶν ἐγγὺς ἑστάναι,
πρὸ προσώπου σου τοῦ θείου,
ἅπτομαι τῶν σῶν γονάτων
ἀσπαζόμενος τοὺς πόδας
καὶ τὰς χεῖρας τὰς παντίμους,
ἔπειτα καὶ τάδε γράφω.

Τολμηρῶς πρὸς τὸν δεσπότην
αἰχμαλωτισθεῖσαν πόλιν,
δορυάλωτον φανεῖσαν
καὶ ἐπιβουλευομένην,
ἔλαβες ἀρχῆς εἰς κλῆρον
ἐν καιρῷ δυσκολωτάτῳ,
πονηραῖς ἐν ταῖς ἡμέραις,
ὅτε τῶν καλῶν ἡ σπάνις,
τὰ κακὰ δ' ἀνθεῖ καὶ θάλλει.
Σκόπει τοίνυν καὶ λογίζου,
πῶς ἀρέσεις τῷ δεσπότῃ
καὶ πατρὶ τῷ δεδωκότι
πόλεως τὴν προεδρίαν.
Ἦν μὲν ἀγαθὸν τὸ πρῶτον
τόσον ἀποθέσθαι βάρος,
νῦν δὲ τούτου παρελθόντος
κρῖναι δοκιμὴν δοθῆναι

σοῦ τῇ μεγαλοφυΐᾳ
ἐν νεότητι θεόθεν,
ἵνα δόκιμος ἐν τούτῳ
τῶν πραγμάτων οἰκονόμος
εὑρεθῇς ἐν τοῖς ἀπόροις,
οὕτω διαβῇς πρὸς ὕψος
τὸ τῆς ὅλης βασιλείας·
ἴσως δὲ Θεὸς οἰκτείρας
πόλιν τὴν καταπεσοῦσαν,
οἷς ἐκεῖνος οὐδὲ λόγοις,
ἐνεχείρισε τὸ κράτος
σοι τῷ νέῳ στεφηφόρῳ.
Φρόντιζε λοιπόν, αὐτάναξ,
ἵνα τὴν ἀρχὴν τοῦ κράτους
δείξῃς δεξιὰν τοῖς πᾶσιν,
ἵνα πᾶσι μεγαλόφρων
μεγαλόβουλος ὑφίνοις
καὶ στερρὸς φανῇς τὴν γνῶσιν·
καὶ μιμοῦ τοὺς κυβερνήτας
τοὺς ἀρίστους ἐν χειμῶνι,
οἳ πρὸς βίας τῶν ἀνέμων
ἀνθιστάμενοι γενναίως
σώζουσι τὰς ναῦς ἐκ ζάλης.
Ἀλλὰ πόθεν εὕροις πόρον
(ἴσως εἴποις) ἐν ἀπόροις,
πῶς δὲ πεπασθήσεταί τις
κουφιζόντων πτερῶν δίχα;
Ἱρῶτον τίθει τὰς ἐλπίδας
πρὸς Θεὸν τὸν στεφοδότην,
ὅς, ἐὰν μὴ κτίσῃ οἶκον
καὶ οἰκοδομήσῃ πόλιν,
μάτην κοπιῶντας φαίνει
τοὺς οἰκοδομοῦντας πάντας.
Ἔπειτα τοῦ Σολομῶντος
παραινέσεσιν ὁμίλει,
βασιλέως καὶ προφήτου·
ὑπὲρ πλοῦτον γὰρ ἐκεῖνος
ὄνομα καλὸν προτρέπει
κτήσασθαι τοὺς ἐν τῷ βίῳ
Ζήλωσον τὸν Μακεδόνα
τὸν Ἀλέξανδρον ἐκεῖνον·
ἀντὶ θησαυρῶν γὰρ οὗτος
ἔδειξε τοὺς ὑηκόους
πρὸς τοὺς πρέσβεις Δαρείου.
Ἀντὶ πλούτου γοῦν ἐκ λίθων
καί γε διαυγῶν μαργάρων,
ὑφασμάτων χρυσοπάστων
τῆς πορφύρας καὶ τοῦ βύσσου
καὶ χρυσοκολλήτων πέπλων
καὶ βασιλικῆς τιάρας
τῆς λιθομαργαροφόρου,
δεῖξον σὺ τὴν Κερασοῦντα
τοῖς μετέπειτα ἀνθρώποις,
ἵνα λάβῃς παρὰ πάντων
οὐρανόμηκες τὸ κλέος.
Κόσμος μέγας βασιλεῦσι
τὰ λευκὰ τῶν ἱματίων·
βασιλέα γὰρ οὐ στέφος
ἀλλὰ τρόπος καλλωπίζει.
Γυναιξὶν οἱ λίθοι κόσμος,
ἵν' ἀρέσωσιν ἀνδράσι,
τοῖς δὲ βασιλεῦσι κλέος
ἡ λιτότης ἡ χρηστότης,
τὸ καταφρονεῖν μαργάρων
καὶ πρὸς τὸν πηλὸν τοῦ σκήνους
ἀφορᾶν ἐν κατανύξει.
Ἄλλο πήδημα λεόντων,
ἄλλο δὲ τὸ τῶν πιθήκων,
ἄλλη δόξα τοῦ ἡλίου
καὶ ἑτέρα τῆς σελήνης.
Οὕτω καὶ κενὰ καὶ ξένα
καὶ πολλὰ παρηλλαγμένα
τὰ τῶν βασιλέων πρέπει
πρὸς τοὺς ὑποτεταγμένους.
Ἀλλ' οὐκ ἔχεις οὐδὲ λίθους,
οὐδὲ τάλαντα χρυσίου
οὐδὲ φάρεα ποικίλα,
τοὺς βασιλικοὺς μανδύας·
οἶδα γάρ, κἂν σιωπήσῃς.
Τοίνυν ἐπειδὴ πρὸς πόντον
πολυκύμαντον εἰσῆλθες
καὶ περᾶν ἀπόνως θέλεις
τὰ τῶν θαλασσῶν πελάγη
δίχα τῆς ἐπικουρίας
τῶν ναυτῶν τῶν συμπλεόντων,
κἂν μιμοῦ λοιπὸν ἐμπόρους
τοὺς πολλὰ δανειζομένους
καὶ τὸν Εὔξεινον περῶντας
ἐπ' ἐλπίδι πολλοῦ κέρδους·
οὗτοι γὰρ ἂν εὐπλοῶσιν,

ἀπονέμουσι τὸ χρέος
οὐ πολλῇ τῇ προθυμίᾳ
καὶ τοὺς τυπωθέντας τόκους·
εἰ δὲ τύχοι δυσπραγῆσαι,
λέλυται τὸ χρέος ἅπαν.
Ἂν γοῦν δανειστὰς εὑρήσῃς,
μηδαμῶς φοβοῦ τὸ χρέος·
ἀποτίσουσι γὰρ ἅπαν
οἱ κλεινοὶ βεστιαρῖται,
τῶν πραγμάτων οἱ ταμίαι,
καὶ τὸ κλέος ἕξεις μόνος
τὸ κατὰ τὴν Κερασοῦντα.
Εἰ δὲ δάνειον οὐχ εὕρῃς
(οἶδα γὰρ ὡς οὐχ εὑρήσεις),
χώρει πρὸς εὐγνωμοσύνην
καὶ μηδόλως ἐλεήσῃς
νοταρίων ὀξυγράφων
δόνακας καὶ τοὺς δακτύλους.
Γράφε συνεχῶς καὶ ζήτει
ἔρανον τοὺς εὐποροῦντας·
ἀκοὰς δὲ πρὸς βαρείας
καὶ πολλὰ δυσηκωφούσας
καὶ πρὸς βραδυτήτα τούτων
ἔχε τὸν ψαλμὸν ἐκεῖνον
τὸν τριακοστὸν ἐν γλώττῃ
προφητάνακτος Δαυίδου.
Ψ'άλλων τοῦτον ἀπεκδέχου
τῆς ὑπομονῆς τὴν χάριν.
Βασιλεῦ, ἀστεῖα ταῦτα,
πλὴν τῆς ἀληθείας ἔνδον.
Ἵνα γοῦν τυχὸν γελάσῃς
ἐν ἐρημωθείσῃ πόλει
καταμεμονωμένῃ,
ἐξυφαίνομεν τοὺς λόγους
ἐν ἁπλότητι καρδίας·
σὺ δ' εἰ θέλεις δοξασθῆναι
καὶ πρὸς ὕψος ἐπαρθῆναι
καὶ τιμῆς ἀξιωθῆναι
καὶ πολλὰ μακαρισθῆναι
καὶ κατ' οὐρανοὺς γραφῆναι
καὶ τοῖς ἐκλεκτοῖς συνεῖναι,
σὺν ἁγίοις τε ταχθῆναι
καὶ γε συνετὸς φανῆναι
καὶ σοφοῖς ἀριθμηθῆναι,
βασιλεύς τε λογισθῆναι
καὶ τὸν λόγον καὶ τὸν τρόπον,
ὃς γιτῶνα τελευταῖον
καὶ περιουσίαν πᾶσαν
τέκτοσι καὶ λιθοτόμοις
καὶ τοῖς μισθοφορουμένοις
πρὸς οἰκοδομὴν φρουρίου
κατὰ θάλασσαν ὁρῶντος,
οὗ καὶ τὰς ἀρχὰς τοῦ τείχους
πρὸς τὴν Κρεμαστὴν ὁ μέγας
λογοθέτης ἔθετό που.
Καὶ τοὺς λέγοντας ἑτέρως
καὶ βουλευομένους ἄλλως,
ὡς συνηγοροῦντας μάτην
καὶ κακῶς στοχαζομένους
παραυτοῦ ψυχῆς ἐξ ὅλης·
χρόνοι γὰρ ἐλεύσονταί που
τῶν ἀνθρώπων φθειρομένων
καὶ δεινῶς ἐλαττουμένων,
ὅτε τῶν ὑπολειφθέντων
ἔσται σωτηρία τοῦτο.
Καὶ πρὸς τὸ παρὸν δὲ πᾶσι
τοῖς προσοίκοις τῶν βαρβάρων
φόβητρον τὸ τεῖχος ἔσται
τὸ τοῦ νέου πολιχνίου·
ἀστοχοῦντες γὰρ τοῦ κέρδους
ἀποστήσονται τοῦ τείχους
καὶ τῶν ἐπιβουλευμάτων
τοῦ μεγάλου περιβόλου.
Καὶ Κερασουντίοις πάλιν
ἐν ἐπιδρομῇ βαρβάρων
τὸ πολίχνιον ὃ κτίσεις,
ἔσται ζώπυρον ἐλπίδος
καὶ προφυλακὴ καὶ σκέπη·
ἀπαντήσουσι γὰρ ἀρδην
σὺν πολλῇ τῇ προθυμίᾳ,
τοὺς ἐχθροὺς ἀποσοβοῦντες
ὁμοζύγους οὐχ ὁρῶντες
ὄπισθεν ὀδυρομένας
καὶ τὰ φίλτατα θρηνοῦντα
καὶ περιουσίαν πᾶσαν
λάφυρον ἐπαγομένην.
Τὴν συνῆθη δὲ τοῦ τείχους
τοῦ μεγάλου περιβόλου
φύλαξιν ποιήσει φόβος
ἄρχοντος προϊσταμένου·

ἀπειλὴς γὰρ μὴ παρούσης
ἡγεμόνος καὶ προστάτου,
ἀφυπνώσει φύλαξ ἅπας
καὶ φρουρίου μὴ παρόντος.
Κτίσον τοίνυν δέσποτά μου,
στεφηφόρε σταυροφόρε,
καὶ μηδείς σε λόγος πείσει
μὴ γνησίων μηδὲ φίλων
μήτε τῶν ὑπερεχόντων
μὴ τῶν ὑποτεταγμένων
ἀποστῆναι τοῦ σκοποῦ σου,
ἵν' ἀθάνατον τὴν δόξαν
ἐν τοῖς οὐρανοῖς εὑρήσῃς,
ἵνα τοὺς μισθοὺς κομίσῃ
θάλλοντας ἀμαραντίνους
ἐκ χειρὸς τοῦ στεφοδότου.
Ὑπὲρ τοὺς ξενῶνας τοῦτο
καὶ μονὰς τὰς σεβασμίας,
ὑπὲρ ὀρφανοτροφεῖα
καὶ πτωχοτροφεῖα πάντα,
σωτηρία ψυχῶν τόσων
κατὰ νύκτα πτοουμένων
τῶν βαρβάρων τὰς εἰσόδους,
δώσει σοι μονὴν ὁ Κτίστης
ἐπὶ τῆς Ἐδὲμ πλατείαν,
ἀνεξάλειπτον καὶ μέγαν
φέρουσαν τὸν τίτλον τοῦτον
"Ἀλεξίου βασιλέως
αἰωνία μονὴ αὕτη,
ἀντὶ τοῦ πρὸς Κερασοῦντα
πολισθέντος πολιχνίου".
Ἀλλὰ πῶς ἐγὼ πρὸς δύσιν
πείθω μένειν τὸν φωσφόρον
καὶ τὸν ἥλιον μου λάμπειν
πόρρω που τῶν ὀφθαλμῶν μου;
Ἔλαθον εἰς τοῦτο παίσας·
διὰ τοῦτο δέομαί σου
καὶ θερμῶς καθικετεύω,
τάχυνον ἐλθεῖν ἐνθάδε
καὶ φωτίσαι μου τὰς κόρας
καὶ τοὺς ὀφθαλμοὺς λαμπρύναι
φωτοδότα φωτοβόλε
φωτοπάροχε λυχνίτα,
ἔχων σύμβουλον ἐν πᾶσι
πρωτοκήριον τὸν μέγαν,
ὑγιαίνοντα τὴν γνῶσιν,
βαθυγνώμονα τὰς φρένας
καὶ τὸν νοῦν πεπυκνωμένον
καὶ τὸν λόγον ἠρτυμένον.
Ἀλλὰ χαίροις, κοσμοκράτορ,
χιλιάκις μυριάκις·
καθ' ἡμέραν κατὰ νύκτας,
ἐν παντὶ καιρῷ καὶ χρόνῳ,
ἐν θαλάσσῃ κατὰ χέρσον,
ἐπὶ ξένης ἐν πατρίδι,
ἐν ὁδοιπορίαις πάσαις
εὕροις τὸν Θεὸν ἐν πᾶσι
τοῖς χρηστοῖς βουλεύμασί σου
ἀντιλήπτορα προστάτην
σύμμαχον φρουρὸν καὶ σκέπην,
ἐν πολέμοις πρωτοστάτην,
ὁδοστάτην τοῖς ἐχθροῖς σου.
Ἔλθοις εἰς βαθὺ πρὸς γῆρας,
ἴδοις παῖδας σου τῶν τέκνων
ἄχρι γενεᾶς τετάρτης·
ἴδοις ὤλεω τὸν μέγαν
βασιλέα καὶ δεσπότην
ἐν ἡμέρᾳ τῇ τῆς δίκης,
πρὸς ἀνώλεθρον ἐκείνην
οὐρανῶν τὴν βασιλείαν
φέροντα καὶ στέφοντά σε
εἰς αἰῶνας τῶν αἰώνων.

Ἀνεπίγραφον.

Καὶ τίς παρηγορήσεται, τίς με παραμυθήσοι;
τίς φλόγα τὴν ἀνάπτουσαν ἔνδον καταστορέσοι;
τίς τυφομένην κάμινον ἐπαναψύξοι δρόσος;
τίς ἄνθρακας ἀνάπτοντας δεινῶς καταπραΰνοι

καὶ τίς με πυρπολούμενον ἐκ τοῦ πυρὸς ἁρπάσοι,
μᾶ[λλον] δὲ καὶ ποντούμενον πρὸς τὴν ξηρὰν ἑλκύσοι,
ὅτι τὸν αὐτοκράτορα, τὸν μέγαν βασιλέα,
τὸν λέοντα τὸν ἄλκιμον, ὑπερνεφῆ τὸν ὄρνιν,
τὸν πύργον τὸν ἀκλόνητον, ὑψίκομον τὸ δένδρον,
τὸν εὐθαλῆ παράδεισον, τὸν σθεναρὸν ἐν μάχαις,
τὸν ἐν πολέμοις ἄγρυπνον, ἀδάμαντα πρὸς πόνους,
τὴν μόνην μου παραψυχήν, τοῦ γήρους βακτηρίαν,
κυκλώσαντες ἐκύκλωσαν οἱ πειρασμοὶ κυκλόθεν
καὶ νῦν ἀφίσταμαι μακρὰν τῆς θέας τῆς ἐκείνου;
Καὶ πῶς ὁρῶ τὸν ἥλιον μὴ βλέπων τὸν φωσφόρον,
μὴ καθορῶν τὸν γίγαντα, τὸν παμφαῆ λυχνίτην,
τὸν ἐκ Ῥωμαίων ὑψηλόν, τὸν ἐξ Ἰβήρων μέγαν,
τὸν πάντοθεν ὑπέρλαμπρον καὶ λόγοις καὶ πρακτέοις,
τὸν στέφανον τὸν χρύσεον τοῦ Πόντου τοῦ Εὐξείνου,
σημαίαν τὴν ὑπέρφωτον ἄχρις αὐτῆς Κολχίδος,
τιάραν λιθομάργαρον χριστεπωνύμου λέχους,
ἠκονημένην μάχαιραν ἐθνῶν τῶν θεομάχων;
Ἆρον ἐκ τῶν ὀμμάτων μου τὰς φαεινὰς ἀκτῖνας,
ἥλιε χρυσοκόλλητε, χρυσόπαστε φωσφόρε,
ἂν μὴ τὸν Κομνηνόβλαστον κατίδω διὰ τάχους,
καὶ προσκολλήσω χείλη μου τοῖς πέλμασιν ἐκείνου,
καὶ προσκυνήσω πρόσωπον χαριτοβόλον ὅλον.
Τί μοι τὸ ζῆν χωρὶς ψυχῆς, τὸ πνέειν πνοῆς δίχα;
Λατῖνοι δυσθεώτατοι, τρανῶς πνευματομάχοι,
τῆς ἐκκλησίας ἔκπτωτοι, Λατῖνοι θεομάχοι,
χριστιανῶν πολέμιοι τῶν ὀρθοδοξοτάτων,
οἱ πᾶσαν συνταράσσοντες τὴν οἰκουμένην ἄρδην
καὶ νῦν τὸν θεοπρόβλητον ματαίως θορυβοῦντες,
στῆτε καὶ γνῶτε δυσσεβεῖς πρὸς τίνα πολεμεῖτε·
σύνετε καὶ διδάχθητε πόσον ἐστὶ τὸ μέσον.
Οὗτός ἐστιν ἀπόγονος ἐκείνων τῶν Αὐσόνων,
οὓς Ἰταλία πέφυκεν, οὓς Ῥώμη κατεπλάγη,

*

οὓς ὁ Γελίμαρ κατιδών, τῶν Οὐανδίλων ἄρχων,
εἰς ὄρη φεύγων δίδωσιν αὐτὸν σὺν τοῖς σατράπαις·
κἀκεῖθεν δύστηνος ἀνὴρ σπόγγον λαβὼν καὶ λύραν,
κλαίων δεινῶς ἐπάνεισι τὼ χεῖρε δεδεμένος
πρὸς τὴν Ῥωμαίων στρατιὰν ὁ πριν γεγαυρωμένος.
Ἀλλὰ ξυρήσειε Θεὸς ὀργῇ τὴν κεφαλήν σου,
ἀφέλοι δὲ τὸν πώγωνα καὶ γνάθους τὰς βλασφήμους,
καὶ σάκκον ἐπενδύσοι σε μετὰ ζωστῆρος σχοίνου,
ἵνα φανῇς τερέβινθος τῶν φύλλων γυμνωθεῖσα·
καὶ ταπεινώσει σε Θεός, συντρίψοι καὶ λεπτύνοι,
καὶ τὸν αὐχένα σου ζυγῷ δαμάσοι τῆς δουλείας,
καὶ θήσοι σε πρὸ τῶν ποδῶν τοῦ Κομνηνοβλαστήτου,
ὡς ὑπερήφανον τρανῶς, ὡς μιμητὴν τοῦ πλάνου.

Ἀνεπίγραφον.

[Ἂν ἄ]οπλος . . ύνου κωλύῃ τὴν ἀγάπην,
ἂν ἄνθρωπος ἀπὸ τῆς γῆς ἔλκῃ σε πρὸς τὴν μάχην,
τὸν μὲν [λογ]ίζου δαίμονα κατὰ πτερὸν ἐκ ζόφου,
τὸν δὲ τοῦ σκότους ἄρχοντα καὶ φυτοσπόρον τούτου.
Φεῦγε πόρρω, βασιλεῦ, τὴν βλάβην ἀμφοτέρων
ὡς ὄφεως ψιθυριστὰς τοῦ πρώτου κακεργάτου·
ἔχε τοὺς πόδας σου στερρῶς εἰρηνικὴν πρὸς στάσιν
τὴν μόνην ἀστασίαστον, τὴν τῆς ψυχῆς γαλήνην,
ἥτις υἱοὺς ποιεῖ Θεοῦ τοὺς ταύτην μετιόντας·
ἰδοὺ γὰρ νῦν ἀνήχθησαν πρὸς ἔσχατον τὸν ὅρον,
πρὸς κολοφῶνα μέγιστον, ἀγάπη τε καὶ μάχη.
Ἐξῆλθον ἀπὸ τοῦ Καφᾶ καὶ πρὸς αὐτὸν τὸν δοῦκα
ἀμφότεραι συντρέχουσι διὰ τοῦ καπετάνου.
Ἂν προλαβὼν ὡς συνετὸς καὶ μέγας κυβερνήτης,
ὡς βασιλεὺς ὡς ἐν βουλαῖς νικῶν τοὺς ὑπὸ χεῖρα,
χαλάσῃς σου τὴν ἄγκυραν τὴν κοσμοφόρον πλοίου
εἰς εὔδιον πρὸς ἄκλυστον λιμένα τῆς ἀγάπης,
καὶ θήσῃς τὰς καταλλαγὰς μετὰ τῶν νῦν υἱῶν σου,
ὡς ἡ μεγάλη δίδωσι καὶ γνῶσίς σου καὶ πρᾶξις,

ἔξεις τὸν δοῦκα φίλον σου ποθοῦντα τὴν εἰρήνην,
καὶ παύσονται τὰ δυσχερῆ πρὸς ἔαρ τὰ τῆς μάχης,
ὅσα καττύειν εἴωθε σκυτεὺς ὁ βροτοκτόνος,
καὶ ζήσεις βίον ἄλυπον, ἀτάραχον καθόλου,
ἀκύμαντον, ἀπήμονα, πλήρη χαρᾶς παμφώτου.
Καὶ γλώσσας πάσας ἡβηδὸν εὔροις εὐχαριστούσας,
καὶ χεῖρας πρὸς τὸν Ὕψιστον εὐφήμως αἰρομένας
ὑπὲρ τῆς σῆς νεότητος τῆς παγκοσμοποθήτου,
ὑπὲρ φιλτάτων εὐκλεῶν, καὶ τοῦτο νωλεμέως.
/////// π ///// τὸν καιρόν, χειμῶνος ἱσταμένου,
ὅσον τὸ κατὰ δύναμιν ἐπιποθῶν εἰρήνην.
Ψυχὴν ἔχω λαγωοῦ καὶ γυναικὸς καρδίαν
καὶ τῆς ἐλάφου πτόησιν καὶ χελιδόνος πτῆσιν·
[πεφό]βηκα τὸν λέοντα σὲ βασιλεῦ καὶ τρέμω,
καὶ τὴν φωνὴν ἀφῆρημαι καὶ τὴν γραφίδα ῥίπτω.
Βούλομαι πρὸς οἰκτίρμονα καὶ συμπαθῆ λαλήσω·
ὁριμύς σε καταλήψεται μετάμελος πρὸς ἔαρ.

XXI.

Βίος καὶ πολιτεία τῆς ὁσίας μητρὸς ἡμῶν

ΠΑΡΑΣΚΕΥΗΣ ΤΗΣ ΝΕΑΣ

τῆς ἐξ Ἐπιβατῶν,

Ματθαίῳ τῷ ταπεινῷ μητροπολίτῃ Μυρέων συγγραφεῖ.

(Cod. Patriarch. 161, f. 54—66).

1. Οὐδὲν οὕτω ψυχωφελὲς καὶ σωτήριον καὶ παντὸς ἄλλου ἐπαινουμένου πράγματος χρησιμώτερον, ὡς τὸ διηγεῖσθαι τὰς τῶν ἁγίων ἀνδρῶν θεοφιλεῖς πράξεις καὶ βίους καὶ κατορθώματα, ἃ τοὺς μὲν ἐργάτας τῶν ἀρετῶν καὶ ἐπιπόνως διακειμένους εἰς ἐργασίαν πρὸς τὸ ἐπιπονώτερον καὶ προθυμότερον ἐπαλείφουσί τε καὶ ἐρεθίζουσι, τοὺς δ' ἀμελεῖς καὶ ῥαθυμους ὡς ἐξ ὕπνου καὶ μέθης ἐπὶ τὴν τῆς ψυχῆς νῆψιν διανιστῶσι καὶ διεγείρουσιν ἀποτιθέναι τε τὴν τῆς ῥαστώνης χαυνότητα καὶ ἀναβαίνειν πρὸς αὐτὴν τῶν ἀρετῶν τὴν ἀκρώρειαν. Ἐπὰν δὲ καὶ γυναικὸς ἁγίας αἱ ἀριστεῖαι κατ' ἀκρίβειαν διηγῶνται τῶν κατὰ τὸν βίον κατορθωμάτων, ἥ τε τοῦ θήλεος πρὸς ἀνδρῶαν μεταβολὴ καὶ ἡ κατὰ τῶν δαιμόνων πάλη καὶ νίκη πολλῷ μᾶλλον ἐπὶ τὸ προθυμότερον τοὺς πάντας ἰθύνουσί τε καὶ διεγείρουσι. Τοιοῦτος ἦν καὶ ὁ τῆς νῦν ἐγκωμιαζομένης ἁγίας παρθένου Παρασκευῆς βίος καὶ πολιτεία καὶ ὁ παρ' ἡμῶν ταύτης θεῖος ἔρως καὶ ἔπαινος· (ὃς) ἐμπόνως ἀπὸ βουλγα-

1 Ἐν τῷ κώδ. «ψυχοφελὲς». 2 κῶδ. «ἐπαινομένου». 5 ἐπιπονώτερον] κῶδ. «επινότερον». 8 ραστόνης || ἀναβαίνειν] ἀναβιβάζουσι. 10 ἐπ' ἀν . . . ἀριστεῖαι. 10 διηγῶνται] διηγούμεναι. 11 θήλεως. 15 πρὸ τοῦ «ἐμπόνως» προσέθηκα «ὃς».

ρικῆς διαλέκτου εἰς τὴν ἑλληνίδα μεταφρασθεὶς καὶ ὑμῖν τοῖς φιλοθέοις ὥσπερ τι πολύτιμον δῶρον ἀποδοθείς, οἶμαι τὴν ἑκάστου φιλόθεον ψυχὴν εὐφρανεῖ ἀναγινωσκόμενος.

2. Αὕτη τοίνυν ἡ θεόνυμφος μήτηρ πατρίδα μὲν ἔσχε τοὺς Ἐπιβάτας, χώραν ὁδὸν ἡμέρας τῆς Κωνσταντινουπόλεως ἀπέχουσαν, γεννήτορας δὲ φιλοθέους καὶ εὐσεβεῖς ἐν πάσαις ταῖς ὁδοῖς Κυρίου πορευομένους, ἐλεημοσύναις καὶ ἀρεταῖς τὸν ἑαυτῶν βίον κατακοσμοῦντας παντοίαις· καὶ τὴν ἑαυτῶν θυγατέρα τὴν καλλιπάρθενον ταύτην ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου γαλακτοτροφήσαντές τε καὶ ἐπαυξήσαντες πρὸς Κύριον ἐξεδήμησαν, τὰ φθαρτὰ τῶν ἀφθάρτων ἀνταλλαξάμενοι καὶ τὰς αἰωνίους μονὰς κληρωσάμενοι, τὰ δὲ ἑαυτῶν πάντα πράγματα καὶ περιουσίαν τῇ ὁσίᾳ καταλιπόντες καὶ υἱῷ μονογενεῖ Εὐθυμίῳ τοὔνομα. Οἳ μετὰ τὴν ἐκείνων πρὸς Κύριον ἐκδημίαν τὴν ἀρίστην καὶ κρείττονα βουλὴν βουλευσάμενοι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἑαυτοὺς παραρριπτεῖσθαι μᾶλλον (προείλοντο) ἢ οἰκεῖν ἐν ἁμαρτωλῶν σκηνώμασι καὶ ἐκδοῦναι ταῖς κατὰ κόσμον φροντίσιν, ὧν τὸ τέλος ἀπώλεια. Πάντα πτωχοῖς καὶ ἀναπήροις ἀπένειμαν μηδὲν ἑαυτοῖς καταλιπόντες. Ἀλλὰ πᾶσαν τὴν ἑαυτῶν φροντίδα καὶ σώματα καὶ ψυχὰς τῷ Θεῷ ἀναθέντες αὐτῷ ἠκολούθησαν τὸν μονήρη ἀσπασάμενοι βίον, καὶ ὁ μὲν εἰς ἀνδρῶον ἡ δὲ εἰς γυναικεῖον ἀφίκοντο μοναστήρια· τὰς τρίχας κειράμενοι καὶ τὸν κόσμον ἀποταξάμενοι τὴν σάρκα τούτῳ προσήλωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τὴν ὑπακοὴν τῷ προεστῶτι ἀόκνως ἐπιδεικνύμενοι, χοῦν τε ἑαυτοῖς καὶ σποδὸν τοῖς πᾶσιν ἐπιτιθέμενοι.

3. Καὶ ὁ μὲν Εὐθύμιος ταῖς ἀρεταῖς καταγλαϊσθεὶς καὶ τῇ τῶν γραμμάτων μελέτῃ τὸν νοῦν καταφωτισθείς, ἀναπτερώσας πρὸς θεῖον ἔρωτα, τοῖς [πᾶσιν] ἐγένετο περιβόητος καὶ πολλῶν ὁδηγὸς πρὸς σωτηρίαν· παρεγίνοντο γὰρ πρὸς αὐτὸν εἰς τὸ μοναστήριον οὐ μόνον τῶν ἐγγὺς ἀλλὰ καὶ τῶν μακρόθεν πλῆθος πολύ. Ἀκούοντες τοὺς ἡδυτάτους αὐτοῦ λόγους ἐτρύφων τὰς ἀρετὰς καὶ

6 γεννήτορες. 15 παραριπτεῖσθαι || μετὰ το φαλλον» προσέθηκα «προείλοντο». 24 εαυτους. 28 μικρον χάσμα, ὅπερ συνεπλήρωσα εἰς «πᾶσιν».

τὴν σωτηρίαν ἐκαρποῦντο. Ὅθεν καὶ τοῦ τότε καιροῦ ἐπισκόπου Μαδύτων ἐν Κυρίῳ τελειωθέντος, ἐσείετο ὁ λύχνος φωτὸς καὶ τὸ φῶς ἀνελθεῖν ἐπὶ τὴν λυχνίαν προσῆκε· "οὐ γὰρ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη" κατὰ τὸν λόγον τὸν ἱερόν. Ἀλλὰ τοῦτον ἡ τῆς ἐπαρχίας πλυθὺς καὶ (ὁ) τῶν ἱερέων κατάλογος καὶ ἄκοντα χειροτονοῦσιν ἐπίσκοπον, ὃ δὲ τὴν προστασίαν τῆς ἀρχιερωσύνης λαβὼν ἐπαυξῆσαι τὸ τάλαντον ἠγωνίσατο καὶ πλεονάσαι προεθυμήθη, πόνους τοῖς πόνοις καὶ ἀρετὰς ταῖς ἀρεταῖς τὸ πλέον διατιθέμενος· δάκρυα δὲ τοῖς δάκρυσι καὶ ἐλεημοσύνας ταῖς ἐλεημοσύναις προσθείς, καὶ τὸ ποίμνιον καλῶς καὶ ὀρθοδόξως ποιμάνας, πρὸς Κύριον ἐξεδήμησε καὶ πολλὰ μετὰ θάνατον κατειργάσατο θαύματα.

4. Ἡ δὲ θεόνυμφος αὕτη παντοίας ἀρετὰς ἐν τῷ μοναστηρίῳ κατορθώσασα ἐξῆλθε τοῦ μοναστηρίου καὶ τὴν ἔρημον ᾤκησε. Μόνῳ τῷ Θεῷ ὁμιλοῦσα καὶ ἐπιμόνως καθικετεύουσα "Σέ, νυμφίε μου, ποθῶ καὶ σὲ ζητοῦσα ἀθλῶ" ἔλεγε, "καὶ διὰ σὲ τὴν ἔρημον ταύτην ἀσπάζομαι θηρίοις συνοικοῦσα τοῖς ἰοβόλοις, ἵνα πατήσω τὴν κάραν τοῦ βροτοκτόνου δράκοντος καὶ τῶν σκορπίων τὰ κέντρα τὰ ἰοβόλα καὶ θανατηφόρα καὶ δηλητήριον ἀποστάζοντα. Σοὶ τοίνυν τὴν πᾶσάν μου, βασιλεῦ αἰώνιε, ἀνεθέμην ἐλπίδα, τῷ δυναμένῳ δῆσαι τὸν ἰσχυρὸν καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι καὶ εἰς τέλος ὀλέσαι καὶ καθελεῖν, ἵνα μηκέτι καθ' ἡμῶν τῶν σῶν δούλων κατακαυχᾶται καὶ καθοπλίζηται· καὶ σοῦ τοῖς ποσὶν ἐμαυτὴν ἐπιρρίπτω, δεομένη καὶ ἱκετεύουσα διαφυλαχθῆναί με ἄτρωτον ταῖς αὐτῶν τῶν δυσμενῶν ἐπηρείαις". Ταῦτα μὲν ταύτης καὶ ἄλλ' ἄττα πρὸς τὸν δεσπότην τὰ ῥήματα, τὰ δὲ πράγματα, τὰ πεπραγμένα αὐτῆς δηλονότι θεάρεστα καὶ ψυχοσωτήρια ἔργα, νηστείας καὶ ἀγρυπνίας καὶ παννυχίους ὕμνους καὶ ᾠδὰς καὶ δάκρυα, ποῖος ἂν εἴποι βροτῶν ἐξισχύσειεν; Οἴδασι ταῦτα οἱ ἐργάται τῶν ἀρετῶν, οἱ τὰ τοῦ κόσμου πάντα ἀπαρνησάμενοι καὶ τὸν Σταυρὸν ὡς ζυγὸν ἀράμενοι καὶ ἀκολουθήσαντες τῷ Χριστῷ, ἄζυγον ἀσκοῦντες βίον. Οὐδένα ἄλλον ἔσχεν ἐν τῇ ἐρήμῳ συλλήπτορα

1 καρπούμενοι. 2 μαθήτων. 3 Ματθ. 5,14. 5 μετὰ τὸ «καὶ» προσέθηκα «ὁ». 15 ἔλεγε] λέγουσα. 22 καθοπλίζεται.

ἢ μόνον τὸν δεσπότην Χριστόν, αὐτῷ ὁμιλοῦσα, αὐτῷ ἐντρυφῶσα, αὐτὸν καὶ πνοὴν καὶ ζυγὸν καὶ ὁδηγὸν καὶ σωτῆρα καὶ εὐεργέτην καὶ λυτρωτὴν ἔχουσα καὶ νυμφίον, καὶ αὐτῷ τὴν τῆς παρθενίας λαμπάδα τῶν ἀρετῶν δαδουχίαις πληρεστάτην προσφέρουσα. καὶ πότε ἀναλύσει ἐκ τῶν γάμων μεσονυκτίου προσαναμένουσα καὶ τοῦ κεκοσμημένου νυμφῶνος ἔνδον εἰσελθεῖν προσδοκῶσα.

5. Ἡλιου τοῦ οὐρανοδρόμου καὶ Ἰωάννου τοῦ ἐκ στείρας βλαστήσαντος τὸν βίον ζηλώσασα κατώκει τὴν ἔρημον. Ἄτροφος ἄποτος ἄϋπνος διεκαρτέρει τὰς ἡμέρας πάσας τῆς ἑβδομάδος· ἅπαξ σαββάτῳ καὶ κυριακῇ τροφῆς μετελάμβανε, βραχέος ἄρτου καὶ ὕδατος. Κλίνη δὲ ἦν αὐτῆς πέτραι καὶ διερρωγὸς ῥάκιον ἔνδυμα τοῦ σώματος περιβόλαιον. Οἱ ὀφθαλμοὶ αὐτῆς πηγὴ δακρύων πεφύκασι, τὸ δὲ στόμα αὐτῆς σὺν τοῖς χείλεσι φιάλαι τῶν ἀρωμάτων, ὕμνον ἀκατάπαυστον χέουσαι καὶ εὐωδίας πνευματικῆς τὸν ἀέρα ἐμπνέουσαι καὶ πληροῦσαι. Προσευχὴ δὲ ἦν αὐτῆς ἐκτενὴς γενομένη καὶ στάσις ἄγρυπνος· καὶ τἆλλα πάντα ὅσα τῶν ἀρετῶν κατορθώματα, ἦν αὐτῆς βρῶσις καὶ πόσις καὶ ἀνοχὴ καὶ ἀνάπαυσις. Φ[ωτισμὸ]ς δὲ αὐτῇ ἡ τοῦ θανάτου ὥρα, ἡ τοῦ δ[ικα]ίου Χριστοῦ δευτέρα ἐπέλευσις, τὸ ἀδέκαστον δικαστήριον, ἡ ἀνίλεως κρίσις, ἡ κατὰ τῶν ἁμαρτωλῶν ἀπόφασις ἔνδικος καὶ ὅσα κατὰ τὸν καιρὸν ἐκεῖνον φανήσονται ποιηθησόμενα. Ταῦτα μὲν οὖν νοοῦσα ἤγνυε τῇ ψυχῇ ἕως θανάτου περίλυπος, ἔχαιρε δὲ πάλιν τῇ ἐλπίδι τῶν προσδοκωμένων καὶ μὴ βλεπομένων· "ἐλπὶς γὰρ βλεπομένη" μετὰ τοῦ κήρυκος ἔλεγεν, "οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα". Ἀπεξεδέχετο οὖν καὶ αὕτη τὴν ἐλπίδα τῶν προσδοκωμένων, ὡς εἴρηται, τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν, τὴν ἀνάπαυσιν τῶν δικαίων καὶ ὅσα τοῖς ἁγίοις ἐπήγγελται ἀγαθά, ἃ καὶ ὀφθαλμοῖς ἐστιν ἀθεώρητα καὶ ὠσὶν ἀνήκουστα, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐδέποτε ἀναβεβηκότα. Ταύταις ἐνετρύφα ταῖς ἀθα-

8 κατῶκει. 15 ἐμπναίουσαι. 18 συναπλήρωσα δύο λέξεις κατεστραμμένας εἰς «φωτισμὸς» καὶ «δικαίου». 21 οὖν νοοῦσα] ἐν τῷ κώδ. «ευνοοῦσα» ‖ ἤγνυε. 23 προσδοκομένων. 24 Παύλου πρὸς Ῥωμ. 8, 24—25. 26 ἀπεκδέχετο.

νάτοις τροφαῖς καὶ οὐκ ἐν ἄρτοις σεμιδαλείοις καὶ βρώμασι κεκαρυκευμένοις καὶ φθειρομένοις· "οὐκ ἐπ' ἄρτῳ" γάρ φησι "μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι Θεοῦ".

6. Διὸ τὴν τοῦ θήλεος ἀποβαλοῦσα ἀσθένειαν, καὶ τὴν ἐξ ἐξ ὕψους παρὰ Θεοῦ ἰσχὺν περιβαλοῦσα, κατὰ τοῦ ἀλάστορος πρὸς ἀντιπαράταξιν ἔστη. Καὶ ὁ μὲν ταῖς ἀσθενέσι καὶ ἀνισχύροις φαντασίαις ἐνώχλει· ποτὲ μὲν ὄφεσι δυσμενεστάτοις καὶ σκορπίοις, ποτὲ δὲ λέουσι καὶ ἄρκτοις καὶ αἰλούροις καὶ ἄλλοις ἀγριωτάτοις θηρίοις, καὶ αὐτοῖς τοῖς τῶν θηρίων οἰκτροῖς βατράχοις τε καὶ χελώναις ἐκφοβῶν ἐπεδείκνυεν· ἡ δὲ τῷ σημείῳ τοῦ Σταυροῦ ἀφανῆ ταῦτα ἐποίει καὶ ὡς ἰστὸν ἀράχνης διέλυεν, αὐτοῦ τε καὶ τῶν αὐτοῦ μηχανῶν καὶ φαντασιῶν κατεγέλα, καὶ εἰς τέλος αὐτὸν καθάπερ Δαυὶδ τὸν νοητὸν κατέβαλε Γολιὰθ τῇ δυνάμει τοῦ σταυρωθέντος καὶ βυθῷ ἀπωλείας Φαραὼ τὸν νοητὸν πανστρατεὶ κατεπόντισεν. Ὧν ἡ παγὶς συνετρίβη ταῖς τῶν δακρύων αὐτῆς ροαῖς καὶ πόνοις καὶ προσευχαῖς, καὶ ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων ὡς στρουθίον μονάζον ἐπὶ δώματος· ἡ καὶ ὁπτασίας καὶ ὁμιλίας ἀγγέλων ἀξιωθεῖσα πάντων τῶν φθαρτῶν καὶ προσκαίρων κατεφρόνει πραγμάτων, καὶ βασιλικὸν ἐγένετο καταγώγιον, ὥστε ἐπιθυμῆσαι τοῦ κάλλους αὐτῆς ὁ βασιλεὺς τῶν αἰώνων", ὡς γέγραπται. Ἐν δὲ μιᾷ τῶν νυκτῶν συνήθως ἐπὶ τῶν προσευχῶν ἠσχολεῖτο, καὶ πρὸς οὐρανοὺς τὰς χεῖρας ἐκτείνουσα ὅρασιν ὁρᾷ θαυμασίαν. Νέος τις φωτοειδὴς καὶ περίδοξος, λαμπρὸς τὴν ὄψιν, λαμπρὸς τὴν φωνήν, φανεὶς πρὸς αὐτὴν πραέως ἔφη· "Ὦ καλλιπάρθενε, ὁ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων καὶ σταυρωθεὶς καὶ θανὼν καὶ ἀναστὰς Θεὸς τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων κύριος Ἰησοῦς Χριστός, σὲ τὴν σταυρωθεῖσαν τῷ κοσμῳ καὶ θανοῦσαν καὶ ἀναστᾶσαν ταῖς τῶν ἀρετῶν ἐργασίαις κελεύει σοι ἐξελθεῖν σε τῆς ἐρήμου ταύτης καὶ πρὸς τὴν πατρίδα σου ἐπανελθεῖν, κἀκεῖσε τελειωθῆναι καὶ πρὸς αὐτὸν ἀναλῦσαι καὶ σὺν αὐτῷ εἶναι". Ταῦτα μὲν ὁ ἄγγελος εἰπὼν ἐγένετο ἀφανής, ἡ δὲ

1 ἐν τῷ κώδ. «τροφαῖσι». 2 Δευτερον. 8, 3. Ματθ. 4, 4. Λουκ. 4, 4. 4 θήλεως. 7 ἐν ὄχλει . . . ὄφεις. 31 ταῦτα τοῦ ἀγγ. εἰπόντος.

τῆς ἀθρόου ἐκπλαγεῖσα ὁράσεως ἐξέστη μὲν ἐπὶ τῇ θεωρίᾳ, ἠδημόνει δὲ τῆς γλυκυτάτης ἐρήμου τὴν ἀναχώρησιν· οὐδὲν γὰρ οὕτω λαμπρύνει ψυχὴν καὶ νοῦν καθαίρει ὁρᾶν τὰ οὐράνια, ὡς ζωὴ ἐρημικὴ καὶ ἡσύχιος. Ἔχαιρε δὲ πάλιν ἐπὶ τῇ ἀναλύσει τοῦ σώματος καὶ τῇ καταπαύσει καὶ ἀπαλλαγῇ τῶν τε κόπων καὶ πόνων καὶ ἱδρώτων τῶν κατὰ τὸν μονήρη βίον, καὶ σὺν Χριστῷ εἶναι τὸ ὄντως ἐφετὸν καὶ ὡραιότατον κάλλος.

7. Ὅθεν τοῖς τοῦ ὀφθέντος ἀγγέλου πεισθεῖσα ῥήμασι πρὸς τὴν πόλιν ἀπῆλθε τὴν τῶν λοιπῶν Βασιλεύουσαν, ἐν ᾗ ὡς ἐν ἐρήμῳ διῆγε τῇ συντονίᾳ τῆς προσευχῆς καὶ τῶν κατὰ Θεὸν ἀγώνων· ἧς οὐκ ἐλυμήναντο αἱ τῆς πόλεως ἀκαταστασίαι καὶ ὀχλήσεις καὶ θόρυβοι τὸ στερρὸν τοῦ φρονήματος. Παρεγένετο δὲ πρῶτον εἰς τὸν περιβόητον καὶ περίδοξον τῆς ἁγίας τοῦ Θεοῦ Σοφίας νεών· εἶτα τὰ μοναστήρια περινοστήσασα πάντα καὶ παρθενῶνας καὶ εὐαγεῖς οἴκους, νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς τὸν οὐράνιον ἐθεράπευσε βασιλέα Χριστόν. Καὶ τοὺς ἁγίους πάντας τιμήσασα καὶ πάντων τῶν κατὰ Θεὸν βιούντων μοναχῶν καὶ μιγάδων καθάπερ τις μέλισσα ἔμψυχος τὰς ἀρετὰς ἀναιμάξασα, καὶ τῇ κυψέλῃ τῆς ψυχῆς αὐτῆς σοφῶς ἐπισυναθροίσασα, τὸν τῆς Βλαχέρνας καταλαμβάνει νεών, ἔνθα ἡ θαυματουργὸς καὶ περίδοξος ὑπῆρχε τῆς Θεοτόκου εἰκών· ἣν κατιδοῦσα τοῖς ὀφθαλμοῖς εὐθέως ἑαυτὴν ἔμπροσθεν αὐτῆς ἐπιρρίψασα μετὰ δακρύων κατελιπάρει, "Σοι" λέγουσα "δέσποινα, παντὸς τοῦ κόσμου Κυρία, ἡ πλατυτέρα τῶν οὐρανῶν καὶ τῶν πυρίνων ζώων τιμιωτέρα καὶ ἐνδοξοτέρα, πᾶσάν μου τὴν ἐλπίδα (ἀνατίθημι)· μὴ ἀπορρίψῃς με τὴν δούλην σου τὴν ἐκ νεότητός μου τῷ μονογενεῖ σου ἐξακολουθήσασαν καὶ δουλεύσασαν υἱῷ καὶ Θεῷ. Οὐκ ἔχω ἄλλην ἐλπίδα, οὐκ ἔχω ἄλλην σκέπην· σὺ γάρ μου ἐλπὶς καὶ σκέπη καὶ ὁδηγὸς καὶ προστάτις καὶ πάσης μου τῆς ζωῆς φύλαξ καὶ πύργος ἀκλόνητος. Ἕως κατώκουν τὴν ἔρημον, σὲ ἔσχον, Κυρία, συνόμιλον· νῦν δὲ ἐν τῷ κόσμῳ εἰμί· τίνα ἄλλον βοηθὸν ἔξω ἐκτός

7 ὄντος. 19 κυψέλῃ] «κυβέλῃ». 25 μετὰ τὴν λέξιν «ἐλπίδα» προσέθηκα τὸ «ἀνατίθημι». 27 ἐξ ἀκολουθήσασαν.

σου, πανάμωμε δέσποινα; Σύ μοι γενοῦ τῇ ταπεινῇ συνοδοιπόρος καὶ κυβερνῆτις καὶ ὁδηγὸς καὶ καταφυγὴ καὶ στερέωμα".

8. Ταῦτα μὲν τῇ Θεοτόκῳ ἐκ ψυχῆς προσευξαμένη καὶ αὐτῇ πᾶσαν αὐτῆς τὴν ἐλπίδα ἐπιτιθεμένη πρὸς τὴν ἑαυτῆς ἐπανῆλθε πατρίδα, κατώκησε (δὲ) ὡς ξένη πάντη καὶ ἄγνωστος· ἔκρυπτε γὰρ ἑαυτήν, ὡς μὴ γνωσθῆναι παρά τινος. Χρόνος συμπεράνας πολὺς ἐν Ἐπιβάταις οἰκοῦσα τοὺς κατὰ Θεὸν ἀγῶνας ἐπετέλει καὶ κατορθώματα, νηστείαν τῇ νηστείᾳ καὶ ἐγκράτειαν τῇ ἐγκρατείᾳ καὶ ἀρετὰς ταῖς ἀρεταῖς ἀόκνως ἐπισωρεύουσα. Οὐ παρωρᾴθη μὴ ἐπιγνῶναι καὶ τὴν αὐτῆς ἐκδημίαν πρὸς Κύριον· ὤφθη γὰρ αὐτῇ ὁ καὶ πρότερον φανεὶς φωτοειδὴς καὶ λαμπρὸς νεανίας, τὴν πρὸς οὐρανοὺς ἄνοδον εὐαγγελιζόμενος καὶ συνοδοιπόρος αὐτῇ εἶναι διισχυριζόμενος. Καὶ ταῦτα μὲν ὁ φανεὶς παροτρύνας καὶ παραθαρρύνας τὴν τῆς ἁγίας πάλιν ψυχήν, πάλιν ἐγένετο ἀφανής· αὕτη δὲ τὸ ὄμμα τῆς ψυχῆς καὶ τοῦ σώματος εἰς οὐρανοὺς ἀτενίσασα τὸν δεσπότην ἑαυτῆς κατελιπάρει Χριστόν. "Φιλάνθρωπε δέσποτα" ἔλεγε, "μή με παρίδῃς τὴν δούλην σου τὴν διὰ τὸ ὄνομά σου τὸ ἅγιον πάντα καταλιποῦσαν καὶ ὀπίσω σου ἐξακολουθήσασαν, ἀλλ' ἐξαπόστειλον ἄγγελον εἰρηνικὸν τοῦ λαβεῖν εἰρηνικῶς τὴν ψυχήν μου καὶ μὴ κατακυριευθῆναι ἐν τῇ ἐξόδῳ αὐτῆς ὑπὸ τῶν πονηρῶν καὶ ἀκαθάρτων πνευμάτων, καὶ καταξίωσον αὐτὴν μετὰ παρρησίας παρασταθῆναι τῷ φοβερῷ σου βήματι, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν".

9. Ταῦτα ἡ ἀοίδιμος προσευξαμένη παρέδωκε τὴν τιμίαν αὐτῆς ψυχὴν τῷ Θεῷ, τὸ δὲ μακάριον σκῆνος αὐτῆς φιλόθεοί τινες ταφῇ παραδόντες ξένοις ἁρμόζουσιν· οὐ γὰρ ἀπήγγειλέ τινι τὰ κατ' αὐτὴν ἄχρι τέλους. Ὁ δὲ Θεὸς βουλόμενος αὐτὴν δοξάσαι ὡς οἷόν τε οὐκ εἴασε λήθῃ καλυφθῆναι τὰ κατ' αὐτήν, ἀλλ' ὠκονόμησεν εὑρεθῆναι τό τε λείψανον αὐτῆς καὶ τὴν ἐπωνυμίαν, ὁποία τέ ἐστιν καὶ ἐκ ποίας ὑπῆρχε πατρίδος καὶ ὅπως τὸν κατὰ Θεὸν ἠγώνισται (ἀγῶνα), καὶ πάσης τιμῆς ὡς θέμις ἀξιωθῆναι.

2 κυβερνήτης. 5 προσέθηκα το «δὲ». 9 ἐπισορεύουσα. 15 ὄμμα. 16 ἀτενίσασα. 22 παρασταθῆναι] παραστάθῃ. 25 ἁρμόζουσιν] ἁρμόζουσαν. 31 προσέθηκα «ἀγῶνα».

Στυλίτης δέ τις ἔν τινι στύλῳ τὸν κατὰ Θεὸν ἀγῶνα ἀγωνιζόμενος, καὶ τῷ Θεῷ μόνῳ λατρεύων καὶ συνομιλῶν καὶ ἐντρυφῶν καὶ περιπολεύων ἡμέρας καὶ νυκτὸς προσευχόμενος, ἡσύχως διῆγε τὸν βίον. Ναύκληρος δέ τις κατὰ πάροδον λοιμικῇ νόσῳ κατασχεθεὶς τέθνηκεν· ὃς πλησίον τοῦ στύλου, ἐν ᾧ ὁ ῥηθεὶς ἐνῴκει στυλίτης, ὑπὸ τῶν συντρόφων παραρριφθεὶς ἄταφος ἔκειτο, κηδείας καὶ ἐπιμελείας τῆς προσηκούσης ἐκτός. Ἐξογκωθέντος δὲ αὐτοῦ καὶ δυσωδίας πλησθέντος, οὐ μόνον τοὺς γείτονας ἀλλὰ καὶ αὐτὸν τὸν στυλίτην ἀπὸ τοῦ στύλου κατενεχθῆναι ἠνάγκαζε· τοσαύτη γὰρ ἦν ἡ τῆς δυσωδίας ἰσχύς. Ἦρε δὲ φωνὴν ὁ στυλίτης ἀπὸ τοῦ στύλου πρὸς τοὺς παρατυχόντας ἀνθρώπους καὶ περὶ τοῦ δυσωδεστάτου ἐκείνου σκήνους τι ποιῆσαι φροντίζοντας ἔφη "Λάκκον παμμεγέθη ὀρύξατε καὶ ἐν αὐτῷ τοῦτο ὠθήσατε καὶ καλύψατε. καὶ οὕτω τῆς δυσωδίας ἀπαλλαγῆτε κἀμὲ ἐκ τοῦ στύλου μὴ καταβῆναι ποιήσατε". Πεισθέντες τοίνυν αὐτῷ καὶ τὸν λάκκον εἰς βάθος ὀρύξαντες ἐνέτυχον τῷ ἱερωτάτῳ τῆς ὁσίας λειψάνῳ εὐωδίας ἀναπηγάζοντι τῆς ἀκροτάτῳ, ὥστε καταποθῆναι ὑπὸ ταύτης τὴν ἄπειρον ἐκείνην δυσωδίαν τὴν ἐκ τοῦ νεκροῦ ἐξερχομένην τοῦ ναυκλήρου, καὶ ὑπερεκχυθῆναι εἰς τὸν ἀέρα, ὥστε τοὺς πάντας ἐκπλήττεσθαι τῆς ἀθρόως γενομένης δαψιλοῦς εὐωδίας ἐκείνης καὶ κράζειν τὸ "Κύριε ἐλέησον". Ἔχαιρον μὲν πάντες τῇ τοῦ λειψάνου εὑρέσει, τῷ τίνος δὲ ἦν αὐτὸ μὴ εἰδέναι κατηφοῦντο τὰ μάλιστα.

10. Ἀλλὰ κἀνταῦθα ἐνεργεῖ Θεὸς τὴν τούτου φανέρωσιν τρόπῳ τοιῷδε. Γεώργιός τις, εἷς ἐκ τῶν ἀνδρῶν ἐκείνων τῶν τὸν λάκκον ὀρυξάντων, εὐσεβὴς καὶ φιλόχριστος καὶ περὶ τὴν κατὰ Θεὸν πολιτείαν ἀκριβῶς ἐντεθραμμένος, τὴν ἑσπερινὴν δοξολογίαν καὶ εὐχαριστίαν ἐκτελέσας καὶ ὑπὲρ παντὸς τοῦ οἴκου αὐτοῦ κατὰ συνήθειαν προσευξάμενος πρὸς ὕπνον ὀλίγον ἐτράπη· μέσης δὲ νυκτὸς ὁρᾷ καθ' ὕπνους βασίλισσαν εὐμενεστάτην καὶ ὑπέρλαμπρον καθεζομένην ἐν θρόνῳ εὐμενεστάτῳ καὶ ὑπερλάμπρῳ

6 παραριφθεὶς. 10 στυλήτης. 15 ποισθέντες. 16 τοῦ ἱερωτάτου . . . λειψάνου. 17 ἀναπηγάζον. 22 κατηφιῶντο. 26 ὀρυξάντων.

καὶ περὶ αὐτὴν κύκλῳ ἱσταμένους φωτοφόρους ἄνδρας. Οὓς κατιδὼν ὁ Γεώργιος, φόβῳ πολλῷ συσχεθείς, πρηνὴς παρὰ τοὺς πόδας αὐτῶν ἔκειτο καὶ ὑπὲρ τοῦ ζῆν κατελιπάρει· οὐ γὰρ ἦν ἱκανὸς τὴν ἄπειρον ἐκείνην ὑπενεγκεῖν ἐπιφάνειαν. Εἷς δὲ τῶν φωτοφόρων ἐκείνων τῆς αὐτοῦ δεξιᾶς ἐπιλαβόμενος ἤγειρε λέγων "Γεώργιε μὴ φοβοῦ, ἀλλ' ἐγερθεὶς τὸ πρωὶ ἐν τῇ συνάξει τοῖς πᾶσιν ἀνάγγειλον τιθέναι ἐν λάρνακι ὃ νῦν εὑρόντες τῆς ὁσίας Παρασκευῆς λείψανον· αὕτη γὰρ ἐν αὐτῇ τῇ χώρα τῶν Ἐπιβατῶν καὶ γεννηθεῖσα καὶ τραφεῖσα καὶ τοὺς κατὰ Θεὸν ἀγῶνας ἐπιδείξασα, καὶ εἰς ἣν ὁρᾷς κατάστασιν καὶ βασιλείαν ἀξιωθεῖσα, συμπολῖτις ὑμῖν ἐστι καὶ σύμπατρις καὶ ὑπὲρ ὑμῶν πρὸς τὸν Θεὸν τὰς αἰτήσεις ποιεῖ ἐπιμόνως ἑκάστοτε". Καὶ ταῦτα μὲν ἐκεῖνος, ἡ δὲ βασιλὶς ἐκείνη γυνὴ πλησίον αὐτῆς τὸν Γεώργιον εἶπε γενέσθαι καί φησι πρὸς αὐτόν. "Ἐγώ εἰμι ταύτης τῆς γῆς, εἰς ἣν ὑμεῖς τὸ παρὸν κατοικεῖτε, καὶ θρέμμα καὶ γέννημα, Παρασκευὴ ἀπὸ τοῦ θείου βαπτίσματος ὀνομαζομένη. Σπεύσατε οὖν τὸ παρόν μου σκῆνος τιμῆσαι, κἀγὼ εἰς τὸ σωθῆναι ὑμᾶς καὶ παθῶν καὶ κινδύνων τὸν Θεὸν ἐξαιτήσομαι". Τὰ αὐτὰ καί τις φιλόθεος γυνὴ θεασαμένη καθ' ἑαυτὴν ἐξεπλήττετο· ὁ δὲ Γεώργιος διυπνισθεὶς καθ' ἑαυτὸν καὶ αὐτὸς ἐξεπλήττετο καὶ διενοεῖτο τὸ φρικτὸν τῆς ὁράσεως. Ταῦτα δὲ αὐτοῦ διανοουμένου, ἡ ῥηθεῖσα Εὐθυμία προσφιλὴς οὖσα τῷ Γεωργίῳ καὶ γειτονεύουσα ἦλθε πρὸς αὐτὸν (καὶ) τὴν ὅρασιν ἐτραγώδει. Ἀκούσας δὲ ταῦτα "νὴ τὴν ἄνω πρόνοιαν" ἔφη, "κἀγὼ ταῦτα εἶθεασάμην τῇ παρούσῃ νυκτὶ καὶ τοιαῦτα συντίθεμαι". Ἐξελθόντες δὲ καὶ ἀμφότεροι ἀπήγγειλαν τῷ λαῷ τὰ καθ' ὕπνους αὐτοῖς ὁραθέντα· καὶ συναθροισθέντες ὅ τε σύλλογος τῶν ἱερέων καὶ ὁ κοινὸς μετὰ φώτων καὶ θυμιαμάτων προέπεμπον καὶ παρέπεμπον τὸ ἀσκητικώτατον σκῆνος τῆς ὁσίας, καὶ ὥσπερ τινὰ πολύτιμον θησαυρὸν ἐξεκόμιζον πρὸς τὸν τῶν ἁγίων Ἀποστόλων ναόν, ἐν ᾧ κατέθεντο ἐπισήμως· καὶ ἦν ἰδεῖν τὴν λάρνακα ἔμπλεων πολλὰς ἰά-

23 προσέθηκα «καὶ». 31 ἐπισίμως.

σεις ἀναπηγάζουσαν. Καὶ ταῦτα μὲν ἐν Ἐπιβάταις, ἐν τῇ τῆς ὁσίας πατρίδι.

11. Ὅπως δὲ εἰς Βουλγαρίαν μετεκομίσθη, ὡς ἐν συντόμῳ διηγητέον, εἶτα καὶ περὶ τῶν καθ' ἑξῆς πραχθέντων εἰς δήλωσιν μετενεκτέον. Τὰ σκῆπτρα τῆς τῶν Ῥωμαίων βασιλείας ὑπὸ τῶν Φραγκῶν τυραννούμενα, καθάπερ τις λοιμικὴ νόσος τὰ καλὰ κατέφαγε πάντα καὶ τέλεον ἐξηφάνισε· τὸν γὰρ τῆς ἁγίας Σοφίας ναὸν ὧν εἶχε λειψάνων ἁγίων καὶ τέμπλων καὶ σκευῶν πολυτίμων ἀπογυμνώσαντες, καὶ πάντας τοὺς εὐαγεῖς οἴκους καὶ μοναστήρια διαρπάσαντες καὶ τὰ βασιλικὰ ταμεῖα ἀποκενώσαντες, πρὸς Ἰταλίαν πάντα προέπεμψαν. Κενὴν μόνην τὴν Κωνσταντίνου κατέσχον, καὶ τὸν λαὸν ἐτιμώρουν καὶ παπολατρεῖν κατηνάγκαζον. Ὅθεν δάκρυα καὶ θλίψεις καὶ στενοχωρίαι περὶ τὸν θεῖον λαόν, βασιλευοντος τότε ἐν Βουλγαρίᾳ Ἰωάννου τοῦ Ἀσάν, υἱοῦ βασιλέως Ἀσὰν τοῦ γέροντος· ὃς τῇ δυνάμει τοῦ τὰ πάντα ἰσχύοντος πᾶσαν Μακεδονίαν καθυποτάξας καὶ Θράκην, Δαλματίαν τε καὶ Μοισίας καὶ Ἀλβανιτίαν, κατεκράτησε καὶ Σερρῶν καὶ Θετταλίας πάσης σὺν Θεσσαλονίκῃ καὶ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω μέχρι καὶ Δράτζας. Ἐν αὐταῖς δὲ μητροπολίτας καὶ ἐπισκόπους ἐχειροτόνησε, τοὺς ὄντας πάντας ἐξώσας διὰ τὸ λατινοφρονεῖν. τῆς γὰρ Κωνσταντίνου ἁλούσης, οἵ τε ἀρχιερεῖς καὶ τὸ ὑπήκοον τοῖς ἐκείνων ὑπέκυψαν δόγμασιν· ἔθος γὰρ τοῖς παπολάτραις μὴ ἠρεμεῖν, ἀλλὰ καινοτομεῖν καὶ μάχας ἐμβάλλειν ταῖς ἐκκλησίαις καὶ τὸν χριστώνυμον διαστρέφειν λαὸν καὶ πάνθ' ὅσα τῆς εὐωνύμου μερίδος ἐφευρίσκειν ἀντάξια. Ταῦτα πλατυτέρως εὑρήσεις ἐν τῷ χρυσοβούλλῳ αὐτοῦ τῷ ὄντι ἐν Λαύρᾳ καὶ ἐν τῷ Πρωτάτῳ. Πρὸς τούτοις καὶ τῆς Ἀδριανοῦ κατεκράτησε πόλεως καὶ πᾶσαν πόλιν καὶ χώραν ἁλώσας ἄχρι καὶ Κωνσταντίνου, ὅτε καὶ οἱ ταύτης κρατήσαντες Φράγκοι τέλος δοῦναι ὑπέσχοντο καὶ μὴ καταπολεμεῖν κατηξίουν. Τούτων δὲ γενομένων ἡ τῆς ἁγίας σορὸς ἐξηχεῖτο φήμη καὶ ἐθαυμάζετο τοῖς μακρὰν καὶ τοῖς ἐγγύς.

6 φραγγῶν. 10 τοὺς βασιλικοὺς ταμειας. 13 στενοχωρεῖαι. 17 μυσίας. 23 ἐμβάλειν. 25 εὑρίσεις. 26 χρυσοβούλω. 29 φράγγοι ... ὑπόσχοντο. 30 σορὸς.

12. Ἤκουσται δὲ περὶ αὐτῆς καὶ τῷ ῥηθέντι βασιλεῖ τῶν Βουλγάρων Ἰωάννῃ τῷ Ἀσάν· ὃς ἐπιθυμίᾳ ἐπιθυμήσας πρέσβεις πρὸς τοὺς ἐν Κωνσταντίνου ἀποστείλας τὸ ἱερὸν ἐπεζήτει σὺν τῇ λάρνακι λείψανον, τοὺς δὲ νενομισμένους φόρους, οὓς καθυπέσχοντο τελεῖν, παρεάσαι καὶ μηκέτι μετ' αὐτῶν πολεμεῖν τε καὶ μάχεσθαι καὶ οὕτω καθ' ἑαυτοὺς εἰρηνεῦσαι. Ἀντιλεγόντων δὲ τῶν Φράγκων καὶ μὴ θελόντων δοῦναι, πρὸς μάχην τοῦτον ἐκίνησαν· ἔλεγε γὰρ ἐν ἑαυτῷ "τί μοι πλοῦτος, τί μοι δόξα, τί μοι πλῆθος τῶν μαργάρων καὶ λίθων πολυτελῶν; ταῦτα οὐ τῆς ἐμῆς βασιλείας ἀντάξια, ὡς τὸ τῆς ὁσίας ἱερώτατον σκῆνος". Ταῦτα ὑπὸ τῆς ἄγαν εὐλαβείας καὶ πίστεως διενοεῖτο ὁ βασιλεύς. Διὸ καὶ ἐκ δευτέρου πρέσβεις σὺν ὀργῇ ἀποστείλας τὰ εἰκότα προσηπείλει· "κἂν μὴ ταχέως τὸ ἐμὸν σὺν σπουδῇ ἐκτελέσητε" ἔλεγε "θέλημα, νὴ τὴν ἄνω πρόνοιαν καὶ τῆς ἐμῆς βασιλείας τὸ ἀκαταμάχητον σκῆπτρον, σὺν λαῷ ἀπείρῳ καὶ ἐμπείρῳ πρὸς πᾶσαν ἀντιπαράταξιν καθ' ὑμῶν ἐκστρατεύσω, τήν τε πόλιν ὑμῶν ἐρημώσω καὶ τὰς σάρκας ὑμῶν βορὰ τοῖς κυσὶ παραδόσω". Ταῦτα οἱ τῆς πόλεως ἀκούσαντες, καὶ μὴ δυνάμενοι ἀντοφθαλμῆσαι καὶ συμπλακῆναι αὐτῷ, τοῖς ἐκείνου ὑπέκυψαν ῥήμασι καὶ τὴν λάρνακα ὑπέσχοντο δοῦναι.

13. Πρὸς τὸν βασιλέα τοίνυν οἱ πρέσβεις παραγενόμενοι τὴν ὑπόσχεσιν ταύτην εὐηγγελίσαντο, οὓς περιχαρῶς καὶ ἐντίμως ὑποδεξάμενος δώροις καὶ εὐεργεσίαις ἐτίμησε· τῇ δ' ἑφεξῆς μετακαλεσάμενος τὸν τῆς Πρεσλάβας μητροπολίτην Μᾶρκον σὺν ἄλλοις τῶν τοῦ κλήρου πρὸς ἀνακομιδὴν τοῦ λειψάνου ἀπέστειλε, καὶ εὐθὺς ἡ Κωνσταντίνου τὸν ἀρχιερέα εἶχε Μᾶρκον καὶ τοὺς περὶ αὐτόν· οὓς ἀξίως οἱ Φράγκοι ὑποδεξάμενοι τό τε λείψανον καὶ δῶρ' ἄττα αὐτοῖς ἐγχειρισάμενοι ἀπέστειλαν μετ' εἰρήνης, συγγνώμην τῆς ἀπειθείας αἰτησάμενοι. Ἦλθον οὖν εἰρηνικῶς ἄχρι τῶν Βουλγαρικῶν ὁρίων· ὁ δὲ γνοὺς τὴν ἐκείνων ἄφιξιν, ἣν ἐπόθει ὑπὲρ χρυσίον εἰπεῖν καὶ τοπάζιον, πᾶσαν τὴν ἑαυτοῦ ἐπισυνάξας στρατιὰν καὶ τὴν σύγκλητον πρὸς ὑπαντὴν ἐξῆλθε τούτου σὺν Ἑλένῃ

12 προσεπήλει. 25 ἀνακομιδήν. 31 στρατειάν.

τῇ βασιλίδι, μητρὶ αὐτοῦ, καὶ τῇ συνεύνῳ αὐτοῦ Ἄννῃ τῇ βασιλίσσῃ. Ἅμα τούτοις καὶ ὁ πατριάρχης Τορνόβου Βασίλειος σὺν τῷ ἱερωτάτῳ κλήρῳ μεθ' ὅσης ἔδει τάξεως προσυπήντησεν. Ὁ βασιλεὺς πεσὼν ἐπ' ἐδάφους παρὰ τὴν λάρνακα εὐλαβῶς καὶ εὐσεβῶς (αὐτὴν) κατησπάζετο, χαίρων καὶ εὐχαριστῶν τῷ βασιλεῖ καὶ Θεῷ τῷ καταξιώσαντι αὐτὸν καὶ βλέψαι καὶ προσκυνῆσαι ὅπερ ἐπόθει ἱερώτατον λείψανον. Ὡσαύτως αἱ βασιλίδες ἥ τε σύγκλητος καὶ ὁ πατριάρχης εὐλαβῶς κατησπάσαντο (καὶ) μετὰ λιτῆς καὶ φώτων καὶ θυμιαμάτων μέχρι τῆς βασιλικῆς ἐκκλησίας τῆς ἐν τῷ παλατίῳ προέπεμψαν καὶ κατέθεντο ἐν τῷ τῆς καταθέσεως τόπῳ εἰς δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

14. Ταῦτα ὁ πατριάρχης Τορνόβου Εὐθύμιος ἐσύστερον βουλγαριστὶ συνεγράψατο ἕως ὧδε συμπεράνας τὸν λόγον, ἅπερ ἡμεῖς ἐπιμελῶς μετηνέγκαμεν εἰς τὴν ἑλληνίδα· τὰ δ' ἐφεξῆς ἐκ τῶν ὑπομνημάτων συνεγραψάμεθα· ἔχει δὲ οὕτως. Μετὰ τὸ ἀποτεθῆναι τὸ ἱερόν, ὡς εἴρηται, λείψανον ἐν τῷ τῆς καταθέσεως τόπῳ, ὀλίγος συμπεράνας χρόνος τὰ (μὲν) τῶν χριστιανῶν ἠσθένει καὶ προσέπιπτεν, οἷς κρίμασιν οἶδε Θεός, ὁ δὲ Ἰσμαὴλ ἴσχυε καὶ ἐκραταιοῦτο. Πᾶσαν μὲν τὴν ἕω λῃσάμενος καὶ τροπωσάμενος κατὰ κράτος, κατὰ Βουλγάρων ἐστράτευσε καὶ τούτους κατετροπώσατο, τάς τε χώρας καὶ πόλεις ἠφάνισε καὶ αὐτὸν τὸν κατὰ καιρὸν βασιλέα τῶν Βουλγάρων ἀπὸ Τορνόβου εἰς Σερβίαν καὶ Πόσναν φυγάδα πεποίηκεν, ἐν ᾗ πρὸ καιροῦ τὸ ἱερώτατον λείψανον μεταστειλάμενος εἰς φύλαξιν ἐν Πελιγράδῳ τῇ πόλει, ἔνθα καὶ τὸ βασίλειον, ἀπὸ Τορνόβου διὰ τὰς συνεχεῖς τῶν Ἰσμαηλιτῶν ἐφόδους μετέθηκεν. Ἀλλ' οὐ κἀκεῖ τῶν χειρῶν ἐξέφυγε τῶν ἐχθρῶν, μὴ βουλομένου Θεοῦ βοηθῆσαι· ὑπὸ γὰρ τῶν ἁμαρτιῶν ἡμῶν ἑάλω ἥ τε Μπόσνα καὶ Σερβία πᾶσα σὺν πᾶσι τοῖς ὁρίοις αὐτῶν καὶ πολεσι πλὴν Πελιγραδίου, οἵ τε παρ' αὐτοῖς κνέζοι λεγόμενοι καὶ ἡγεμόνες καὶ ὕπατοι σὺν στρατηγοῖς καὶ στρατιάρχαις ἅπαντες ἄρδην ἀπώλοντο τῇ Ἰσμαηλιτικῇ μαχαίρᾳ. Ὅτε δὲ καὶ ἡ Κων-

1 συνεύνῳ. 3 προσυπάντησε. 4 τοῦ βασιλέως πεσόντος. 7 βασιλίδαι. 8 προσέθηκα τὸ πρῶτον «καὶ». 14 τὰ] τῶν. 17 προσέθηκα τὸ «μὲν».

σταντίνου ἑάλω, μετὰ πέντε βασιλέων παρέλευσιν ἐβασίλευσε σουλτᾶν Σουλεϊμάνης, ἀνὴρ ἀνδρικώτατος καὶ μεγαλόψυχος, (ὃς) ἔν τε φρονήσει καὶ ἠθικῇ καταστάσει τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν ὑπερηκόντισεν ἅπαντας. Πρὸς τούτοις καὶ καθ' ἡμῶν τῶν χριστιανῶν, τὸ ὑπ' αὐτὸν λέγω ὑπήκοον, καλῶς διακείμενος ἦν· ὃς κατὰ τῶν Οὐγκρῶν μάχην κινήσας καὶ στρατεύσας τό τε Πελιγράδιον ἐπόρθησε καὶ ἄλλας πόλεις καὶ χώρας. Περὶ δὲ τοῦ λειψάνου ἀκούσας, τί ἂν εἴη ἐπύθετο· κἀκεῖ γὰρ τὰς θεοσημείας ἐποίει τὸ ἱερὸν ἐκεῖνο σκεῦος, ὥστε καὶ τὸν βασιλέα τὰ κατ' αὐτὸ μὴ λαθεῖν ἀλλ' ἔπεισεν ἐρωτῆσαι. Ἀκούσας δὲ παρά τινων ὅτι τῶν χριστιανῶν ἐστι προσκύνημα, θεία δυνάμει καὶ ἐνεργείᾳ καὶ τῇ πρεσβείᾳ τῆς ὁσίας ἀπὸ Πελιγραδίου εἰς Κωνσταντίνου ἀπέστειλε καὶ κατέθετο ἐν τῷ δυστυχεῖ πατριαρχείῳ τῆς Παμμακαριστου, ὃ νῦν μασγίδιόν ἐστι τῇ ἀκαταστασίᾳ τινῶν ἀνιέρων ἀρχιερέων καὶ κληρικῶν.

15. Ὀλίγον δὲ καὶ περὶ τούτου διεξιέναι χρεών, οὐχ ἵνα χαρὰν ἀλλὰ λύπην ἐμβάλλω ταῖς ὑμετέραις ψυχαῖς τὰ τῆς ἐκκλησίας δεινὰ καὶ σκάνδαλα διηγούμενος, ὅτι μετὰ τῆς βασιλείας καὶ τὴν ἐκκλησιαστικὴν ἀπωλέσαμεν τάξιν καὶ τῶν καλῶν ἐθῶν τὴν κατάστασιν. Ἱερεμίου πατριαρχοῦντος, ἀνδρὸς σοφοῦ καὶ τιμίου, τὰ τῆς ἐκκλησίας ὑπῆρχεν ἐν καταστάσει πολλῇ. Συνέβη δὲ τότε τὸν σουλτᾶν Μουράτην ἀναφοραῖς ψευδηγόροις τινῶν ἀρχιερέων ὀργισθῆναι κατ' αὐτοῦ καὶ τοῦτον δέσμιον ἐν Ῥόδῳ εἰς ἐξορίαν ἀπέστειλε· πατριαρχεύει δὲ μετὰ τοῦτον Παχώμιος ὁ καὶ Μπατέστας λεγόμενος, γραμμάτων μὲν καὶ μοναδικῆς πολιτείας καὶ ὅσα τὰ ἐν τῷ ἀνθρώπῳ καὶ περὶ τὸν ἄνθρωπον ὑπάρχειν χρηστὰ πάντῃ ἄμοιρος καὶ ἀλλότριος, καὶ αὐτῆς τῆς ὄψεως καὶ γλώττης καὶ φωνῆς ἐστερημένος· ἐπιβουλαῖς δὲ καὶ δημεγερσίαις, ὅτι μάλα πανοῦργος καὶ ἐμπειρότατος ἦν. Ἐνιαυτοὺς δύο τοῦ πατριαρχικοῦ κατετυράννησε θρόνου· ἀκαταστασίας καὶ συγχύσεις καὶ ταραχὰς καὶ χρέος βαρύτατον τῇ τοῦ Θεοῦ προὐξένησεν ἐκκλησία, ἐν ᾗ καὶ

2 προσέθηκα τὸ «ὃς». 4 ὑπερηκόντησεν. 19 ἀπολέσαμεν. 28 δημιγερσίαις || μάλλα. 30 κατετυράννισε.

τὸ τοῦ Σίμωνος ἐκορυφώθη παράπτωμα, ὥστε καπηλεύεσθαι τοὺς ἀρχιερεῖς δι' ἀγορᾶς καὶ πράσεως τὴν χάριν τοῦ Πνεύματος καὶ μεταλλάττεσθαι ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν, πολλάκις δὲ καὶ ἐν μιᾷ ἐπαρχίᾳ δύο ἢ τρεῖς εἶναι ἀρχιερεῖς ἀλλήλους κατεσθίοντας καὶ βλασφημοῦντας. Ἔκτοτε καὶ μέχρι τοῦ νῦν τούτοις τοῖς ἀτοπήμασιν ἡ καθ' ἡμᾶς παλαίει ταλαίπωρος ἐκκλησία, πεπληρωμένη τῇ αἱρέσει τοῦ Σίμωνος.

16. Συναχθέντων δὲ τότε τῶν καθευρεθέντων ἀρχιερέων καὶ κληρικῶν, προεξάρχοντος τοῦ Θεολήπτου Φιλιππουπόλεως σὺν Νικηφόρῳ τῷ διδασκάλῳ, εἰς τὸ ἐξῶσαι τοῦ θρόνου τὸν εἰρημένον Παχώμιον, ὡς παρανόμως καὶ παρὰ κανόνας καὶ ἄνευ τῆς ἱερατικῆς συνόδου ἐπὶ τὸν πατριαρχικὸν θρόνον καθίσαντα, καὶ τὸν Ἱερεμίαν ἀπὸ τὴν ἐξορίαν ἀνακαλέσαι, οὐκ ἠδυνήθησαν διὰ τὸ τὸν κάπαγαν τοῦ βασιλέως παρακοιμώμενον εἶναι μετ' αὐτοῦ βοηθὸν καὶ ἀντιλήπτορα. Ὅθεν δαπάναι περὶ τὸν τρόπον πολλαί· κοπιάσαντες δώσαντες δαπανήσαντες, μόλις τοῦτον τοῦ θρόνου καθεῖλον καὶ εἰς Βλαχίαν δεσμώτην πεπόμφασι. Τούτου δὲ ἐξωσθέντος ἐπέβη τοῦ θρόνου Θεόληπτος, τὰς συνθήκας καὶ τοὺς ὅρκους καταφρονήσας· συνέθεντο γὰρ ἀλλήλοις ὁρκωμοτήσαντες, ἵνα μηδεὶς ἑαυτῷ προσποιήσηται τὸν πατριαρχικὸν θρόνον, ἀλλ' εἰ δυνατὸν τὸν Ἱερεμίαν, τὸν γνήσιον αὐτῶν ποιμένα καὶ ἀρχιερέα, ἀπὸ τῆς ἐξορίας ἀνακαλέσωσιν· ἦν γὰρ πανοῦργος καὶ πονηρὸς ὁ τῆς Φιλίππου Θεόληπτος καὶ πάνυ διπρόσωπος, ὑπουλότητι πάσῃ προσέχων καὶ λόγοις ἀπατηλοῖς τὰς πολλῶν καρδίας ἐξαπατῶν καὶ κολακεύων. Ἐπ' αὐτὸν οἶμαι λελέχθαι τὸ προφητικὸν ἐκεῖνο λόγιον "ἠπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες" ὃς τοὺς μὲν ἀρχιερεῖς καὶ Νικηφόρον τὸν διδάσκαλον ἀπατήσας ἑαυτῷ τὸ πατριαρχεῖον προσεποιήσατο καὶ τοῦ θρόνου ἐπέβη. Ὅθεν πάλιν σκάνδαλα καὶ μάχαι καὶ δαπάναι περὶ τὴν ἐκκλησίαν πολλαί. Ἰδόντες οὖν οἱ ἀρχιερεῖς ὑπὸ τοῦ Θεολήπτου ἠπατημένους, ἠβουλήθησαν μὲν καὶ τοῦτον ἐξῶ-

1 σίμονος... καπιλεύεσθαι. 7 σίμονος. 14 παρακειμώμενον. 19 ὁρκωμοτήσαντες. 22 ἀνακαλέσασθαι. 23 πόνηρος. 26 Ψαλμ. 54, 23.

*

σαι τοῦ θρόνου, οὐκ ἠδυνήθησαν δέ· ὁ γὰρ μπεγλερμπεΐς, ὁ τοῦ βασιλέως ἀρχιστράτηγος, διὰ τῆς πολλῆς πρὸς αὐτὸν δόσεως τοῦ ἀργυρίου ἦν αὐτῷ βοηθὸς καὶ ἀντιλήπτωρ· σὺν αὐτῷ καὶ ἄλλοι τῶν μεγιστάνων πολλοί, δι' ὧν ὁ Θεόληπτος ὑπερισχύσας τὸν μὲν Νικηφόρον εἰς Κύπρον ἐξόριστον πέπομφε, τοὺς δ' ἀρχιερεῖς ἄκοντας καὶ μὴ βουλομένους πατριάρχην αὐτὸν ψηφίσαι καὶ ὀνομάσαι καὶ ὑπογράψαι πεποίηκεν. Συνέβη δὲ τότε τὸν τῆς Ἀλεξανδρείας πατριάρχην Σίλβεστρον ἐκεῖσε παρατυχεῖν, ὃς καὶ πρὸς Ἱερεμίαν πάθος τι ἀνθρώπινον εἶχεν· δι' ἐκείνου πάντα συνέβη τὰ σκάνδαλα· δι' οὗ καὶ ὁ Θεόληπτος μᾶλλον συνέστη κατὰ πάντων ὑπερισχύσας. Ἀλλὰ ταχέως πάλιν πέπτωκεν, ὡς παρακατιὼν ὁ λόγος δηλώσει. Τοῦ γὰρ μπεγλερμπεῖ ὑπὸ τοῦ βασιλέως Θεοῦ ἐκδικήσει τὴν κάραν ἀποτμηθέντος, μετακαλεῖται ἀπὸ τῆς ἐξορίας Νικηφόρος καὶ τῇ σουλτάνα τῇ τοῦ βασιλέως συζύγῳ διὰ τῆς ἰατρικῆς ἐπιστήμης γνώριμος γίνεται καὶ πάσῃ τῇ τοῦ βασιλέως συγκλήτῳ· μετήρχετο γὰρ τῆς ἰατρικῆς ἐμπείρως καὶ ἐπιστημόνως, δι' ἧς τοὺς πάντας ἐπεμελεῖτο καὶ πάντας φίλους ἐκέκτητο. Ὅθεν καὶ κατὰ Θεολήπτου ὑπερισχύσας τοῦ θρόνου καθεῖλε καὶ τὸν Ἱερεμίαν ἀπὸ Ῥόδου μετεκαλέσατο.

17. Ὅρα δέ μοι πάλιν διὰ τῶν συνεχῶν τούτων σκανδάλων τὴν τῆς ἐκκλησίας βαρυτάτην ζημίαν. Μήπω οὖν ἐπανελθόντα τὸν Ἱερεμίαν, ὁ Θεόληπτος κακῶς διακείμενος ἔχων διὰ τὸ αὐτὸν τῆς τοῦ πατριαρχείου δόξης καὶ τιμῆς πεπτωκέναι—καὶ ὕβριν ἑαυτοῦ μεγίστην εἶναι διελογίσατο καὶ ζημίαν ὑπετοπάσατο — ἠβουλήθη προδοῦναι τὴν ἐκκλησίαν τοιῶδε τρόπῳ. Σουλτᾶν Μουράτης ὁ βασιλεὺς ἠβουλήθη ἱμαρέτιον κτίσαι, τῆς ἑαυτοῦ θρησκείας ἀνάκτορον· ἐζήτει δὲ τόπον εὑρεῖν τῇ τοιαύτῃ ἁρμόζοντα κτίσει καὶ οὐχ εὕρισκε· διὸ καὶ ἠθημόνει καθ' ἑαυτὸν καὶ περὶ τούτου, ὡς ἔοικε, διαλογιζόμενος ἦν. Ταῦτα μαθὼν πρὸς προδοσίαν ἐτράπη Θεολήπτου καὶ δι' ἀναφορᾶς τῷ βασιλεῖ κατεμήνυσεν· Εἰ τὸ τῶν χριστιανῶν λάβῃς πατριαρχεῖον, ὦ βασιλεῦ, ἐπι-

7 ὠνομάσαι. 9 ἔχων. 14 σουλτάνω. 21 ἐπανελθεῖν. 24 ὑποτοπάσατο. 26 κτήσαι. 27 τῆς τοιαύτης. 28 κτίσεως || ἠθημόνει.

τεύξῃ τοῦ ποθουμένου καὶ ἔσται σοι καταθύμιον· ὁ γὰρ τόπος ἐστὶ περίβλεπτος μακρόθεν ὁρώμενος, ἐν ᾧ φρέατα καὶ πηγαὶ ὑδάτων διειδεστάτων, καὶ σχεδὸν πρὸς τὴν σὴν ἐπιθυμίαν ἁρμόδιος καὶ ἐπιτήδειος. Μὴ τοίνυν τοῦ λοιποῦ ἀνιῶ, ἀλλ' ἔχου τοῦ ποθουμένου καὶ εὐοδώσει Θεὸς εἰς ἄκρος τὴν ἐπιχείρησιν". Ἀκούσας ταῦτα ὁ βασιλεὺς καὶ περιχαρὴς γενόμενος, εὐθὺς ἀποστείλας ἐν τῷ δυστυχεῖ πατριαρχείῳ ἐκείνῳ ἐξέβαλε τοὺς ἐν αὐτῷ ὄντας κληρικούς τε καὶ μοναχούς, ἀντεισάξας δὲ Τούρκους καὶ μασγίδιον ποιήσας ** οὐ γὰρ ἦν ὁ τόπος εἰς ἀνάκτισιν ἱμαρετίου (ἐπιτήδειος), καθὰ ἐψεύσθη Θεόληπτος. Πολλὰ καὶ τότε ὑπὸ τῶν χριστιανῶν ἐχέθη δάκρυα. Τῇ τοῦ Θεοῦ μακροθυμίᾳ καὶ ἀνοχῇ τὸ πᾶν ἀφέντες ὤχετο ἕκαστος οἴκαδε· λαβόντες δὲ τά τε ἱερὰ σκεύη τῆς ἐκκλησίας καὶ τὸ ἱερὸν τῆς ὁσίας λείψανον, κλαίοντες καὶ ὀδυρόμενοι κατέθεντο ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῷ εἰς Διπλοφάναρον λεγομένῳ, ἔνθα καὶ νῦν τὸ πατριαρχεῖον ἡμῶν ἐστι τῶν χριστιανῶν· οὗ ἡμεῖς αὐτόπται καὶ προσκυνηταὶ γεγόναμεν εἰς δόξαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

3 διηδεστάτων. 4 ἐπιτήδιος || ἔχου. 5 ἄκρως τὴν ἐπιχείρισιν. 8 ἀντισάξας. 9 μασγήδιον || λείπει τι μετὰ τὸ «ποιήσας || ἀνάκτησιν». 11 προσέθηκα τὸ «ἐπιτήδειος».

XXII.

ΔΙΑΦΟΡΩΝ ΕΓΓΡΑΦΩΝ ΣΕΙΡΑ ΠΡΩΤΗ.

1. Ἐπίσημον ἔγγραφον κατὰ τῶν εἰκονομάχων καὶ Μανιχαίων [1].

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως σύμβολον πίστεως.

Κεφάλαια δι' ὧν ἐλέγχονται οἱ τῆς ἀποστασίας ἔξαρχοι προσκόψαντες εἰς τὴν ἀμώμητον καὶ ἱερὰν ἡμῶν τῶν χριστιανῶν πίστιν καὶ ἀνατρέποντες τὴν ἔνσαρκον καὶ σωτήριον τοῦ δεσπότου Χριστοῦ καὶ Θεοῦ ἡμῶν οἰκονομίαν—ὅθεν κατὰ τοὺς θείους κανόνας καὶ τοὺς φιλευσεβεῖς νόμους ἀλλότριοι τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ὑπάρχουσι—καὶ ὡς οὐκ ἔξεστιν αὐτοῖς λαλεῖν οὔτε ἐπ' ἐκκλησίας οὔτε ἐπὶ κοινοῦ καὶ δημώδους δικαστηρίου.

Κεφάλαιον α'. Ὅτι τὴν παράδοσιν, ἣν παρέλαβεν ἐξ ἀρχῆς καὶ ἄνωθεν ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία καὶ πάντες οἱ χριστιανοὶ ἐφύλαξαν καὶ φυλάττουσιν, οὗτοι ἠθέτησαν καὶ ἀπεσείσαντο. Φανερὸν δὲ πᾶσιν, ὅτι ἡ χρονία καὶ ἀρχαία τῆς ἐκκλησίας παράδοσις πάντων ἐστὶ τὸ ἰσχυρότατον καὶ πάσης ἀποδείξεως ἐνεργέστερον καὶ βεβαιότερον, καθὼς οἱ ἅγιοι πατέρες ἡμῶν διδάσκουσι τοῖς ἀποστολικοῖς θεσπίσμασιν ἑπόμενοι· ὁ γὰρ μέγας ἀπόστολος παρακελεύεται, ὅτι "κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε ἐγγράφως καὶ ἀγράφως" καὶ "εἴ τις παρὰ ταῦτα εὐαγγελίζεται ὑμῖν, ἀνάθεμα ἔστω" καὶ "ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυ-

1 Κεῖται ἐν τῷ 2 κώδικι τῆς τοῦ τιμίου Σταυροῦ συλλογῆς, φύλλ. 139—141. Ἀντίγραφον τοῦ ι' αἰῶνος. 9 ἐπεκκλησίας... ἐπικοινοῦ. 10 ἐξαρχῆς. 11 ἀποστολικὴ. 13 ἀρχαία. 14 παραδόσις. 17 Πρὸς Θεσσαλ. β', 1, 15. Γαλ. 1, 9. Θεσσαλ. α', 11, 23. 18 παραταῦτα.

ρίου, ὃ καὶ παρέδωκα ὑμῖν". Καὶ ἑτέρωθι· "εἰ δέ τις φιλόνεικος ἢ ἐν ὑμῖν, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ", σαφῶς ἐν ἅπασι παράδοσιν καὶ συνήθειαν κρατύνων. Ταῦτα ἐπεξηγούμενος ὁ μέγας τῆς οἰκουμένης διδάσκαλος Ἰωάννης ὁ Χρυσόστομος, τοιάδε φησίν· "ἐντεῦθεν δῆλον ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρέδοσαν, ἀλλὰ καὶ ἀγράφως· ὁμοίως δὲ καὶ ταῦτα κἀκεῖνά ἐστιν ἀξιόπιστα, ὥστε καὶ τὴν παράδοσιν τῆς ἐκκλησίας ἀξιόπιστον εἶναι ἡγούμεθα. Ὅτι παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει". Ὁ δὲ μέγας Βασίλειος τοιαῦτα διέξεισι· "τῶν ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως δοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα, ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν, καὶ τούτοις οὐδεὶς ἀντερεῖ. Οὔκουν, ὅστις γε κἂν μικρὸν γοῦν θεσμῶν ἐκκλησίας πεπείραται· εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιιστῶντες τὸ κήρυγμα". Ὁ δὲ θεῖος Ἐπιφάνιος ἐν τῷ "περὶ τοῦ δεῖν προσφέρειν ὑπὲρ τῶν κεκοιμημένων" λόγῳ ταῦτα λέγει· "ὅτι ἀναγκαίως ἡ ἐκκλησία τοῦτο ἐπιτελεῖ, παράδοσιν λαβοῦσα παρὰ πατέρων. Τίς δὲ δύναται θεσμὸν μητρὸς καταλύειν ἢ νόμον πατρός, ὡς τὰ παρὰ τῷ Σολομῶντι εἰρημένα "ἄκουε υἱὲ λόγους πατρός σου καὶ μὴ ἀπωσῃ θεσμοὺς μητρός σου", δείξας ὅτι ἐγγράφως τε καὶ ἀγράφως ἐδίδασκεν ὁ πατήρ, τουτέστιν ὁ Θεὸς ὁ μονογενὴς καὶ τὸ ἅγιον πνεῦμα; ἡ δὲ μήτηρ ἡμῶν, ἡ ἐκκλησία, εἶχεν θεσμοὺς ἐν αὐτῇ κειμένους, μὴ δυναμένους καταλυθῆναι". Ἡνίκα οὖν ἀθετοῦσι τῆς ἐκκλησίας τὴν παράδοσιν, τοῖς ἀποστολικοῖς καὶ πατρικοῖς θεσπίσμασιν ἀντιτάσσονται τοῖς κελεύουσι κρατεῖσθαι αὐτὴν ἀπαρασάλευτον, ὧν τὸ κρῖμα ἔνδικόν ἐστιν.

Κεφάλαιον β'. Ὅτι τὰς ἁγίας οἰκουμενικὰς ζ' συνόδους ἔρριψαν.

1 Πρὸς Κορ. α', 11, 16. 2 εἶ. 5 Migne, Patrol. Gr. τ. 62, σ. 488. 6 διεπιστολῆς. 9 Migne τ. 32, σ. 188 || διεξησι. 12 ἅπερ] ὥσπερ. 16 μεμεγάλην. 17 τακαίρια. 18 περιστῶντῶντες. 19 Migne τ. 42, σ. 516. 22 Παροιμ. 1, 8. 26 μηδυναμένους.

Τὴν μὲν πρώτην σύνοδον ἠθέτησαν, διδάσκαλον προβαλλόμενοι Εὐσέβιον τὸν τοῦ Παμφίλου τὸν δυσσεβῆ καὶ τοὺς ὁμόφρονας αὐτοῦ, ὅστις γέγονε τῆς Ἀρειανικῆς μανίας ἔξαρχος, πλείονα καὶ χείρονα πάντων Ἀρειανῶν εἰς τὸν υἱὸν τοῦ Θεοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δυσφημήσας, κτίσμα καὶ ποίημα αὐτὸν κακῶς καὶ ἀθέως δογματίσας, ὡς δηλοῦσι καὶ τὰ λοιπὰ συντάγματα αὐτοῦ καὶ αὐτὴ ἡ ἐπιστολὴ ἡ πρὸς Κωνσταντίαν τὴν βασίλισσαν, ἐν ᾗ τὸ ἀπερίγραπτον κατὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκενολόγησεν. Οἱ δὲ τὸ ἀσεβὲς δόγμα αὐτοῦ ἀποδεχόμενοι καὶ λέγοντες ὅτι μετέγνω καὶ ἐδέχθη παρὰ τῆς συνόδου, ἴστωσαν ὅτι ψευδές ἐστι· μετὰ γὰρ χρόνους τινάς, ἡνίκα τινὲς τῶν ἁπλουστέρων ἔδοξαν μνήμην αὐτοῦ ποιεῖσθαι, σύνοδος ἠθροίσθη ἐν τῇ Ἀλεξανδρέων πόλει καὶ τούτους μὲν ἐπιτιμίοις καθυπέβαλε, τὴν δὲ μνήμην αὐτοῦ παντάπασιν ἐκ τῆς ἐκκλησίας ἐξώρισε· καὶ ὡς ἐξωσμένος ἐκ τῆς αὐτῆς πρώτης ἁγίας συνόδου, οὐδαμοῦ ἐν τῇ ἐκκλησίᾳ μνήμη αὐτοῦ πολιτεύεται. Οἱ δεχόμενοι δὲ τοὺς παρὰ τῆς ἁγίας συνόδου ἐκβεβλημένους τῷ αὐτῷ ἀναθέματι ὑπόκεινται προδήλως.

Κεφάλαιον γ'. Ὅτι παρὰ τῆς ἁγίας τρίτης συνόδου τοῖς ἀναθέμασι καθυποβέβληνται· ἐκήρυξε γὰρ ἡ αὐτὴ ἁγία σύνοδος περιγραπτὸν εἶναι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν τὸ κατὰ σάρκα καὶ τοὺς μὴ δεχομένους τὴν φωνὴν ταύτην ἀνεθεμάτισεν.

Κεφάλαιον δ'. Ὅτι τοῖς αὐτοῖς ἀναθέμασιν ὑπόκεινται παρὰ τῆς ἁγίας μεγάλης συνόδου, ἥτις τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἐκ δύο φύσεων καὶ ἐν δυσὶ φύσεσι καὶ μιᾷ ὑποστάσει γνωριζόμενον τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι ἐδογμάτισεν· ὅπερ οὐδὲν ἕτερόν ἐστιν, ἢ περιγραπτὸν αὐτὸν ὁμολογεῖν κατὰ τὴν ἀνθρωπότητα· τὸ γὰρ τέλειον ἐπ' ἀμφοτέρων ἑτέρῳ οὐ διασώζεται. Οὗτοι δὲ τὴν σύνοδον ἀθετήσαντες, τὸ περιγραπτὸν αὐτῷ κατὰ πάντα ἐπιφημίζουσιν.

Κεφάλαιον ε'. Ὅτι τὰ καλῶς καὶ εὐσεβῶς δογματισθέντα παρὰ

1 ἠθέτησαν. 2 εὐσέβειον ‖ ὁμόφρονας. 7 κωνσταντείαν. 9 κελέγοντες. 11 μεταγάρ. 12 ἠθροίσθη. 13 καθυπέβαλε. 19 αὐτῇ. 21 μηδεχομένους. 25 ἐνανθρωπότητι. 30 τακαλῶς.

τῶν πατέρων τῆς ἁγίας ἕκτης συνόδου διέπτυσαν καὶ κατεπάτησαν· οὗτοι γὰρ οἱ θεοφόροι ἡμῶν πατέρες ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς καὶ τὸν ἀμνὸν ἱστορούμενον εὑρόντες, εἰς τύπον παραληφθέντα τοῦ ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου Χριστοῦ, καὶ τοῦτον κατασπαζόμενοι, ὡς τύπον καὶ σκιὰν τοῦ μυστηρίου τῆς οἰκονομίας φέροντα, ἔπαυσαν· τὴν χάριν δὲ προτιμῶντες καὶ τὴν ἀλήθειαν ὡρίσαντο ἐξ ἐκείνου τοῦ χρόνου καὶ εἰς τὸ ἑξῆς κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ μόνον τὴν τοῦ Σωτῆρος εἰκόνα ἀναστηλοῦσθαι, οὐκ ἀλόγως ἀλλὰ πρὸς τὸ τελεώτερον ἐπιδόντες τῆς χάριτος καὶ οἰκοδομὴν κἂν τούτῳ τῆς ἐκκλησίας ἐργαζόμενοι. Εἰ δὲ τὴν εἰκόνα τοῦ ἀμνοῦ διὰ τὸν τύπον ὃν ἔφερε σεπτὴν ἤτοι προσκυνητὴν προσηγόρευσε, πόσῳ μᾶλλον ἡ τῆς ἀληθείας αὐτῆς εἰκών, τουτέστι τοῦ Χριστοῦ, προσκυνητὴ καὶ σεβασμιωτέρα;

Κεφάλαιον ς'. Ὅτι πρὸς τούτοις ἀποβάλλονται τὴν ἁγίαν οἰκουμενικὴν ἑβδόμην σύνοδον τὴν ἐν Νικαίᾳ τὸ δεύτερον, ἥτις κανονικῶς καὶ ἐνθέως συνηθροίσθη, συνευρευόντων καὶ τῶν λοιπῶν ἀποστολικῶν ἀρχιερατικῶν θρόνων διά τε τῶν συνοδικῶν γραμμάτων καὶ οἰκείων τοποτηρητῶν, οἷς ἐχρήσαντο αὐτοὶ οἱ ἀρχιερεῖς πρὸς τὸ ἐπιτελεσθῆναι τὴν σύνοδον· καὶ ἐν τῷ ὅρῳ πάντες οἱ νῦν ἀποστατήσαντες καὶ ἑαυτοὺς ἀναθεματίσαντες καὶ τὴν ἐπ' αὐτοῖς γενομένην χειροτονίαν ἀθετήσαντες καὶ τῆς χάριτος ἐκπεπτωκότες τοῦ ἁγίου πνεύματος *, τὴν ματαίαν καὶ ἀνθρωπίνην δόξαν ἐκόντες τῆς θείας καὶ ἀληθοῦς δόξης προκρίναντες. Αὕτη δὲ ἡ ἁγία σύνοδος τὴν μὲν ἐξ ἀρχῆς κρατήσασαν ἐν τῇ ἐκκλησίᾳ συνήθειαν ἀποστολικῶς καὶ πατρικῶς δογματίσασα ἐκύρωσε, τοὺς δὲ ἀθετήσαντας καὶ ἐνυβρίσαντας τὴν θείαν τοῦ σωτῆρος ἡμῶν Χριστοῦ οἰκονομίαν ἀνεθεμάτισεν, ὡς τολμήσαντας παρανόμως καὶ ἀνοσίως χεῖρας κατὰ τῆς ἐκκλησίας Χριστοῦ ἐπιβαλεῖν, καθὼς ἐν τῷ παρόντι χάρτῃ ὑποτέτακται.

9 οὐκαλόγως. 10 ἐπειδόντες || τοῦτο. 11 διατὸν. 12 ἤτοι. 14 σεβάσμιοτέρα. 19 το ποτηρητῶν. 21 ἑαυτοῖς. 22 ἐκπεπτοκότες. 23 λείπει τι || ματαίαν. 25 ἐξαρχῆς. 27 ἐν ὑβρίσαντας. 29 καθῶς. 30 χάρτι.

Κεφάλαιον ζ'. Ὅτι τὴν ἔνσαρκον τοῦ Θεοῦ Λόγου οἰκονομίαν, τὴν κυρίως καὶ ἀληθῶς γεγενημένην καὶ οὐ κατὰ φαντασίαν οὐδὲ δόκησιν, ἠρνήσαντο τοῖς ἀνοσίοις δόγμασι τῶν ἀθέων Μανιχαίων καὶ Δοκητῶν καὶ Εὐτυχιτῶν μαθητευθέντες καὶ ἐξακολουθήσαντες δογματίζοντες ὅτι ἀπερίγραπτός ἐστιν ὁ Χριστὸς κατὰ τὸ ἀνθρώπινον καὶ φαντασία καὶ δοκήσει τὴν θείαν σάρκωσιν καὶ οἰκονομίαν γενέσθαι φλυαρήσαντες· καὶ διὰ τοῦτο εἴδωλον τὴν εἰκόνα Χριστοῦ ἐτόλμησαν ὀνομάσαι καὶ εἰδωλολατρείαν ἑαυτοῖς καὶ τοῖς χριστιανοῖς ἐπέγραψαν, κατηγοροῦντες καὶ τοῦ Χριστοῦ ὅτι οὐκ ἴσχυσεν ἡμᾶς ἐκ τῆς εἰδωλολατρείας λυτρώσασθαι. Διὰ τοῦτο ὡς εἰδωλολάτρας ἑαυτοὺς ὀνομάζοντες, ὡς Ἕλληνες καὶ ἄπιστοι καταδικάζονται.

Κεφάλαιον η'. Ὅτι τὴν τῶν χριστιανῶν πίστιν καὶ τὴν ἀρχαίαν παράδοσιν ἀρνησάμενοι παντάπασι τοὺς σεβασμίους ναοὺς κατέσκαψαν, τὰ θυσιαστήρια κατώρυξαν, τὰς ἱερὰς εἰκόνας ἐν μέσαις ταῖς ἀγοραῖς κατέκαυσαν καὶ ταῖς πόλεσι καὶ τὰ λοιπὰ ἱερὰ σκεύη συνέτριψαν· μεθ' ὧν καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν συγκατεπάτησαν καὶ ἠφάνισαν, χείρονα Ἰουδαίων καὶ Ἑλλήνων εἰς τὰ σύμβολα τῆς πίστεως ἡμῶν διαπραξάμενοι, ἅπερ τὸ ἐξ ἀρχῆς εὐσεβεῖς βασιλεῖς καὶ ἱερεῖς καὶ ἕτεροι φιλόθεοι ἄνδρες πόθῳ καὶ πίστει τῇ εἰς Χριστὸν εἰργάσαντο καὶ προσήνεγκαν αὐτῷ.

Κεφάλαιον θ'. Ὅτι αἴτιοι καὶ ἀρχηγοὶ ἐγένοντο τῆς ἐκτομῆς τῶν μελῶν τῶν χριστιανῶν καὶ τῆς ἐκχύσεως τῶν αἱμάτων αὐτῶν καὶ τῶν ξένων καὶ παραδόξων θανάτων, δεσμῶν τε καὶ φυλακῶν καὶ λιμῶν καὶ ἐξοριῶν καὶ δημεύσεων αὐτουργοὶ γενόμενοι· ἐπειδὴ ἀπατεῶνες καὶ πλάνοι ὄντες καὶ ψευδομαντείαις καὶ γοητείαις χρώμενοι τοὺς διὰ τὰς ἁμαρτίας ἡμῶν ἄρξαντας ἀσεβεῖς εἰς τὴν κατὰ τῶν εὐσεβούντων μιαιφονίαν ἐπὶ πλεῖον παρώρμησαν, πλῆθος ἐτῶν καὶ εὐημερίαν αὐτοῖς ψευδῶς καὶ ἀθέως ἐπαγγελλόμενοι, ὧν τὸ ψεῦδος καὶ τὴν ἀπάτην τὸ ἐξαίσιον τέλος καὶ ἡ πονηρὰ καταστροφὴ τῶν ἀπατηθέντων ἤλεγξεν.

2 οὐδεδόκησιν. 4 εὐτηχητῶν. 7 διατοῦτο. 8 εἰδωλολατρίαν. 10 εἰδωλολατρίας || διατοῦτο. 16 μεθῶν. 20 εξαρχῆς. 27 χρόμενοι. 29 εὐσεβούντων] ἀσεβούντων || παρόρμησαν. 29 αὐτοῖς] αὐτῶ. 30 ἤλεγξεν.

Κεφάλαιον ι'. Ὅτι τὰς βίβλους τῶν ὁσίων πατέρων ἡμῶν, ἃς εἰς διδασκαλίαν καὶ ὠφέλειαν τῆς ἐκκλησίας ἐξέθεντο, ἐνόθευσαν καὶ διέφθειραν, καὶ ἤδη καὶ διὰ τοῦτο τοῖς κανόσιν ὑπόκεινται.

Κεφάλαιον ια'. Ὅτι οἱ ἀρχηγοὶ τῆς ἀποστασίας ἑκόντες ἑαυτοὺς τῆς καθολικῆς ἐκκλησίας χωρίσαντες καὶ παρασυναγωγὰς ποιήσαντες, παρὰ τῶν τηνικαῦτα ἀρχιερέων κατὰ τοὺς ἱεροὺς κανόνας καθηρέθησαν.

Κεφάλαιον ιβ'. Ὅτι παντελῶς τῆς πίστεως τῆς καθολικῆς ἐκκλησίας ἀποστήσαντες καὶ πάντα τὰ ἔθη καὶ τοὺς νόμους καὶ τὰ μυστήρια τῶν χριστιανῶν καταπατήσαντες καὶ πᾶσαν παράδοσιν ἀποστολικὴν καὶ πατρικὴν ἐξουθενήσαντες καὶ αὐτοὺς τοὺς ἱεροὺς ἡμῶν πατέρας ἀναθεματίσαντες, ἀπόβλητοι παρά τε τῶν ἀποστολικῶν καὶ ἀρχιερατικῶν καὶ μεγάλων θρόνων καὶ πάντων τῶν χριστιανῶν ὑπάρχουσι καὶ οὐδεμίαν κοινωνίαν οὐδὲ κλῆρον μετὰ τῶν εὐσεβούντων ἔχουσιν, ἀλλὰ μυρίων κακῶν ὑπεύθυνοι γενόμενοι μυρίοις καὶ ἀναθέμασι καθυπεβλήθησαν παρὰ τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ ξένοι καὶ ἀλλότριοι τῆς τῶν χριστιανῶν ἐλπίδος καὶ σωτηρίας τυγχάνουσι.

Διὰ τούτων πάντων ἕνεκεν, κἂν δόξωσί ποτε καιρῷ μετανοῆσαι ἐπὶ τοῖς ἀπείροις αὐτῶν βλασφημήμασι καὶ ἀτόποις καὶ ἀθέοις πράξεσιν οἱ χριστομάχοι, ἀπρόσδεκτοί εἰσι καὶ παρὰ τῷ Θεῷ καὶ παρὰ τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· οὐ γὰρ εἰλικρινὴς ἡ μετάνοια αὐτῶν κἂν ἐπιστρέφειν ἐπαγγέλλονται, ἀλλὰ πεπλασμένη καὶ κατεσχηματισμένη ἐστί. Τοιαύτην γὰρ οἴδαμεν τὴν τῶν Μανιχαίων ἄθεον καὶ ἐσκοτισμένην θρησκείαν, ἧς κοινωνοὶ καὶ μύσται γεγόνασι· νόμος γὰρ παρ' αὐτοῖς καὶ δόγμα πρόκειται τοῖς μυσταγωγουμένοις παρ' αὐτῶν, ἵνα, ὅταν φωραθῶσι παρὰ χριστιανοῖς καὶ λόγους εἰσπράττονται περὶ τῆς μυσαρᾶς αὐτῶν πλάνης, ἀπαρνῶνται καὶ ἀθετῶσιν αὐτῶν τὸ δόγμα καὶ πάλιν καιροῦ λαβόμενοι καὶ ἐλευθεριάζοντες ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφωσι καὶ τῆς ἰδίας πλάνης καὶ δυσσεβείας ἀντέχονται.

3 διατοῦτο. 14 οὐδὲ μίαν. 25 οἴδαμεν. 26 παραυτοῖς. 27 παραὐτῶν. 28 φοραθῶσι παραχριστιανοῖς.

Διὸ ὁ τούτους δεχόμενος κοινωνὸς ἐστι τῆς ἀπωλείας αὐτῶν καὶ τῶν μυρίων ἀναθεμάτων ἔνοχος. Ὅτι δὲ τῆς καθολικῆς ἐκκλησίας ἀπερρηγμένοι εἰσί, σαφῶς μαρτυροῦσι καὶ ἐπισφραγίζουσι καὶ τὰ πρὸ χρόνου τινος ἐκπεμφθέντα γράμματα παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης, τουτέστι τοῦ πρώτου καὶ ἀποστολικοῦ θρόνου· ἔτι δὲ καὶ οἱ τούτου τοποτηρηταὶ καὶ ἀποκρισιάριοι, ὡς οὐ μόνον οὐ κοινωνήσαντες αὐτοῖς, ἀλλὰ μηδὲ εἰς ὄψιν μηδὲ εἰς λόγους αὐτῶν ὁπωσοῦν ἐλθεῖν ἀνασχόμενοι, καὶ αὐτὸ τὸ συνεστιαθῆναι αὐτοῖς τέλεον παραιτησάμενοι. Διὰ ταῦτα οὖν πάντα καὶ ἡμεῖς τὴν κοινωνίαν αὐτῶν ἀποστρεφόμεθα καὶ τὸ συναναστρέφεσθαι αὐτοῖς παραιτούμεθα, ἵνα μὴ ὡσαύτως τοῖς αὐτοῖς κρίμασιν ὑποπέσωμεν καὶ ξένοι καὶ ἀλλότριοι τῶν ἀποστολικῶν θρόνων δειχθῶμεν καὶ—τὸ πάντων βαρύτερον—τῆς Χριστοῦ καὶ Θεοῦ ἡμῶν βασιλείας ἐκπέσωμεν καὶ τῷ αἰωνίῳ πυρὶ κατακριθῶμεν.

2. Λείψανον πράξεως τοῦ πατριάρχου Μιχαὴλ τοῦ τοῦ Ἀγχιάλου.

Ἐπεὶ δὲ καὶ παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Πυργίου Κωνσταντίνου τοῦ Σπανοπούλου λύσις τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυροῦ Μιχαὴλ τοῦ Ἀγχιάλου προεκομίσθη ἐξενεχθεῖσα ἐπὶ ὑπομνήσει αὐτοῦ ὄντος ἐπισκόπου, καὶ δῆτα καὶ ὑπανεγνώσθη ἐπὶ κοινοῦ ὁρισμῷ τῆς ἡμῶν μετριότητος καὶ εὑρέθη ἔχουσα ἐν τῇ ἀρχῇ καὶ ἐν αὐτῷ τῷ τελει ρητά τινα συνάδοντα τῷ σκοπῷ τῆς ἡμῶν μετριότητος, ὥρισε καταστρωθῆναι καὶ ταῦτα, ἃ καὶ ἔχουσιν αὐτολεξεὶ οὕτωσί. " Ὅσοι μὲν ἐπὶ παλαιοῖς θεμελίοις ναῶν ὑποκειμένων τῇ κατὰ σὲ ἁγιωτάτῃ ἐπισκοπῇ ἔφθασαν οἰκοδομῆσαι ναούς, οὐχὶ ὠφεληθήσονται οὗτοι εἰς τὸ μὴ ὑποκεῖσθαί σοι αὐτοί τε καὶ οἱ ἀνοικοδομηθέντες ναοί, κἂν σταυροπήγια πατριαρχικὰ ἐκ ψευδοῦς ἀναφορᾶς ἔλαβον, ἢ ἐὰν φθάσαντες οἰκοδομῆσαι

1 ἀπολείας. 3 ἀπερριγμένοι. 8 ὄψιν. 11 ὡς ὡς αὕτως. 15 Ἀντεγράφη ἐκ τοῦ 247 κώδικος τῆς ἐν Ἱεροσολύμοις πατριαρχικῆς συλλογῆς, φ. 24. Τὸ αὐτὸ τεμάχιον παρήγαγε μετὰ τινων διαφορῶν καὶ ἄνευ τοῦ τελευταίου παραγράφου Δημήτριος ὁ Χωματηνὸς ἐν τῷ «περὶ ὅρων ἐκκλησιαστικῶν» κτλ. J. Pitra, Analecta sacra et classica spicilegio Solesmense parata, τ. VI, σ. 348—349.

ναοὺς μετὰ ταῦτα σταυροπήγια γενέσθαι αὐτοῖς ἠτήσαντο, ὡς ἐπὶ μέλλουσιν ἀνοικοδομηθῆναι ναοῖς· ἀλλὰ καὶ οὗτοι ὡς ὑποκείμενοι τῇ σῇ ἐνορίᾳ κατὰ τοὺς θείους κανόνας παρὰ σοῦ διεξαγόμενοι ἔσονται". Καὶ μετ' ὀλίγα πάλιν ταῦτα· "Ἀλλὰ καὶ οἱ λαϊκοὶ ὡς ὄντες τῆς σῆς ἐνορίας ὑπὸ τῆς σῆς θεοφιλίας σωφρονισθήσονται καὶ τὸ δέον μεταδιδαχθήσονται καὶ οὐ πρόφασις ἔσται αὐτοῖς εἰς τὸ μὴ ὑπακούειν σου, ὅτι τὴν ἀθεμιτοπραξίαν εἰργάσαντο ἐν τοῖς ἡμῖν ὑποκειμένοις ναοῖς, ἢ ὅτι ὑπὸ τῶν ἐν αὐτοῖς ἱεροπρακτούντων ἱερέων τὸ πρᾶγμα γέγονεν. Ἔσο γοῦν μεθ' ἱερᾶς ἐξουσίας αὐτὸς σὺ καὶ τὰ ἱερολογηθησόμενα συνοικέσια ἐπιτάττων καὶ τἆλλα ὅσα φέρει εἰς χριστιανικὴν κατάστασίν τε καὶ σεμνοπρέπειαν". Εἶχε τὸ "μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος θ'" (1176) διὰ χειρὸς τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυροῦ Μιχαὴλ τοῦ Ἀγχιάλων καὶ τὴν διὰ κηροῦ συνήθη σφραγῖδα.

Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας κυροῦ Εὐσταθίου τοῦ Χαντρηνοῦ βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις ἔτους ϛψοθ (1191—1192). Ἡ ὑπογραφή· "ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας Εὐστάθιος ὁ Χαντρηνός". Εἶχε καὶ βούλλαν μολιβδίνην κάτωθεν ἀπηωρημένην, ἐν μὲν τῷ ἑνὶ μέρει ἔχουσαν τὴν ἁγίαν Θεοτόκον ἐγκάρδιον φέρουσαν τὸν Χριστόν, ἐν δὲ τῷ ἑτέρῳ μέρει γράμματα ταῦτα· "Παντός, πάναγνε, πειρατηρίου ῥύου | χαρτοφύλακα Χαντρηνὸν Εὐστάθιον".

3. Πραξις περὶ σταυροπηγίων ἐπὶ πατριάρχου Γεωργίου τοῦ Ξιφιλίνου [1].

Μηνὶ ἰανουαρίῳ η', ἡμέρα α', ἰνδικτιῶνος ι', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γεωργίου, ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέ-

[1] Κεῖται ἐν τῷ 247 κώδικι τῆς ἐν Ἱεροσολύμοις πατριαρχικῆς συλλογῆς, φ. 25—26. Ἄλλο ἀντίγραφον ἐν τῷ 1232 κώδ. τῆς ἐν Παρισίοις συλλογῆς (ancien fonds), περὶ οὗ ὅρα Θ. Οὐσπένσκην ἐν τῷ Журналъ Министерства Народн. Просвѣщ. 1877, τεῦχος νοεμβρίου, σ. 75.

σου καὶ ἐξάρχου πάσης Ἀσίας Γεωργίου, τοῦ Ἡρακλείας Μανουήλ, τοῦ Κυζίκου Γεωργίου, τοῦ Χαλκηδόνος Ἰωάννου, τοῦ Τυάνων Μιχαήλ, τοῦ Γαγγρῶν Ἰωάννου, τοῦ Ἰκονίου Νικολάου, τοῦ Ναυπάκτου Ἀνδρέου, τοῦ Φιλιππουπόλεως ὑπερτίμου Κωνσταντίνου, τοῦ Σερρῶν καὶ ὑπερτίμου Ἰωάννου, τοῦ Σμύρνης καὶ ὑπερτίμου Κωνσταντίνου, τοῦ Ναζιανζῶν Σωτηρίχου, τοῦ Χριστουπόλεως Ἰωάννου, τοῦ Μιλήτου Θεοφυλάκτου, τοῦ Ἄπρων Ῥωμανοῦ, τοῦ Πυργίου Κωνσταντίνου, τοῦ Βιζύης Νικολάου, τοῦ Μαρωνείας Ἰωάννου, τοῦ Δέρκης Γεωργίου, τοῦ Ἡρακλέους Ἰωάννου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Γέγονε μὲν οἰκονομία τις εὔλογος δι' ὑπομνήματος συνοδικῶς ἐκτεθέντος τῆς ἡμῶν μετριότητος κατὰ τὴν κζ' τοῦ διαγγελθέντος νοεμβρίου μηνὸς τῆς παρούσης ι' ἰνδικτιῶνος εἰς τοὺς ἀνεγειρομένους ἐκ βάθρων ἐπὶ πατριαρχικοῖς σταυροπηγίοις θείους ναούς, ὥστε εἰς αὐτοὺς καὶ μόνους τὸ τοῦ κατὰ καιροὺς ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἀναφέρεσθαι ὄνομα καὶ μὴ τῇ προφάσει τούτων εἰς τὰ ἐν τοῖς διαφέρουσι τούτοις τόποις ἀνοικοδομούμενα εὐκτήρια, ἔν τε παραλαυρίοις δηλονότι προαστείοις καὶ τοῖς ἄλλοις ὁπωσοῦν ὑποκειμένοις αὐτοῖς, ὡσαύτως γίνεσθαι τὴν ἀναφορὰν τῆς πατριαρχικῆς καὶ θείας μεγαλειότητος, ὀφειλόντων δηλονότι τῶν τοιούτων εὐκτηρίων ὡς μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἀνεγειρομένων τοῖς κατὰ τόπον ἀρχιερεῦσιν ὑποκεῖσθαι καὶ τοὺς ἐν τούτοις τῆς θείας ἱεροτελεστίας μέλλοντας ἐκπληροῦν παρ' αὐτῶν ἐκείνων χειροτονεῖσθαι· καὶ δηλοῦνται ταῦτα πλατύτερον ἐν τῷ ἐπὶ τούτοις, ὡς εἴρηται, γεγονότι συνοδικῷ ὑπομνήματι [1]. Ἐπεὶ δὲ οὐκ ἔφθασε μνείαν ποιήσασθαι ἡ μετριότης ἡμῶν καὶ τῶν πρὸ χρόνων ἀνοικοδομηθέντων εὐκτηρίων οἴκων ἐν τοῖς ὡσαύτως διαφέρουσι τοῖς ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἀνεγερθεῖσι σεμνείοις καὶ ἱεροῖς τεμένεσι, καὶ ἔδει μηδὲ τὸν περὶ τούτων λόγον ἐν παρέργῳ κεῖσθαι, ἵνα μὴ τούτοις ἀκολούθως καὶ τὰ ἐπίσης αὐτοῖς εἰς τὸ μετέπειτα οἰκοδομούμενα εὐκτήρια κατὰ τὴν ἐπ' ἐκείνοις

[1] Ἐννοεῖται πιθανῶς τὸ ὑπόμνημα, οὗ μέγα τεμάχιον παρήγαγε Δημήτριος ὁ Χωματηνός. J. Pitra, Analecta sacra κτλ. τ. VI, σ. 347—348.

φθάσασαν κρατῆσαι συνήθειαν διεξάγηται, ηὐδόκησεν ἡ μετριότης ἡμῶν τὰ ἐν τῷ προλαβόντι συνοδικῷ σημειώματι παραλειφθέντα ἀναπληρῶσαι, ταῦτα ἐκεῖνα καὶ ἐπὶ τούτοις κρατεῖν, ἅπερ ἐν τοῖς μελλουσι τοῦ λοιποῦ ὁπωσδήποτε οἰκοδομεῖσθαι εὐκτηρίοις οἴκοις, μηδὲ ἐπὶ σταυροπηγίοις δηλονότι πατριαρχικοῖς ἀνεγειρομένοις, ὡρίσθη τε καὶ ὑποτετύπωται. Ἔσονται τοίνυν τὰ ἐξ ἀμνημονεύτων χρόνων μέχρι τοῦδε ἀνοικοδομηθέντα εὐκτήρια εἰς τοὺς ὁπουδήποτε καὶ ὁπωσδήποτε διαφέροντας τόπους τοῖς ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἀνεγερθεῖσι σεμνείοις καὶ θείοις ναοῖς, ὡς μὴ καὶ ταῦτα ἐπὶ σταυροπηγίοις ἀνεγερθέντα πατριαρχικοῖς, τοῖς ἐγχωρίοις ἀρχιερεῦσιν ἐγκείμενα. Ταῦτά τε καὶ οἱ ἐν τούτοις τὰς ἱεροτελεστίας ἐπιτελοῦντες ἱερεῖς, ὡς ὀφείλοντες καὶ παρ' αὐτῶν δηλονότι τῶν ἐγχωρίων ἀρχιερέων χειροτονεῖσθαι καὶ πρὸς αὐτοὺς διδόναι τὰ ἐκ μακρᾶς συνηθείας διδόμενα κανονικὰ παρ' αὐτῶν, μὴ ἐχόντων ἄδειαν προβάλλεσθαι ἐπὶ τούτοις τὴν τοῦ μακροῦ χρόνου παραδρομὴν τῶν κατὰ καιροὺς ἐν τούτοις ἐναυθεντούντων ἢ ὅλως ἄρχειν λαχόντων. Ὡσαύτως καὶ τὰ εἰς τὸ ἑξῆς ὁτεδήποτε ἀνεγερθησόμενα καὶ οἱ ἐν τούτοις ἐξυπηρετεῖν μέλλοντες ἱερεῖς, καθὼς ἐν τῷ προγεγονότι, ὡς εἴρηται, περὶ τούτων αὐτῶν διαλαμβάνεται σημειώματι. Εἰ γοῦν ἐπὶ πᾶσι τούτοις εὑρίσκονταί τινες τῇ τοιαύτῃ δικαιοκρισίᾳ τῆς ἡμῶν μετριότητος ὑποτυπωθείσῃ ἀπαρεσκόμενοι καὶ ἀπειθοῦντες, γινωσκέτωσαν ὡς ἀφορισμῷ συνοδικῶς ἐκφωνηθέντι εἰσὶν ὑπόδικοι, πρὸς τὸ καὶ οὕτως τὸ κῦρος ἔχειν καὶ κρατεῖν τὰ παρὰ τῆς ἡμῶν μετριότητος τυπωθέντα καὶ ὁρισθέντα συνοδικῶς.

Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας Εὐσταθίου τοῦ Χαντρηνοῦ βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις, ἔτους ,ςψ (1191). Ἡ ὑπογραφή· "ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας Εὐστάθιος ὁ Χαντρηνός". Εἶχε καὶ βούλλαν μολιβδίνην κάτωθεν ἀπηωρημένην, ἐν μὲν τῷ ἑνὶ μέρει ἔχουσαν τὴν ἁγίαν Θεοτόκον ἐγκάρδιον φέρουσαν τὸν Χριστόν, ἐν

δὲ τῷ ἑτέρει μέρει γράμματα ταῦτα· "παντὸς, πάναγνε, πειρατηρίου ῥύου | χαρτοφύλακα Χαντρηνὸν Εὐστάθιον".

4. Ἀνώνυμον ἔγγραφον ἐκδοθὲν μετὰ τὴν φραγκικὴν κατάκτησιν τῆς Κ/πόλεως [1].

Δέδοται μὲν τοῖς εὐσεβῶς βασιλεύσασιν ἄναξιν, ὥσπερ ἄρα καὶ δέδοται, τὸ τῇ βασιλικῇ σκηνῇ παραπηγνύειν ἑτέραν σκηνὴν τῷ παμβασιλεῖ ἡμῶν Χριστῷ τῷ Θεῷ εἰς θεῖον ἀνάκτορον, ἐν ᾧ τελεται ἁγιώταται καὶ μυστικαὶ θυσίαι τελεῖσθαι εἰώθασι. Καὶ ἦν τοῦτο τὸ ἔθος κρατοῦν ἐκ πρώτης σχεδὸν τῆς τῶν εὐσεβῶν βασιλέων συστάσεως μέχρι καὶ τῶν τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως καιρῶν. Ἐπεὶ δὲ τοῦτο τὸ ἔθιμον ἡ μὲν κοσμικὴ σύγχυσις καὶ παντὸς θείου τε καὶ ἀνθρωπίνου δικαίου ἀνατροπὴ ἄπρακτον ἀπειργάσατο, ἡ δὲ τῶν θεοστεφῶν ἡμῶν βασιλέων εὐσέβεια καὶ περὶ τὰ θεῖα εὐλάβεια καὶ τὸ ἐν προσευχαῖς ἐπιμελὲς καὶ ἐπίμονον ἐνεργὸν γενέσθαι ηὐδόκησε καὶ τὴν σύστασιν αὐτοῦ βασιλικῇ τινι οὐκ ἐπέτρεψεν αὐτονομίᾳ, ἀλλ' εἰς συνοδικὴν προέθετο ζήτησιν — οἴδασι γὰρ καλῶς οἱ θεοστεφεῖς ἡμῶν βασιλεῖς ἐπερωτᾶν τοὺς πατέρας αὐτῶν μὴ μόνον ἐν παντὶ πνευματικῷ, ἀλλὰ καὶ ἐν πνευματικοῖς ἔργοις σχεδὸν καὶ τὰ ἐκ τούτων ἀναγγελλόμενα ἐκπληροῦν — φημὶ καὶ αὐτὸς ὡς ἐλάχιστον τῆς ἱερᾶς συνόδου μέλος, ὡς ἐπεὶ δι' εὐλάβειαν καὶ ἁγιασμοῦ ἕφεσιν οἱ ἅγιοι ἡμῶν βασιλεῖς ζητοῦσι τὴν ἀναγκαίαν τοῦ ἱεροῦ σκηνώματος θειοτάτην τελετὴν καὶ οὐ διὰ βασιλικήν τινα θρύψιν ἄδοξον, δοκεῖ μοι ἐκχωρηθῆναι κατασκευασθῆναι τὴν σκηνὴν εὐμεταφόρητον, ἐν ᾗ τελεσιουργηθήσεται ἡ μυστικὴ θυσία ὡς ἐν ἀδύτῳ τινί, καὶ ταύτην ἐντὸς τῆς βασιλικῆς σκηνῆς περιτείνεσθαι διὰ σχοινίων ἀναρτώντων ταύτῃ τὴν βασιλικὴν καὶ διατεινόντων τὰ πλάγια καὶ μετὰ ταύτης τανύεσθαι.

5. Πρᾶξις τοῦ πατριάρχου Κ/πόλεως Γερμανοῦ β', σταλεῖσα πρὸς τὸν μητροπολίτην Ἰκονίου [2].

Τὰ κατὰ τὸν Ξηρὸν ἐκεῖνον Μιχαὴλ ὅπως ἄρα καὶ συνηνέχθη ἐλεεινῶς καὶ ἀτίμως καὶ οἷον τὸ πέρας ἐδέξατο τῆς ἐνταῦθα ζωῆς,

[1] Σώζεται ἀντίγραφον ἐν τῷ 276 κώδικι τῆς ἐν Ἱεροσολύμοις πατριαρχικῆς συλλογῆς, φ. 131. [2] Κεῖται ἐν τῷ αὐτῷ κώδικι, φ. 131.

ἀνηνέχθη τῇ ἡμετέρᾳ μετριότητι καὶ ἐδοκιμάσθη συνοδικῶς. Ἀνὴρ οὗτος τοίνυν ἀλογίᾳ ἐχρήσατο, κἂν ὡς ἄρα δὴ καὶ ἐχρήσατο, οὐδὲ τῆς τυχούσης ταφῆς ὡς ἐπιτυχεῖν ἄξιος ἦν, μήτοι γε κατατεθῆναι εἰς πρόναον, μήτ' ἔξω που ἐκκλησίας πλησίον ἐν ἀπουσίᾳ τῆς σῆς ἱερότητος καὶ τοῦ μέρους τῆς κατὰ σὲ ἐκκλησίας. Ὑπὸ τῶν κατὰ κόσμον γνησίων προσγενῶν, νενικημένων ὑπὸ τοῦ σπλάγχνου, ἴσως δὲ καὶ τὸ ὀφειλόμενον ἀγνοούντων, κατεσπουδάσθη παραδοθῆναι τῇ γῇ ἔνδον τοῦ νάρθηκος, ἣν ὑπῆρχεν ἐξ ἱκανοῦ χρόνου δομησάμενος ἐκκλησίαν τῷ ἁγίῳ μεγαλομάρτυρι Γεωργίῳ περὶ που τὴν θεόσωστον πόλιν Ἰκονίου. Τοῦτο μὲν οὐδαμῶς παραβλάψει τὴν ἐκκλησίαν, ἀλλὰ καὶ ὁ τοῦ Ξηροῦ νεκρὸς * * ἡ ἐκκλησιαστικὴ ἀκολουθία ἔσται ὡς τὸ πρότερον, ἄνευ μέντοι τῆς Ξηροῦ θυσίας καὶ μνήμης· ταῦτα γὰρ οὔτε αὐτόθι οὔτε ἐν ἑτέρᾳ ἐκκλησίᾳ ἐνεργηθήσεται. Εἰ δ' ἀλλοτρόπως οἱ τῷ Ξηρῷ προσήκοντες αἱροῦνται εὖ ποιεῖν, ἐλεημοσύνας πενήτων, αἰχμαλώτων ἐλευθερίας καὶ τοῖς τοιούτοις, μὴ κωλυέσθωσαν.

6. Τοῦ αὐτοῦ Γερμανοῦ τῇ τοῦ Ξηροῦ γυναικί [1].

Περὶ τοῦ ποιητέου τῷ χρηματίσαντι ἐκείνῳ συζύγῳ σου ἐπεσκόψαμεν φθάσαντες τῷ ἱερωτάτῳ μητροπολίτῃ τῆς θεοσώστου πόλεως Ἰκονίου. Ἐπεὶ δὲ νῦν τὴν ἡμῶν μετριότητα ὅσα δὴ καὶ ἠτήσω ὡς φίλανδρος γυνὴ γεγονυῖα τὰ πρὸς ἐκεῖνον, ἅμα δὲ τῆς συμφορᾶς καὶ τοῦ τρόπου τῆς ἐκ τοῦ βίου τοῦδε ἐξαγωγῆς τὸν ἄνθρωπον κατοικτείρουσα, ἐκχωροῦμέν σοι, ἵνα δίχα μόνης θυσίας, ἤγουν ἱερουργίας τῶν ἐπ' ἐκκλησίας μνημοσύνων, τἄλλα πάντα χάριν ἐκείνου ποιῇς, ὅσα πρὸς ὄνησιν καὶ ὠφέλειαν ἀφορῶσιν ὀρθοδόξων χριστιανῶν, ἤγουν διατροφὴν πενήτων, ἐνδυμενίας γυμνητευόντων, ἀνάρρυσιν αἰχμαλώτων, δεσμίοις ἐλευθερίαν καὶ τὰ τοιαῦτα· ἀποταγὴν δὲ κόσμου καὶ τῆξιν σαρκὸς τό γε νῦν ἔχον οὐκ ἐπιτρέπομέν (σοι) πολύπαιδι οὔσῃ, ὡς μανθάνομεν, καὶ ἄνηβα τεκνοτροφούσῃ παιδία· ἀρκεῖ γὰρ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια, ἣν μετέρχεσθαί σε ἀκούομεν ἐν φόβῳ Κυρίου καὶ τὴν τῆξιν ἐκμελετῶσα καὶ τὸν Θεὸν ἱλεουμένη καὶ θερα-

[1] Ἐν τῷ αὐτῷ κώδικι, φ. 132.

πεύουσα πρὸς σωτηρίαν τῆς ἰδίας ψυχῆς καὶ ὑπὲρ τῶν ἑτέρων τὰ τοιαῦτα ποιοῦσα. Οὐ μικρὸν δὲ τὴν ψυχήν σου ὠφελήσεις, εἰ μετὰ δακρύων καὶ συντόνου δεήσεως παρακαλεῖς τὸν Θεὸν ὑπὲρ ἀφέσεως τοῦ παρ' ἐκείνου πλημμεληθέντος μεγάλου πταίσματος, καὶ εἰ χρήσῃ εἰς τοῦτο συνεργοῖς εὐλαβέσι μοναχοῖς καὶ ἑτέροις προσώποις· εἰ γὰρ καὶ οὗτοι ἐξ ὅλης ψυχῆς τὸν Θεὸν ἱκετεύουσιν, ἱκανὴν παραμυθίαν καὶ ἀναψυχὴν τῷ ἀνδρί σου προξενήσουσι καὶ θάρρει τε ἐπὶ τούτων· πεπίστευκα γὰρ εἰς τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὡς τὰ σὰ δάκρυα καὶ ἡ πρὸς τοὺς πένητας εὐποιία καὶ ἡ τῶν φιλοθέων ἀνθρώπων ὁλόψυχος δέησις δυνήσεται τῆς κολάσεως ἀπαλλάξαι τὴν τοῦ ἀνδρός σου ψυχήν.

7. Τοῦ αὐτοῦ ἁγιωτάτου Γερμανοῦ περί τινος ἀποκαρέντος καὶ πάλιν ἀποδυσαμένου τὰ μοναχῶν [1].

Παρέστη τῇ ἡμῶν μετριότητι Γεώργιος ὁ Πισσᾶς καὶ ἐξαγορευτικῶς ἀνήνεγκε ταῦτα. Ὡς πρό καιροῦ τινος τῇ τῶν Βαρδαριωτῶν, οἷς τὸ προσανέχειν ταῖς βασιλικαῖς δουλείαις καὶ ὑπηρεσίαις ἔργον, ἐπίμονι καταλεγῆναι τάξει ἀναγκαζόμενος καὶ ἀποθανεῖν ἑλόμενος μᾶλλον ἢ τὴν δουλείαν ταύτην ὑπεισελθεῖν, ἔγνω τὰ περὶ τούτου ἀποφυγεῖν δι' ἐπενδύσεως ἱματίων μοναδικῶν. Καὶ δὴ τοῦτο ποιήσας καὶ μοναδικῶς αὐτὸς ἑαυτὸν περιστείλας, μηδενὸς μηδόλως ἐπὶ τὸ ἔργον μεσολαβήσαντος, μήτε εὐχῆς μήτε λόγου μήτε παρουσίας τινὸς μοναχοῦ, διέδρασε τοὺς καταναγκάζοντας. Εἶτα ὀλίγων τινῶν ἡμερῶν παρελθουσῶν τὰ μοναδικὰ ἐκεῖνα ἄμφια μόνος ὡς ἐνεδύσατο, οὕτω καὶ ἀπεδύσατο. Ἐλθών δέ ποτε καὶ γυναικὶ συζευχθῆναι, ἐκωλύθη πρὸς τοῦτο παρὰ τοῦ ἱερωτάτου ἀρχιεπισκόπου Λοπαδίου, αἴτιον προβαλλομένου εἶναι κωλύμης τοῦ πράγματος τὴν τοιαύτην ὑπόθεσιν. Ταῦτα εἰπὼν ὁ τοιοῦτος Πισσᾶς ἐξαγορευτικῶς, ὡς διείληπται, καὶ πληροφορίαν δοὺς ὡς οὐδέν τι πλέον τούτων ἐπράχθη, ἐξεχωρήθη παρὰ τῆς ἡμῶν μετριότητος ζῆν κατὰ λαϊκούς, συναρμοσθῆναι δὲ καὶ τῇ ῥηθείσῃ γυναικί, μεθ' ἧς καὶ συνοικεῖν ἄρτι διωμολόγησεν, εἴπερ οὐκ ἀπό τινος ἑτέρου εἰς τοῦτο παρεμποδίζεται· ἐξεῖπε δὲ καὶ

[1] Ἀντεγράφη ἐκ τοῦ αὐτοῦ κώδικος, φ. 132.

ὁ Λοπαδίου οὕτως ἔχειν τὰ τῆς ὑποθέσεως, ὡς ὁ ἐξομολογούμενος ἀνέφερεν τῇ ἡμῶν μετριότητι.

8. Τὸ ἴσον τοῦ βουλγαρικοῦ χρυσοβούλλου τοῦ ἐν τῇ τῆς Ἐλεούσης μονῇ [1].

Αἱ τῶν ναζιραίων, ἤτοι τῶν ἀσκητῶν, προσευχαὶ δηλαδὴ καὶ δεήσεις κατ' ἐξοχὴν τῷ Θεῷ προσεγγίζουσι καὶ θαμινὰ θαμινὰ πλησιάζουσιν, ὡς φησιν ὁ θεοφάντωρ Βασίλειος, ὅτι ἅπας δέησις μοναχοῦ ἐνεργουμένη ἥκιστα τὸν ἀνθρωποκτόνον διάβολον παρρησίαν ἔχειν ἐᾷ πρὸς οὓς καὶ ἡ δέησις ἐπεκτείνεται. Καὶ μάλ' εἰκότως· ἀστραπηβόλος καὶ γὰρ αὕτη λαχοῦσα καὶ χρυσαυγίζουσα καὶ τομῶς ὑπὲρ ἀετοῦ πτερὸν τὸν ἀέρα σπαθίζουσα καὶ τὸν πρῶτον ἄνθρωπον τοῦ δευτέρου οὐρανοῦ ἐν ἀκαρεῖ σχίζουσα τῷ δεσποτικῷ θρόνῳ ἐξαπιναίως παρίσταται καὶ τῷ βασιλεῖ κατὰ σχολὴν ἐντυγχάνει ὑπὲρ ὧν καὶ δι' ὃν ἐστάλη. Διά τοι τοῦτο καὶ ἡ βασιλεία μου τὰς θείας, ὡς εἴρηται, ἀσκητῶν ἐθέλουσα προσευχὰς ὑπὲρ χρυσίον ὅτι πολὺ καὶ λίθον πολυτελῆ, ἠθέλησεν ἡ βασιλεία μου τοὺς ἐν τῇ Μεσημβρίᾳ σεβαστῇ μονῇ μοναχοὺς ἀσκοῦντας τῆς ὑπεραγίας Θεοτόκου τῆς Ἐλεούσης κατὰ πάντα ἔχειν τὸ ἀνενόχλητον καὶ ἐξκουσεύεσθαι τὴν μονὴν καὶ τοὺς ἐν αὐτῇ μοναχοὺς ἀπὸ πάσης ἀγγαρείας, ψωμοζημίας, καστροκτισίας καὶ πάσης ἄλλης τῆς οἱασδήτινος συζητήσεως, ἔτι δὲ καὶ τοὺς ὅσοι καὶ ὅθεν ἐν τῷ τῆς μονῆς περιώρῳ περικεκλεισμένους λαχόντας· καὶ αὐτοὶ τὸ ἀνενόχλητον εὐμοιρήσωσιν. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὸ ταυτης μονόξυλον ἥκιστα εἰς τὸν αἰῶνα κομμερκηθήσεται, ἀλλ' οὐδ' ὁ κατὰ καιρὸν δοὺξ ἐπιβαλεῖν ἔχει τὸ σύνολον τῇ μονῇ πόδα ἐπηρεασμοῦ, ἢ ἐν τῇ Μεσημβρίᾳ τις αὐτοχθόνων ἢ ὀθνείων τινῶν, εἴπερ καὶ τὴν σφῶν θέλουσι σωτηρίαν ἐκ Θεοῦ

[1] Κεῖται ἐν τῷ αὐτῷ κώδικι, φ. 123. Τὸ ἔγγραφον τοῦτο, εἰ καὶ ἀνώνυμον, φαίνεται ὂν τοῦ βουλγάρου βασιλέως Ἰωάννου τοῦ Ἀλεξάνδρου. Ὅρα τὸ ἀρχαιολογικὸν ἄρθρον τοῦ κ. Братья Шкорпилъ (ἐν τῷ Сборникъ за народни умотворения, наука и книжнина издава министерство на народното просвѣщение, τ. IV, ἐν Σόφια 1891, σ. 103 – 106), ἐν ᾧ ὑπάρχουσιν ἐξαίρετα ἀπεικονίσματα ἑλληνικῶν ἐπιγραφῶν τῆς ἐν Μεσεμβρίᾳ μονῆς τῆς Ἐλεούσης, μαρτυροῦντα ὅτι συγγενεῖς τοῦ βασιλέως ἐκείνου ἀφιέρωσαν πολύτιμά τινα ἱερὰ σκεύη καὶ ἄμφια ἐν ἔτει 1341 ἢ 1342.

14 ταῖς θείαις. 15 προσευχαῖς. 19 καστροκτησίας. 21 περικλεισμένους.

καὶ τὴν ἐκ τῆς βασιλείας μου οἰκειότητα, ὡς ὅ γε ᾠραθησόμενος ἀπεναντίας ποιῶν καὶ κυκᾷ τοὺς ἐν τῇ μονῇ μοναχοὺς τὴν ἐκ τῆς βασιλείας μου θᾶττον ὀργὴν ἐπισπάσεται, εἴπερ ὀργὴ βασιλέως ἄγγελος. Τοὐναντίον δὲ μᾶλλον ἡ βασιλεία μου ἀκλόνητον καὶ ἀκράδαντον εἶναι ἀπὸ παντὸς τὴν μονὴν βούλεται, ἵν' ἀπερικτύπητον τὴν ζωὴν οἱ ἐν αὐτῇ μοναχοὶ ἔχοντες ἐκτενέστερον τῇ βασιλείᾳ μου ὑπερεύχωνται, ἵν' ὑποταξῃ αὐθωρὸν πάντα ἐχθρὸν καὶ πάντα πολέμιον καὶ Σκύθην καὶ Βάρβαρον, ἔτι δ' Οὔννους καὶ Ῥῶς καὶ τὸ Ξανθικὸν καὶ Γερμανικὸν ἔθνος· ἀλλ' οὐδὲ βάβαξ, ἀλλ' οὐδ' ἀγύρτης τὰς ἄρκυς αὐτῆς διαδράσῃ· ἐπὶ τούτῳ γὰρ καὶ ἡ βασιλεία μου τὸ παρὸν σιγίλλιον χρυσόβουλλον εἰκόνα τῇ τῆς Ἐλεούσης μονῇ ἐπιβραβεύει εἰς οἰκείαν ἀσφάλειαν, μηνὶ [ἀπριλίῳ] ἰνδικτιῶνος [ἑνάτης, ἔτους ϛωμθ' = 1341].

Ἡ βασιλεία μου δ' ἐπὶ τούτοις καὶ τὸν τῆς Μεσημβρίας ἀρχιερέα ἔξω τῆς μονῆς εἶναι, δηλαδὴ τῆς Ἐλεούσης, βούλεται, τουτέστιν ἀμέτοχον, ἤγουν τοῦ μὴ τὸ σύνολον μετέχειν ἐν τῇ μονῇ ἢ παρασαλεῦσαί τι τῶν γεγραμμένων ἐκ τῆς βασιλείας μου τὸ καθόλου (ἢ) πειράξαι τι, εἰμὴ μόνον τὸ ὄνομα ἐν τοῖς ἱεροῖς διπτύχοις τοῦ ἀρχιερέως ἐκφέρεσθαι. Μηνὶ ἀπριλίῳ ἰνδικτιῶνος θ'.

Εἶχε καὶ τὸ τῶν Βουλγάρων σημεῖον δι' ἐρυθρῶν γραμμάτων.

9. Χρυσόβουλλον βουλγαρικόν.

Ὁ Θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυριευόντων, ὁ ἀγαθὸς καὶ ὑπεράγαθος Θεός, ὁ προνοητὴς καὶ κηδεμὼν τῶν αὐτοῦ δημιουργημάτων ἔταξεν ἀρχὰς καὶ ἐξουσίας ἐπὶ τὰς νοερὰς καὶ ἀγγελικὰς δυνάμεις· εἶτα ἐπὶ τὸν αἰσθητὸν καὶ ὁρώμενον κόσμον οὓς ἠθέλησεν ἡ αὐτοῦ ἀγαθότης ἐξελέξατο ἄρχειν καὶ βασιλεύειν ἐπὶ τῆς γῆς. Ὡς ηὐδόκησεν ὁ ἀγαθὸς Θεὸς καὶ ἐπληρώθη ἡ ἐνσαρκος τοῦ Θεοῦ Λόγου οἰκονομία, ἣν προκατήγγειλαν οἱ ἅγιοι καὶ θεοφόροι προφῆται, τότε ἦρξεν ἡ θεοφρούρητος καὶ θεοπρόβλητος καὶ θεόστεπτος βασιλεία εἰς τὸν ἐν ἁγίοις θεόστεπτον βασιλέα καὶ μέγαν Κωνσταντῖνον καὶ πατέρα πάντων τῶν ὀρθοδόξων βασιλέων. Χρόνων δὲ πολλῶν παρεληλυθότων, ὅτε ηὐδόκησεν ὁ

17 καθόλου πειράξεται. 20 Κῶδ. 276 τῆς πατριαρχικῆς συλλογῆς, φ. 130.

ἀγαθὸς καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐδωρήσατο τὴν βασιλείαν τῷ τρισμακαρίστῳ ἐκείνῳ καὶ ἀοιδίμῳ βασιλεῖ Ἰωάννῃ Ἀσάνῃ καὶ πάππῳ τῆς βασιλείας μου, καὶ -- ὦ τῆς ἀγαθότητός σου, Χριστέ, καὶ τῶν πλουσιοπαρόχων δωρεῶν τῆς οὐρανίου σου δόξης καὶ βασιλείας -- ἐδωρήσατο καὶ τὸ ἡμέτερον κράτος, τὴν θεοδώρητον καὶ θεόστεπτον προγονικὴν παππροπατροπαράδοτον βασιλείαν. Καὶ ἐπειδὴ ὁ τρισμακάριστος ἐκεῖνος καὶ ἀοίδιμος βασιλεὺς Ἰωάννης Ἀσάνης καὶ πάππος τῆς βασιλείας μου πολλὰ ὑπομνήματα κατέλιπεν ἐπὶ τῆς γῆς, καὶ πρῶτον μὲν τὴν ὀρθοδοξοτάτην καὶ βασιλικωτάτην εὐσέβειαν καὶ ἄλλα πάμπολλα μυρία ἀγαθά, ἠθέλησε καὶ τὸ ἔνθεον κράτος τῆς βασιλείας μου ἵνα δωρήσηται ἐλευθερωτικὸν καὶ θεῖον χρυσόβουλλον εἰς τὴν μονὴν τοῦ ἐν ἁγίοις καὶ θαυματουργοῦ Νικολάου τοῦ μυροβλήτου τοῦ ἐν τῇ Ἐμμονῇ. Διὰ τοῦτο οἰκειοχείρως ἐδωρήσατο χρυσίον ἐκ τοῦ βεστιαρίου τῆς βασιλείας μου εἰς ἐκπλήρωσιν καὶ ἀποκατάστασιν τοῦ ἐλευθερωτικοῦ καὶ θείου χρυσοβούλλου. Ἐλθὼν δὲ ὁ παρὼν κὺρ Μακάριος ὁ ἱερομόναχος εἰς προσκύνησιν τῆς βασιλείας μου, ἀνέφερε τῇ βασιλείᾳ μου, ὅτι ἡ προρρηθεῖσα μονὴ τοῦ ἁγίου Νικολάου ἀνωκοδομήθη ἐκ τοῦ θεμελίου ὑπὸ τῆς τρισμακαριστῆς ἐκείνης Σεβίνης καὶ μάμμης τῆς βασιλείας μου. Ἀκούσασα δὲ τοῦτο ἡ βασιλεία μου, ὅτι προγονικόν μου ἔνι τὸ μνημόσυνον, ἡ προρρηθεῖσα μονή, ἀσμένως ἐδέξατο τοῦτο ἡ βασιλεία μου. Χάριν τούτου ἐπεβραβεύσατο ἡ βασιλεία μου τῇ αὐτῇ μονῇ τὸ παρὸν ἐλευθερωτικὸν καὶ θεῖον χρυσόβουλλον τῆς βασιλείας μου καὶ εἰς πρόσωπον (τοῦ) ἱερομονάχου κῦρ Μακαρίου τοῦ πατρὸς καὶ εὐχέτου τῆς βασιλείας μου, ἵνα ποιμαίνῃ ταύτην πατρικῶς καὶ διδασκαλικῶς καὶ μένῃ παρ' αὐτῇ τῇ μονῇ, καθὸ βούλεται καὶ προαιρεῖται, ἀκωλύτως καὶ ἀνεμποδίστως μετὰ τῶν ἐκεῖσε εὑρισκομένων μοναχῶν. Διορίζεται δὲ ἡ βασιλεία μου εἰς τὸ παρὸν ἐλευθερωτικὸν καὶ θεῖον χρυσόβουλλον τοῦ ἐνθέου κράτους τῆς βασιλείας μου, ὡς ἵνα διαμένῃ ἡ τοιαύτη μονὴ τοῦ ἐν ἁγίοις μυροβλύτου καὶ θαυματουργοῦ Νικο-

13 Ἐμονῇ κῶδ. Πρβλ. Acta Patri. I, σ. 367, 502. 16 ἐλθὼς. 24 προσέθηκα τὸ «τοῦ». 26 μένειν.

λάου ἀδιάσειστος ἀπαράθραυστος ἀνενόχλητος καὶ ἀτάραχος ἀπὸ πάσης ἐπηρείας βασιλικῆς καὶ ἐκκλησιαστικῆς καὶ ἐξουσιαστικῆς. Εἴ τινος δὲ τολμήσοντος τῶν εἴποτε κατὰ καιροὺς εὑρισκομένων ἀρχιερέων τῆς βασιλείας μου παραθραῦσαι ἢ διασεῖσαι ἢ ἐμποδίσαι ἢ παρενοχλῆσαί τι τὸ παρὸν καὶ θεῖον ἐλευθερωτικὸν χρυσόβουλλον τοῦ ἐνθέου κράτους τῆς βασιλείας μου καὶ τὸ μνημόσυνον τῆς βασιλείας μου μέχρι καὶ ἕως ἑνὸς ὀβολοῦ, ἵνα ἔχῃ τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα. Ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἐλευθερωτικὸν καὶ θεῖον χρυσόβουλλον τοῦ ἐνθέου κράτους τῆς βασιλείας μου, καὶ ἐπεδόθη τῇ σεβασμίᾳ μονῇ τοῦ ἐν ἁγίοις μυροβλύτου καὶ θαυματουργοῦ Νικολάου εἰς ἀσφάλειαν καὶ ἀποτροπὴν πασῶν τῶν ἐπερχομένων ἐπηρειῶν, μηνὶ αὐγούστῳ δ', ἐν ἔτει ,ςΦγ ἰνδικτιῶνος ζ' (?), ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοστεφὲς ὑπεσημήνατο κράτος.

10. Τὸ ἴσον τοῦ προστάγματος τοῦ βασιλέως κυροῦ Ἰωάννου.

Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Μεσημβρίας καὶ ὑπέρτιμος ἐνεφάνισεν εἰς τὴν βασιλείαν μου δικαιώματα τῆς κατ' αὐτὸν ἁγιωτάτης μητροπόλεως, δι' ὧν κατεῖχεν αὕτη πρὸ τοῦ γενέσθαι τὸ τοιοῦτον κάστρον, τὴν Μεσημβρίαν, ὑπὸ τῶν βασιλέων τῶν Βουλγάρων τὰ ἐντὸς ταύτης διακείμενα μοναστήρια, τό τε εἰς ὄνομα τιμώμενον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Ἀκροπολίτου, ἔτι τε τὸ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς Ἁγιοσορειτίσσης, ἀλλὰ δὴ καὶ τὸ τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου, ἀπὸ δὲ τοῦ μοναστηρίου τοῦ εἰς ὄνομα τιμωμένου τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης ἐνδόσει τοῦ τότε κτητορεύοντος αὐτὸ εἶχεν ὁ ἐκεῖσε ἀρχιερατικῶς προϊστάμενος τὸ μνημόσυνον αὐτοῦ καὶ μόνον — ἃ δὴ μοναστήρια μετὰ τὸ γενέσθαι τὸ τοιοῦτον κάστρον ὑπὸ τὴν βασιλείαν τῶν Βουλγάρων ἀπεσπάσθησαν ἀπὸ τῆς αὐτῆς ἁγιωτά-

3 τολμήσαντος. 13 πάντων. 14 Ἡ χρονολογία ἐσφαλμένη καὶ δυσερμήνευτος. 16 Κῶδ. 276, φ. 124. Ἔγγραφον τοῦ αὐτοκράτορος Ἰωάννου ς' τοῦ Καντακουζηνοῦ, πρὸς ὃ παράβαλε Acta Patriarch. τ. II, σ. 37 καὶ 152.

της μητροπόλεως καὶ ἐδόθησαν πρὸς διαφόρους, κἀντεῦθεν στερεῖται τούτων αὐτη μέχρι τοῦ νῦν — καὶ παρεκάλεσε περὶ τούτου, τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος, ἵνα ἐπιλάβηται καὶ κατέχῃ οὗτος δὴ ὁ ἱερώτατος μητροπολίτης Μεσημβρίας καὶ ὑπέρτιμος τὰ τοιαῦτα μοναστήρια, καὶ ἔχῃ ἐπ' αὐτοῖς ὅσον εἶχον καὶ οἱ πρὸ τοῦ γενέσθαι τὸ δηλωθὲν κάστρον, τὴν Μεσημβρίαν, ὑπὸ τὸν βασιλέα τῶν Βουλγάρων ἀρχιερατικῶς προϊστάμενοι τῆς ὑπ' αὐτὸν ἁγιωτάτης μητροπόλεως, κατὰ τὴν περίληψιν τῶν προσόντων αὐτῷ, ὡς εἴρηται, εὐλόγων δικαιωμάτων, καὶ οὐδὲν εὑρίσκῃ ἐπὶ τούτοις ἢ παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου ἢ παρ' ἑτέρου τινὸς τὴν τυχοῦσαν διενόχλησιν ἢ τὸν τυχόντα ἐμποδισμόν, προβαλλομένη τὴν ἀπὸ τοῦ τοιούτου καιροῦ μέχρι τοῦ νῦν γεγονυῖαν εἰς τοῦτο νομὴν καὶ συνήθειαν· τούτου γὰρ χάριν ἐγένετο αὐτῷ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα, ἀπολυθὲν τῇ τριακοστῇ. . . .

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τὸ "μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος γ'" (1379).

Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ εὑρεθὲν κατὰ πάντα ἐξισάζον τῷ πρωτοτύπῳ ὑπεγράφη καὶ παρ' ἡμῶν

Ὁ Θεσσαλονίκης Ἰσίδωρος [1].

11. Ἔγγραφον συνόδου πιθανῶς ἐν Θεσσαλίᾳ ἢ ἐν Ἠπείρῳ ἀθροισθείσης διὰ Ἰωάννου α' τοῦ νόθου, σεβαστοκράτορος Θεσσαλίας καὶ δουκὸς Νεοπατρῶν, ἢ διὰ Νικηφόρου α τοῦ δεσπότου Ἠπείρου [2].

Ἔδει μὲν τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν καὶ μητέρα πασῶν τῶν ἐκκλησιῶν, τὴν τῆς Κωνσταντινουπόλεως δηλαδή, ἐπὶ τῆς πέτρας βεβηκέναι τῆς εὐαγγελικῆς καὶ ταύτην ἵστασθαι πεπαγιωμένην καὶ ἀκράδαντον ἐπὶ ταῖς παραδοθείσαις ἀρχῆθεν ἀποστολικαῖς καὶ πατρικαῖς παραδόσεσι, καὶ ἡμᾶς τοὺς τροφίμους ταύτης ἐν ἡσυχίᾳ καὶ ἀταράχῳ γαλήνῃ διάγειν καὶ τῇ πατροπαραδότῳ καὶ ἀκραιφνεῖ εὐσεβείᾳ ἐμμένειν· ἐπεὶ δ' ἄθεν οὐ προσεδοκήσαμεν, κρίμασιν οἷς οἶδε (Θεὸς) μόνος—οὗ τὰ κρίματα ἄβυσσος πολλή.

[1] Καθηρέθη οὗτος ἐν ἔτει 1384. Acta Patriarch. τ. II, σ. 85—86. [2] Κεῖται ἐν τῷ 145 κώδικι τοῦ ἐν Κ/πόλει ἱεροσολυμιτικοῦ μετοχίου, φ. 356—357.

κατὰ τὴν ἱερὰν φωνήν — καὶ οὐ οὐκ ἦν ἡμῖν φόβος, ἐκεῖθεν ὁ βόθυνος ὑπέκυψε καὶ ἡ γνησία μήτηρ κατὰ τῶν ἰδίων τέκνων ἐμάνη ἐπιπνοία τοῦ ἐναντίου φεῦ πνεύματος, ἔφθασε δὲ καὶ μέχρις ἡμῶν ἡ ψυχοφθόρος αὕτη λύσσα καὶ πάγκοινος λύμανσις τῆς διπλῆς αἱρέσεως, αὐτός, Θεοῦ ἀρρήτοις οἰκτιρμοῖς τοῦ τῷ οἰκείῳ αἵματι ἡμᾶς ἐξωνησαμένου, τῇ ἄνωθεν θεοπαραδότῳ καὶ πατροπάππῳ γονικῇ κατὰ γενεὰς καὶ εἰς ἡμᾶς ληγούσῃ τοὺς μετρίους καὶ εὐτελεῖς, καθωπλισμένους καὶ περι(πε)φραγμένους τῇ μακαριωτάτῃ εὐσεβείᾳ, καὶ ἧς λειπούσης τἄλλα τῶν καλῶν εὐπαγῆ καὶ ἄναλα καὶ μεμώρανται καὶ τοῦ καταπατεῖσθαι παντοίοις πνεύμασιν ἐπάξια, καθ' ὧν ἐπιβαίνειν τὴν ἐξουσίαν ἐλάβομεν — ταύτῃ περιτετειχισμένος τὴν εἰς ἡμᾶς ταύτην φθάσασαν ἀλλόκοτον θρησκείαν ὡς ζιζανιώδη καὶ νεοφανῆ ἀπεσκορακίσαμεν. Ἀλλ' οὐ μέχρι τούτου δεῖν ἔγνωμεν στῆσαι τὸν ἡμέτερον περὶ τὸν ποιητὴν ἡμῶν ζῆλον, οὐδ' ἠρεμεῖν ἡμᾶς ὁ πόθος εἴασε τοῦ καλοῦ τῆς ὀρθοδοξίας, ἀλλὰ διαπονησάμενοι καὶ τοὺς ἀρχηγοὺς τῆς ὀρθοδοξίας, τοὺς θεμελίους τῆς πίστεως, τὰς πηγὰς τῶν εἰλικρινῶν ναμάτων καὶ ζωηρῶν, τοὺς ὁμολογητὰς νῦν καὶ μεγάλους ἀρχιερεῖς, οὓς ὁ παρὼν καιρὸς ἐδοκίμασεν ὅσα καὶ ὑπὸ λυδία λίθῳ ἢ καὶ πυρὶ δοκίμιον χρυσίον καὶ καθαρόν, καὶ τούτους ἐπερωτήσας δι' εὐλαβῶν ἀνδρῶν καὶ θεοφιλῶν κατὰ τὴν διδασκαλίαν τοῦ πνεύματος — "ἐπερώτησον γάρ, φησί, τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι" — συνεργίᾳ Θεοῦ τοῦ τοῖς ἀγαθοῖς ἐπευδοκοῦντος, καὶ τούτου τυχὼν τὰς τούτων γνώμας ἐπορισάμην ἐγγράφως τε καὶ ἀγράφως. Ὅθεν καὶ πλείονι καὶ θερμοτέρῳ ζήλῳ ἐξαφθείς — τί γὰρ ἄλλο δεῖν ἐμὲ παθεῖν, ἢ τί δ' ἂν ἔξω ποτὲ δράσαι τῶν εἰς ἐμὲ μεγάλων τοῦ Θεοῦ μου εὐεργεσιῶν ἐπάξιον; — ὑφ' ἓν συναθροίσας τοὺς ἀρχηγοὺς τῆς ἱερωσύνης τοὺς ἁπανταχῇ ὄντας τῆς ἐμῆς ἐπικρατείας καὶ τοὺς ὑπ' αὐτοὺς τελοῦντας τιμιωτάτους καὶ ὁσιωτάτους καθηγουμένους καὶ ἅπαν τὸ ἱερατικόν, ναὶ μὴν οὐκ ἐλάχιστον ἔχων μέρος καὶ τοὺς ἐκ τοῦ ἁγιωνύμου Ὄρους ἐξορίστους μοναχούς, καὶ τὰς θείας ὑποτυπώσεις

21 Δευτερον. 32, 7.

τῶν ἀρχιερέων τούτων καὶ μεγάλων ὁμολογητῶν εἰς μέσον θέντες, κἀντεῦθεν κλιμακηδὸν ἀναδραμόντες κἀπὶ τοὺς ἄνωθεν θείους συνοδικοὺς καὶ πατρικοὺς ὅρους τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων ἑπτά, κἀπὶ τοὺς ἀποστολικοὺς θεσμούς, ὡς ἐν μιᾷ ψυχῇ μυρίοις σώμασι πάντες ὁμοθυμαδὸν καὶ ὡς ὑφ' ἑνὸς χείλους ἐν πρώτοις μὲν ἀπεδοκιμάσαμεν καὶ κατεκρίναμεν πᾶσαν ἄθεον αἵρεσιν μετὰ τῆς νυνὶ ἀνακυψάσης Μακεδονιανῆς, καὶ τοὺς ταύτης αἰτίους συνηγόρους καὶ κοινωνούς, οἵτινες ἦσαν καὶ εἰσίν — ἡ γὰρ τοῦ Θεοῦ ἀμώμητος καὶ καθολικὴ ἐκκλησία αἵματι Θεοῦ περιποιηθεῖσα πάντῃ ἐστὶν ἀνεπίδεκτος πάσης αἱρέσεως καὶ παντὸς ἀκανονίστου ῥυπάσματος· οὐ γὰρ αὕτη ἐκκλησία Θεοῦ, ἀλλὰ προδήλως τοῦ διαβόλου μερὶς καὶ τοῦ ἐναντίου ἐπίπνοια—καὶ τὴν ἀκαταγώνιστον καὶ παμβέβηλον πρᾶξιν τὴν σκαιωρηθεῖσαν κατὰ τοῦ τρισμάκαρος καὶ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἀρσενίου καὶ τοὺς ταύτης αἰτίους καὶ συμπράκτορας, οἵτινες καὶ ὅσοι ἦσαν καὶ εἰσίν, ἀπεδοκιμάσαμεν καὶ κατεκρίναμεν κανονικῶς καὶ ἐνθέσμως, ἐγγραφάς τε ἰδιοχείρους ἐποιήσαμεν εἰς ἐπικύρωσιν τῆς ὑγιοῦς ἡμῶν πίστεως καὶ ἀσφαλείας ἀλλήλοις τῆς μιᾶς καὶ ἀδελφικῆς ἡμῶν γνώμης, ὅπως ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ἕκαστος ὑφ' ἑκάστου, ὡς πόλις ἐσόμεθα ἰσχυρά, κατὰ τὸν τοῦ σοφοῦ λόγον, καὶ μέχρι θανάτου ἅπαντες τὰς κεφαλὰς ἡμῶν τιθέντες, εἴ τι ἂν τῇ τοῦ Θεοῦ εὐδοκίᾳ καὶ συγχωρήσει ἡμῖν ἐπισυμβήσεται, ἀπεχόμενοι πάντες, ὡς ἐπὶ Θεοῦ ἀληθήτοις καὶ παντεφόροις ὄμμασι, καὶ τῆς κοινωνίας τῶν ὡς ἀληθῶς σχιστῶν καὶ παρανόμων καὶ παραβατῶν καὶ ἐπιβατῶν, οὓς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες μηδὲ ἐξιδιαζομένους τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἀξιοῦσι, τοῦ τε Νικηφόρου δηλαδὴ τοῦ μοιχοῦ, καὶ τοῦ καταράτου Γερμανοῦ τοῦ νέου Ἰσμαήλ, καὶ Ἰωσὴφ τοῦ προαφωρισμένου καὶ μοιχοῦ καὶ διώκτου, καὶ τῶν χειροτονιῶν αὐτῶν. Εἴ δέ τις ἐξ ἡμῶν βουληθείη τὸ τοιοῦτον σωτήριον ἐγχείρημα τοῦ λοιποῦ ἀθετῆσαι, καὶ πρὸς τὸν διπλοῦν αἱρετικὸν ἔμετον παλινδρομῆσαι, ἡ μερὶς αὐτοῦ ἔσται μετὰ τοῦ Ἰούδα καὶ Γιεζῆ καὶ πάντων τῶν ἀποστατῶν τοῦ Θεοῦ, καὶ τελευταῖον ἕξει καὶ τὸ ἀνάθεμα. Καὶ νῦν μὲν ταῦτα καὶ ὑπισχνούμεθα καὶ παγιοῦμεν,

ὅπως φυλάξωμεν ἀπαράτρωτα καὶ ἀμεταποίητα· ὅτε δὲ Θεοῦ προνοία ἐπισκέψηται Κύριος τὸν λαὸν αὐτοῦ καὶ καθολικὸν καὶ ἅγιον καὶ εὐσεβὲς συνάθροισμα γένηται τῶν ὀρθοδόξων, τότε τὰ δόξαντα τῇ ἱερᾷ ἐκείνῃ συνόδῳ καὶ ἀποδεξόμεθα καὶ βεβαιώσομεν [1]. Ὑπεγράφη καὶ παρὰ πάντων μηνὶ μαρτίῳ ἰνδικτιῶνος ς', (ἔτους) ,ςψπς (1278).

12. Ἀνώνυμον ἔγγραφον τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν [2].

Ἀνηνέχθη τῇ ἡμῶν μετριότητι παρὰ τοῦ ὑπὸ τὴν ἐπαρχίαν τῆς μητροπόλεως Λαρίσσης θεοφιλεστάτου ἐπισκόπου Δομενίκου Δημητρίου, ὡς οἱ κτητορικὸν δίκαιον ἀνακαλούμενοι ἐν τῷ ὑπὸ τὴν ἐπισκοπὴν αὐτοῦ τελοῦντι ἀνέκαθεν μοναστηρίῳ τοῦ ἐν ἁγίοις μεγαλομάρτυρος Δημητρίου, Τοποκοβίῳ ἐγχωρίως ἐπονομαζομένῳ, ὀρεγόμενοι μὲν κατεξουσιάζειν τέλεον τῆς τοιαύτης μονῆς καὶ τοῖς ἀφιερωμένοις αὐτῇ πράγμασιν ὡς οἰκείοις χρᾶσθαι, τῆς δὲ παραλόγου ταύτης ὁρμῆς παρὰ τοῦ ῥηθέντος ἐπισκόπου ἀνακοπτόμενοι καὶ μὴ ἐγχωρούμενοι τὸ τοιοῦτον ἄτοπον διαπράξασθαι, εἰς ἄμυναν τούτου διεγειρόμενοι πειρῶνται ἕτερον ἀνεγεῖραι ναὸν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ καὶ ἀποσπᾶσαι ἀπὸ τοῦ ἐπισκοπικοῦ μοναστηρίου τὰ παρὰ τῶν προγόνων αὐτῶν ἤ τινων προσγενῶν φιλοχρίστων προσκυρωθέντα αὐτῇ κτήματα, ἀφιερῶσαι δ' αὐτὰ τῷ παρ' αὐτῶν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνεγερθησομένῳ ναῷ. Ἡ γοῦν μετριότης ἡμῶν τὸ τοιοῦτον αὐτῶν παράλογον διανόημα πρόρριζον ἀποτεμεῖν βουλομένη, ὡς τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένον παντάπασι, διορίζεται διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀναπόσπαστα μέχρι παντὸς μένειν παρὰ τῇ ἐπισκοπικῇ μονῇ τοῦ ἁγίου Δημη-

[1] Ὁ δεσπότης Ἰωάννης ὁ νόθος (μηνὶ μαΐῳ τοῦ ἔτους 1277) συνεκάλεσε σύνοδον ἀναθεματίσασαν τοὺς ἑνώσαντας τὴν ἀνατολικὴν μετὰ τῆς δυτικῆς ἐκκλησίας, ἤτοι τὸν πάπαν Ῥώμης, τὸν αὐτοκράτορα Μιχαὴλ η' τὸν Παλαιολόγον καὶ τὸν Κ/πόλεως πατριάρχην Ἰωάννην τὸν Βέκκον, δύο δ' ἐπισκόπους ἀντιλέγοντας καὶ ἐκάκωσε· ἀλλὰ καὶ ὁ πατριάρχης αὐτὸς τῇ 16 Ἰουλίου τοῦ αὐτοῦ ἔτους ἀπέσχισεν ἀφορίσας τοὺς ἀνθενωτικούς, μάλιστα δὲ Νικηφόρον α' τὸν δεσπότην Ἠπείρου καὶ τὸν ῥηθέντα Ἰωάννην τὸν νόθον. E. de Muralt, Essai de chronographie byzantine, II, σ. 434 — 435.

[2] Ἐκ τοῦ 83 κώδικος τῆς ἐν Ἱεροσολύμοις συλλογῆς τοῦ τιμίου Σταυροῦ, συνετάχθη δὲ πιθανῶς ὑπὸ τοῦ ἀρχιεπισκόπου Κωνσταντίνου Καβάσιλα.

τρίου τὰ προσόντα αὐτῇ ὁποιαδήτινα κτήματά τε καὶ πράγματα καὶ παρὰ τοῦ ἐπισκόπου Δομενίκου διεξάγεσθαι ταύτην καὶ πνευματικῶς διοικεῖσθαι· οὔτε γὰρ τοῖς δομήτορσιν οὔθ' ἑτέρῳ τινὶ ἔξεστιν ἀπὸ ἐπισκοπικῆς μονῆς ἀποσπᾶν κτήματα καὶ προσκυροῦν ταῦτα πατριαρχικῇ μονῇ ἢ εὐκτηρίῳ ναῷ. Εἰ δέ τις βούλεται ἀνεγεῖραι μονὴν ἢ εὐκτήριον ναὸν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, εἰς μὲν τὴν τούτου ἀνέγερσιν οὐ κωλυθήσεται παρά τινος, φροντισάτω δὲ πρότερον προσκυρῶσαι αὐτῷ κτήματα ἀπὸ τῶν οἰκείων· τὰ γὰρ τῇ ἐπισκοπικῇ μονῇ προσόντα κτήματα ἀναπόσπαστα παρ' αὐτῆς, ὡς εἴρηται, εἰς τὸ διηνεκὲς ἔσονται. Καὶ ταῦτα μὲν περὶ τούτου.

Ἐπεὶ δὲ καὶ περὶ ἑτέρας μονῆς ἀρχῆθεν διαφερούσης τῇ τοῦ Δομενίκου ἐπισκοπῇ, εἰς Κρομποὺς μέν οὔσης, ἐπ' ὀνόματι δὲ τῶν ἁγίων μεγάλων μαρτύρων Θεοδώρων τιμωμένης, ἀνέφερε τῇ ἡμῶν μετριότητι ὁ αὐτὸς ἐπίσκοπος, ὡς φθάσειε καὶ ταύτην ὁ δεσπότης ἐκεῖνος κῦρις Μανουὴλ [1] ὑποθεῖναι εἰς μετόχιον τῇ ἐν τῷ θέματι τῶν Σερβίων πατριαρχικῇ μονῇ τῶν ἁγίων Θεοδώρων· οἱ δὲ μοναχοὶ τῆς τοιαύτης πατριαρχικῆς μονῆς τοῦ ἐπισκόπου κατεξανιστάμενοι καὶ τὴν αὐτοῦ ἀπανενόμενοι ποίμανσιν, τὴν μὲν ἀναφορὰν αὐτοῦ ἀπὸ τοῦ ῥηθέντος ἐπισκοπικοῦ μοναστηρίου τοῦ εἰς μετόχιον, ὡς εἴρηται, ἐκδοθέντος αὐτοῖς τέλεον ἐξώθησαν, τὴν πατριαρχικὴν δὲ ἀντεισήγαγον. Καὶ τὸ τοιοῦτον ὡς ἀκανόνιστον ταύτῃ ἀπείργουσα ἡ μετριότης ἡμῶν διορίζεται, ὡς ἐὰν ὁ ἐπίσκοπος ἀνήνεγκε πρὸ τοῦ εἰς μετόχιον ὑποτεθῆναι τῇ πατριαρχικῇ μονῇ τὸ εἰς Κρομποὺς μοναστήριον ἐπισκοπικὸν ἦν καὶ παρὰ τοῦ κατὰ καιροὺς ἐπισκόπου Δομενίκου διεζήγετο, ἵνα ἔχῃ καὶ αὖθις ὁ ἐπίσκοπος τὴν οἰκείαν ἀναφορὰν ἐν αὐτῷ ὡς γνήσιος ἀρχιερεύς· ὁ γὰρ ἐκδεδωκὼς τοῦτο τοῖς μοναχοῖς εἰς μετόχιον, τὴν χρηματικὴν μόνην δεσποτείαν ἐκδοῦναι ἠδύνατο, οὐ μὴν δὲ καὶ τὴν πνευματικὴν τοῦ ἐπισκόπου ἀναφορὰν καὶ τὴν τῶν ψυχικῶν σφαλμάτων ἀνάκρισιν. Ἐσεῖται γοῦν ἡ ῥηθεῖσα τῶν ἁγίων Θεοδώρων

[1] Ἐννοεῖ τὸν ὁμώνυμον αὐτοκράτορα Θεσσαλονίκης (1230—1240) καὶ δεσπότην Φερσάλων Δημητριάδος Λαρίσσης καὶ Πλαταμῶνος.

μονὴ ἡ εἰς Κρομποὺς διακειμένη ὑπὸ τὴν ἐπισκοπικὴν ἐξουσίαν καὶ διοίκησιν, εἰ μή πως δυνηθῶσιν οἱ τῆς πατριαρχικῆς μονῆς μοναχοὶ δεῖξαι ὡς καὶ τὸ τοιοῦτον μοναστήριον ἀνηγέρθη ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ. Εἶχε τὸ μηνὶ Ἰουλίῳ ἰνδικτιῶνος ηʹ (1250?) διὰ τῆς πατριαρχικῆς θείας χειρὸς καὶ τὴν κηρίνην πρασίνην σφραγῖδα.

13. Ἔγγραφον τοῦ οἰκουμενικοῦ πατριάρχου Συμεὼν αʹ, ἐκδοθὲν μετὰ τὸ ἔτος 1484 [1].

Συμεὼν ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.

